ΒΙΒΛΙΟΝ ΚΟΙΝΗΣ ΠΡΟΣΕΥΧΗΣ ΚΑΙ ΤΕΛΕΣΕΩΣ ΤΩΝ ΜΥΣΤΗΡΙΩΝ ΚΑΙ ΑΛΛΩΝ ΘΕΣΜΩΝ ΚΑΙ ΤΕΛΕΤΩΝ ΤΗΣ ΕΚΚΛΗΣΙΑΣ ΑΓΓΛΙΑΣ

῾Υψηλῆς ἡγούμεθα σπουδαιότητος τὴν ὕπαρξιν ἀποχρώσης ῾Ελληνικῆς μεταφράσεως τοῦ ΒΙΒΛΙΟΥ ΚΟΙΝΗΣ ΠΡΟΣΕΥΧΗΣ ΚΑΙ ΤΕΛΕΣΕΩΣ ΤΩΝ ΜΥΣΤΗΡΙΩΝ ΚΑΙ ΑΛΛΩΝ ΘΕΣΜΩΝ ΚΑΙ ΤΕΛΕΤΩΝ ΤΗΣ ΕΚΚΛΗΣΙΑΣ ΚΑΤΑ ΤΗΝ ΣΥΝΗΘΕΙΑΝ ΤΗΣ ΕΚΚΛΗΣΙΑΣ ΑΓΓΛΙΑΣ. Εἰ δὲ καὶ πολλάκις ἐν τῷ παρελθόντι τοιαύτη μετάφρασις ὠφέλιμος ἦν, πιθανὸν ὅμως οὔπω ποτ' ἂν ἦν ὠφελιμωτέρα καὶ εὐκαιροτέρα ἢ ἐν τῷ παρόντι, ἐν ᾧ αἱ τῆς ᾿Ανατολῆς καὶ τῆς ῾Εσπερίας ᾿Εκκλησίαι σπουδάζουσιν ἀλλήλας. Εὐκταῖον οὖν ἐστιν, ὅπως ἡ σπουδὴ αὕτη, τῇ τοῦ Θεοῦ εὐλογίᾳ, ᾖ ὅσον ἔνεστιν ἀκριβής τε καὶ καρποφόρος. Δι' ὃ καὶ ἐξ ὅλης καρδίας εὐχόμεθα, ἵνα ὁ παρὼν τόμος, ἔργον ὤν, ὡς πιστεύομεν, λιπαρᾶς μαθήσεως, ἐν πᾶσιν εὐοδωθῇ.

RANDALL CANTUAR:

Μητροπολίτης καὶ πάσης τῆς ᾿Αγγλίας
Πρωθιεράρχης.

᾿Εκ τοῦ Παλατίου ῾Ημῶν τῆς Λάμπεθ,
ἐν ἔτει σωτ. 1923 τῇ ιβ' τοῦ Φεβρ.
μηνός.

ΒΙΒΛΙΟΝ

ΚΟΙΝΗΣ ΠΡΟΣΕΥΧΗΣ,

ΚΑΙ

ΤΕΛΕΣΕΩΣ ΤΩΝ ΜΥΣΤΗΡΙΩΝ,

ΚΑΙ ΑΛΛΩΝ

ΘΕΣΜΩΝ ΚΑΙ ΤΕΛΕΤΩΝ ΤΗΣ ΕΚΚΛΗΣΙΑΣ,

ΚΑΤΑ ΤΗΝ ΣΥΝΗΘΕΙΑΝ

ΤΗΣ ΕΚΚΛΗΣΙΑΣ ΤΗΣ ΑΓΓΛΙΑΣ·

ΣΥΝ

ΤΩι ΨΑΛΤΗΡΙΩι ΗΤΟΙ ΤΟΙΣ ΨΑΛΜΟΙΣ

ΔΑΒΙΔ

ΣΤΙΧΘΕΙΣΙ ΚΑΘΩΣ ΟΡΙΖΟΝΤΑΙ

ΙΝΑ ΨΑΛΛΩΝΤΑΙ Η ΑΝΑΓΙΝΩΣΚΩΝΤΑΙ

ΕΝ ΤΗι ΕΚΚΛΗΣΙΑι·

ΚΑΙ

ΤΥΠΟΣ ΚΑΙ ΤΑΞΙΣ ΓΙΝΟΜΕΝΗ

ΕΠΙ ΚΑΤΑΣΤΑΣΕΙ, ΧΕΙΡΟΤΟΝΙΑι, ΚΑΙ ΚΑΘΙΕΡΩΣΕΙ

ΕΠΙΣΚΟΠΩΝ, ΠΡΕΣΒΥΤΕΡΩΝ, ΚΑΙ ΔΙΑΚΟΝΩΝ.

Ἐν ΛΟΝΔΙΝΩι.

Ἐκδοθὲν ὑπὸ τῆς Ἑταιρίας πρὸς Προαγωγὴν τῆς Χριστιανικῆς Γνώσεως

1923

ΤΑ ΠΕΡΙΕΧΟΜΕΝΑ ΕΝ ΤΟΥΤΩι ΤΩι ΒΙΒΛΙΩι

ΠΡΟΟΙΜΙΟΝ

[A.D. 1661]

ΤΗς Ἀγγλικανῆς Ἐκκλησίας ὑπῆρξεν ἔργον φρονήσεως, ἀφ' οὗ τὸ πρῶτον συνετάξατο τὴν δημοσίαν αὐτῆς Λειτουργίαν, τὸ τηρεῖν μέσην ὁδὸν μεταξὺ τῶν δύο ἄκρων, τοῦ λίαν ἀκάμπτως ἀπαγορεύειν, καὶ τοῦ λίαν εὐχερῶς ἀποδέχεσθαι ὁποιανοῦν παραλλαγὴν αὐτῆς. Διότι, ὡς ἡ κοινὴ ἀφ' ἑνὸς πεῖρα μαρτυρεῖ, ὅτι ὁσάκις (οὐδεμιᾶς προδήλου ἀνάγκης ἀπαιτούσης) ἐγένετο μεταβολὴ πραγμάτων ἐσκεμμένως ὁρισθέντων, πολλὰ ἐπηκολούθησαν τὰ ἀσύμφορα, καὶ ταῦτα πολλάκις πλείω καὶ μείζω τῶν κακῶν ἅτινα ἡ τοιαύτη μεταβολὴ προὐτίθετο θεραπεῦσαι· Οὕτω ἀφ' ἑτέρου, τῶν καθ' ἕκαστα Τύπων τῆς θείας Λατρείας, καὶ τῶν πρὸς χρῆσιν ἐν αὐτῇ διατεταγμένων Θεσμῶν καὶ Τελετῶν, φύσει ἀδιαφόρων καὶ ἀλλοιωτῶν ὁμολογουμένως ὄντων, εὔλογόν ἐστιν ἵνα, ἕνεκα λόγων βαρυσημάντων καὶ σπουδαίων, κατὰ τὰς διαφόρους ἀνάγκας καιρῶν καὶ περιστάσεων, γίνωνται ἐν αὐτοῖς μεταβολαὶ καὶ τροποποιήσεις τοιαῦται, οἵας οἱ ἐν ἐξουσίᾳ διατελοῦντες ἤθελον κρίνει κατὰ καιροὺς ἢ ἀναγκαίας ἢ λυσιτελεῖς. Ὅθεν βλέπομεν, ὅτι ἐπὶ πολλῶν ἐν μακαρίᾳ τῇ λήξει Ἡγεμόνων βασιλευσάντων ἀπὸ τῆς Μεταρρυθμίσεως, ἡ Ἐκκλησία, ὁσάκις δίκαιος καὶ βαρυσήμαντος λόγος προέτρεψεν αὐτὴν εἰς τοῦτο, συγκατένευσε ποιουμένη τοιαύτας ἔν τισι τῶν καθ' ἕκαστα μεταβολάς, οἷαι ἐν τῷ καιρῷ αὐτῆς ἑκάστῃ ἐνομίσθησαν σκόπιμοι· Πλὴν οὕτως, ὥστε τὸ καθόλου σῶμα καὶ τὰ οὐσιώδη τῆς Λειτουργίας (ἔν τε τῇ κυριωτέρᾳ ὕλῃ καὶ ἐν τῇ κατασκευῇ καὶ τάξει αὐτῆς) διέμειναν πάντοτε τὰ αὐτὰ μέχρι τῆς σήμερον, καὶ δὴ καὶ εἰσέτι στερεὰ καὶ ἀσάλευτα,

παρὰ πάσας τὰς ματαίας ἀποπείρας καὶ τὰς βιαίας ἐφόδους τὰς κατ' αὐτῆς γενομένας ὑπὸ τῶν ἀνθρώπων ἐκείνων οἵτινες ἀρέσκονται καινοτομεῖν, καὶ ἀεὶ ἐπεδείξαντο μείζονα φροντίδα ὑπὲρ τῶν ἰδίων αὐτῶν φαντασιῶν καὶ συμφερόντων, ἢ ὑπὲρ τοῦ πρὸς τὸ κοινὸν ὀφειλομένου καθήκοντος.

Διὰ τίνων ἀναρμόστων μέσων, ἢ ἕνεκα τίνων κακοβούλων σκοπῶν ἡ χρῆσις τῆς Λειτουργίας (εἰ καὶ ἐπιτασσομένη ὑπὸ τῶν ἐγχωρίων Νόμων, Νόμων μηδέποτε ἀκυρωθέντων) διεκόπη κατὰ τὰς ἐπ' ἐσχάτων λυπηρὰς ταραχάς, ὑπάρχει γνωστότατον τοῖς πᾶσιν, ἡμεῖς δὲ οὐδόλως βουλόμεθα ἐνταῦθα ὑπομνῆσαι. Ὅτε ὅμως, ἐπὶ τῇ αἰσίῳ Ἀποκαταστάσει τῆς Αὐτοῦ Μεγαλειότητος, προέκυψεν ἡ πιθανότης ὅτι, σὺν ἄλλοις, καὶ ἡ χρῆσις τῆς Λειτουργίας ἔμελλεν ὡς εἰκὸς ἐπαναληφθῆναι (οὐδέποτε καταργηθείσης ταύτης νομίμως), ἂν μὴ ἐγίνοντο ἔγκαιροι πρὸς ἐμποδισμὸν ἐνέργειαι· τότε οἱ ἄνθρωποι ἐκεῖνοι, οἵτινες προυργιαιτάτην αὐτῶν ἀσχολίαν, ἐπὶ τῆς πρώην ἀνόμου ἀρχῆς, ἐλογίζοντο τὸ κακῶς διαθέτειν τὸν λαὸν πρὸς τὴν χρῆσιν τῆς Λειτουργίας, εἶδον ὅτι καὶ ἕνεκα ὑπολήψεως καὶ ἕνεκα συμφέροντος ἐνδιεφέροντο (πλὴν εἰ μὴ αὐτοπροαιρέτως ὡμολόγουν πλάνην, ὅπερ δυσκόλως πείθονται οἱ τοιοῦτοι πρᾶξαι), ἵνα πάσῃ δυνάμει καὶ προσπαθείᾳ παρεμποδίσωσι τὴν ἀποκατάστασιν αὐτῆς. Δι' ὃν σκοπὸν παντοῖα κατὰ τοῦ Βιβλίου Κοινῆς Προσευχῆς ἐδημοσιεύθησαν φυλλάδια, αἱ παλαιαὶ ἐνστάσεις συμπαρετάχθησαν, καὶ νέαι τινὲς καὶ πλειότεραι τῶν τέως ἐγειρομένων προσετέθησαν, πρὸς ἐξόγκωσιν τοῦ ἀριθμοῦ. Τέλος, λίαν φορτικαὶ ἐγένοντο πρὸς τὴν Αὐτοῦ Σεβαστὴν Μεγαλειότητα αἰτήσεις, ἵνα τὸ ῥηθὲν Βιβλίον ἀναθεωρηθῇ, καὶ ἵνα τοιαῦτά τινα τροποποιηθῶσιν ἐν αὐτῷ καὶ προστεθῶσιν, οἷα ἂν κρίνοιντο ἀναγκαῖα εἰς καταπραΰνσιν τρυφερῶν συνειδήσεων· Εἰς ὃ ἡ Αὐτοῦ Μεγαλειότης ἕνεκα τῆς θεοσεβοῦς αὐτῆς διαθέσεως

τοῦ εὐαρεστεῖν (καθόσον τοιαύτη προσδοκία ἐστὶν εὔλογος) πᾶσι τοῖς οἱασδήποτε δοξασίας ὑπηκόοις αὐτῆς, εὐμενέστατα συνήνεσεν.

Ἐν τῇ ἀναθεωρήσει λοιπὸν ταύτῃ ἐπεμελήθημεν τηρῆσαι τὴν αὐτὴν μετριότητα, ἣν ἔγνωμεν ἀποδεκτὴν γενομένην ἐν ὁμοίαις περιστάσεσι κατὰ τὸν παρελθόντα χρόνον. Ὅθεν, τῶν προταθεισῶν ἡμῖν διαφόρων τροποποιήσεων ἀπερρίψαμεν πάσας ὅσαι εἴτε κινδυνώδεις ἦσαν τὴν συνέπειαν (καθὰ βάλλουσαι λαθραίως κατ' ἐγκύρου τινὸς Διδασκαλίας, ἢ ἐπαινετῆς Πράξεως τῆς Ἐκκλησίας τῆς Ἀγγλίας, ἢ καὶ τῆς συμπάσης Καθολικῆς τοῦ Χριστοῦ Ἐκκλησίας), εἴτε οὐδὲν τὸ σπουδαῖον εἶχον, ἀλλὰ τελείως φλύαροι ἦσαν καὶ μάταιαι. Ὅσας ὅμως τῶν τροποποιήσεων τῶν προταθεισῶν ἡμῖν (ὑφ' οἱωνδήποτε προσώπων, ἐφ' οἱᾳδήποτε προφάσει, καὶ δι' οἱονδήποτε σκοπόν) ἐκρίναμεν ὁπωσοῦν ἀναγκαίας ἢ λυσιτελεῖς, εἰς ταύτας προθύμως καὶ αὐτοπροαιρέτως συγκατετέθημεν· Οὐχὶ βιασθέντες εἰς τοῦτο τῇ δυνάμει ἐπιχειρήματός τινος, πείθοντος ἡμᾶς περὶ τῆς ἀνάγκης τοῦ ἐπενεγκεῖν τὰς εἰρημένας τροποποιήσεις· Διότι ἐσμὲν ἐντελῶς πεπεισμένοι κατὰ τὴν ἰδίαν ἡμῶν γνώμην (ὅπερ καὶ ὁμολογοῦμεν ἐνταῦθα ἐνώπιον πάντων τῶν ἀνθρώπων) ὅτι τὸ Βιβλίον, ὡς εἶχε τὸ πρὶν ὑπὸ τοῦ Νόμου κυρωθέν, οὐδὲν περιλαμβάνει τὸ ἀντιβαῖνον εἰς τὸν Λόγον τοῦ Θεοῦ, ἢ εἰς τὴν ὑγιαίνουσαν Διδασκαλίαν, ἢ ἄλλο τι τοῦ ὁποίου ἄνθρωπος εὐσεβὴς οὐκ ἠδύνατο ἐν ἀγαθῇ συνειδήσει χρῆσιν ποιεῖσθαι καὶ ὑποτάσσεσθαι αὐτῷ, ἤ τι τὸ μὴ εὐαπολόγητον κατὰ παντὸς τοῦ ἐναντιουμένου· ἐάν γε ἐτύγχανε τῆς δικαίας ἐκείνης καὶ εὔνου ἑρμηνείας ἣν κατὰ κοινὴν ἐπιείκειαν ὀφείλομεν ἐπιτρέπειν πάσῃ ἀνθρωπίνῳ συγγραφῇ, ἰδίως ταῖς ἀδείᾳ τῆς Ἐξουσίας ἐκδεδομέναις, καὶ αὐταῖς ἔτι ταῖς ἀρίσταις Μεταφράσεσι αὐτῆς τῆς θείας Γραφῆς.

ΠΡΟΟΙΜΙΟΝ

Καὶ ὁ μὲν γενικὸς ἡμῶν σκοπὸς ἐν τῷ ἐγχειρήματι τούτῳ ἦν, οὐχὶ τὸ ἐπαρκέσαι εἰς τούτου ἢ ἐκείνου τοῦ κόμματος τὰς ἀλόγους ἀπαιτήσεις· ἀλλὰ τὸ πρᾶξαι ὅ,τι κατὰ τὴν λελογισμένην ἡμῶν γνώμην ἐστοχάσθημεν ὡς τὰ μάλιστα συντεῖνον εἰς τήρησιν τῆς Εἰρήνης καὶ Ἑνότητος ἐν τῇ Ἐκκλησίᾳ, εἰς προαγωγὴν Εὐσεβείας, εἰς διέγερσιν Εὐλαβείας καὶ Ἀφοσιώσεως ἐν τῇ δημοσίᾳ τοῦ Θεοῦ Λατρείᾳ, καὶ εἰς ἐκκοπὴν ἀφορμῆς τῶν ἀφορμὴν ζητούντων ὅπως κενολογῶσι καὶ ἐρίζωσι κατὰ τῆς Λειτουργίας τῆς Ἐκκλησίας. Ὅσον δ' ἀφορᾷ τὰς διαφόρους ἀπὸ τοῦ προγενεστέρου Βιβλίου παραλλαγάς, τὰς κατὰ τροποποίησιν, ἢ διὰ προσθήκης, ἢ ὁπωσδήποτε ἄλλως γενομένας, ἀρκεῖ ἡ ἐν γένει ἔκθεσις αὕτη· Ὅτι αἱ πλεῖσται τῶν Τροποποιήσεων ἐπηνέχθησαν εἴτε, πρῶτον, χάριν ἀκριβεστέρας ὁδηγίας τῶν ἱερουργούντων ἐν οἱῳδήποτε μέρει τῆς Θείας Ἱεροτελεστίας· καὶ τοῦτο ἐγένετο ἰδίως ἐν τοῖς Καλενδαρίοις καὶ τῷ Τυπικῷ· Εἴτε, δεύτερον, χάριν τῆς προφυεστέρας διατυπώσεως λέξεών τινων ἢ φράσεων συνηθείας ἀρχαιοτέρας, διὰ τρόπου συμφωνοτέρου μὲ τὴν γλῶσσαν τοῦ παρόντος καιροῦ, καὶ χάριν τῆς σαφεστέρας ἑρμηνείας ἑτέρων τινῶν λέξεων καὶ φράσεων, αἵτινες ἢ ἀμφιβόλου ἦσαν ἐννοίας, ἢ ἄλλως ὑπέκειντο εἰς παρερμηνείαν· Εἴτε, τρίτον, χάριν τῆς ἀκριβεστέρας ἑρμηνείας τῶν περικοπῶν ἐκείνων τῆς θείας Γραφῆς, αἵτινες ὑπάρχουσιν παρεμβεβλημέναι ἐν τῇ Λειτουργίᾳ· αἵτινες, μάλιστα ὡς πρὸς τοὺς Ἀποστόλους καὶ τὰ Εὐαγγέλια καί τινα ἄλλα μέρη, διετάχθη νῦν ὅπως ἀναγινώσκωνται κατὰ τὴν τελευταίαν Μετάφρασιν. Ἐκρίθη ἐπίσως σκόπιμον, ὅπως Προσευχαί τινες καὶ Εὐχαριστίαι, ἁρμόζουσαι εἰς εἰδικὰς περιστάσεις, ταχθῶσιν εἰς τὰς προσηκούσας αὐταῖς θέσεις· ἰδίως αἱ εἰς τοὺς Θαλασσοποροῦντας εὐχαί, καὶ ἡ Ἀκολουθία τοῦ Βαπτίσματος τῶν ἐν ὡρίμῳ ἡλικίᾳ· ἥτις Ἀκολουθία, εἰ καὶ

οὖσα οὐχὶ λίαν ἀναγκαία ὅτε συνετάχθη τὸ προγενέστερον Βιβλίον, ὅμως διὰ τὴν ἐπαύξησιν τοῦ Ἀναβαπτισμοῦ, τοῦ παρεισδύσαντος παρ' ἡμῖν ἕνεκα τῆς ἀκολασίας τῶν τελευταίων τούτων καιρῶν, κατέστη νῦν ἀναγκαία, καὶ δύναται πάντοτε χρήσιμος ὑπάρχειν πρὸς Βάπτισιν τῶν ἐν ταῖς ἡμετέραις ἀποικίαις Ἰθαγενῶν, καὶ ἄλλων ἐπιστρεφόντων εἰς τὴν Πίστιν.

Ἐὰν δέ τις, ἐπιθυμῶν λεπτομερεστέραν αἰτιολόγησιν τῶν διαφόρων τροποποιήσεων ἐν οἱῳδήποτε τῆς Λειτουργίας τμήματι, λάβῃ τὸν κόπον τοῦ ἀντιβαλεῖν τὸ παρὸν Βιβλίον πρὸς τὸ προγενέστερον, οὐδόλως ἀμφιβάλλομεν ὅτι ὁ λόγος ἑκάστης μεταβολῆς εὐκόλως γενήσεται δῆλος.

Οὕτως προθυμοῦντες ἐπιτελέσαι τὸ ἐν τῷ περισπουδάστῳ τούτῳ ἔργῳ ἡμέτερον καθῆκον, ὡς ἐνώπιον τοῦ Θεοῦ, καὶ ἀποδεῖξαι (ὅσον τὸ παρ' ἡμῖν) τὴν ἡμετέραν ἐν αὐτῷ εἰλικρίνειαν πρὸς πᾶσαν συνείδησιν ἀνθρώπων· εἰ καὶ γνωρίζομεν ὅτι ἀδύνατον τὸ ἀρέσαι εἰς πάντας (ἐν ὅσῳ ἡ ποικιλία ἀντιλήψεων, διαθέσεων, καὶ συμφερόντων ὑπάρχει, οἵα νῦν ὑφίσταται ἐν τῷ κόσμῳ)· οὐδὲ δυνατὸν τὸ προσδοκᾷν ὅτι ἄνθρωποι ἐμφορούμενοι πνεύματος στασιαστικοῦ, αὐθάδους καὶ διεστραμμένου ὁμολογήσουσιν ἑαυτοὺς ἀρκεσθέντας εἰς πρᾶγμα τοιαύτης φύσεως, πραχθὲν ὑπ' ἄλλων ἢ αὐτῶν· Ἀλλ' ὅμως χρηστὰς τρέφομεν ἐλπίδας, ὅτι τὰ ἐνταῦθα νῦν παρουσιαζόμενα, ἅτινα ἐξητάσθησαν μετὰ πολλῆς φροντίδος καὶ ἐκυρώθησαν ὑπὸ τῶν Συνόδων τῶν δύο Ἐπαρχιῶν, ἔσονται εὐαπόδεκτα καὶ ἀρεστὰ πᾶσι τοῖς σώφροσιν, εἰρηνοφίλοις, καὶ ὄντως εὐσυνειδήτοις Τέκνοις τῆς Ἐκκλησίας τῆς Ἀγγλίας.

ΠΕΡΙ ΤΗΣ ΕΚΚΛΗΣΙΑΣΤΙΚΗΣ ΑΚΟΛΟΥΘΙΑΣ

[A.D. 1549]

ΟΥδὲν πώποτε ὑπὸ τῆς ἀνθρωπίνης ἐπινοίας ἐφευρέθη μετὰ τοσαύτης προσοχῆς, ἢ ἐπεκυρώθη μετὰ τοσαύτης ἀσφαλείας, ὥστε μή, προϊόντος τοῦ χρόνου, διαφθαρῆναι· Ὅ,τι ὡς ἐν ἄλλοις, καὶ ἐν ταῖς Κοιναῖς τῆς Ἐκκλησίας Προσευχαῖς, ἤτοι ἐν τῇ κοινῶς καλουμένῃ Θείᾳ Ἀκολουθίᾳ, πρόδηλον κατέστη. Ταύτης τὴν ἀρχὴν καὶ τὰς βάσεις, ἐάν τις ἀναζητήσῃ εἰς τοὺς ἀρχαίους Πατέρας, εὑρήσει αὐτὴν μὴ διαταχθῆναι ἄλλως, εἰ μὴ ἐπ' ἀγαθῷ τινὶ σκοπῷ, καὶ ἐπὶ μεγάλῃ προκοπῇ θεοσεβείας. Οὕτω γὰρ ἐκεῖνοι τὰ πάντα διετάξαντο, ὥστε ἅπασα ἡ θεία Γραφὴ (ἢ τὸ πλεῖστον αὐτῆς μέρος) ἅπαξ ἀναγνωσθῇ καθ' ἕκαστον ἔτος· βουλόμενοι διὰ τούτου τὸν Κλῆρον, καὶ πρὸ πάντων τοὺς ἐν ταῖς Ἐκκλησίαις ἐφημερεύοντας (διὰ τῆς συχνῆς ἀναγνώσεως καὶ μελέτης τοῦ θείου λόγου) αὐτούς τε εἰς θεοσέβειαν ἐξεγερθῆναι, καὶ ἱκανωτέρους γενέσθαι παρακαλεῖν τοὺς ἄλλους μεθ' ὑγιαινούσης διδασκαλίας, καὶ ἐλέγχειν τοὺς τῇ Ἀληθείᾳ ἐναντιουμένους· καὶ προσέτι, ἵνα ὁ λαὸς (καθ' ἑκάστην ἡμέραν ἀκούων τὴν ἱερὰν Γραφὴν ἐν τῇ Ἐκκλησίᾳ ἀναγινωσκομένην) ἐπὶ πλέον προκόψῃ διηνεκῶς ἐν τῇ ἐπιγνώσει τοῦ Θεοῦ, καὶ εἰς τὴν ἀγάπην ἀναφλεχθῇ τῆς ἀληθινῆς αὐτοῦ Θρησκείας.

Ἀλλ' ἀπὸ πολλῶν ἤδη ἐνιαυτῶν, αὕτη ἡ τῶν ἀρχαίων Πατέρων εὐσεβὴς καὶ εὔσχημος Τάξις ἐπὶ τοσοῦτον ἠλλοιώθη, διεσπάσθη, καὶ παρημελήθη, διὰ προσθήκης ἀβεβαίων Ἱστοριῶν, καὶ Ἀναγνωσμάτων, μετὰ καὶ πληθύος Ὑπηχημάτων, Στίχων, Βαττολογιῶν, Ἀναμιμνητηρίων, καὶ Συνοδικῶν, ὥστε ὡς ἐπὶ τὸ πολύ, μετὰ τὴν ἔναρξιν τῆς ἀναγνώσεως Βιβλίου τινὸς τῆς θείας Γραφῆς, ἀναγνωσθέντων τριῶν ἢ τεσσάρων Κεφαλαίων, τὰ λοιπὰ παρελείποντο. Καὶ κατὰ τοῦτον τὸν τρόπον ἡ ἀνάγνωσις τοῦ Βιβλίου τοῦ Ἡσαΐου ἤρχετο πρὸ τῶν Χριστουγέννων, καὶ ἡ Γένεσις κατὰ τὴν Septuagesimam: ἀλλ' ἡ ἔναρξις αὐτῶν μόνον ἐγένετο, οὐδέποτε δὲ ἀνεγινώσκοντο μέχρι τέλους· Καθ' ὅμοιον τρόπον καὶ ἄλλων Βιβλίων τῆς θείας Γραφῆς χρῆσις ἐγένετο. Πρὸς τούτοις δέ, εἰ καὶ ὁ Ἀπόστολος ἐπιθυμεῖ τοιαύτην γλῶσσαν λαληθῆναι ἐν τῇ Ἐκκλησίᾳ, οἵαν ὁ λαὸς

δύναται κατανοῆσαι, καὶ ὠφεληθῆναι ἀκούων ταύτην· Ἐν τούτοις ἀπὸ πολλῶν ἐτῶν αἱ Ἀκολουθίαι ἐν ταύτῃ τῇ Ἀγγλικανῇ Ἐκκλησίᾳ τελοῦνται ἐν τῇ Λατινικῇ γλώσσῃ, ἣν ὁ λαὸς οὐ κατανοεῖ· ὥστε τοῖς ὠσὶ μόνον ἀκούουσι, ἡ δὲ καρδία, τὸ πνεῦμα, καὶ ἡ διάνοια αὐτῶν οὐκ οἰκοδομεῖται ἐντεῦθεν. Πρὸς δέ, *ἐν ᾧ διεῖλον οἱ ἀρχαῖοι* Πατέρες *τοὺς* Ψαλμοὺς *εἰς ἑπτὰ μέρη, τῶν ὁποίων ἓν ἕκαστον* Nocturna *ὠνομάσθη·* Ἀλλ' *ἐπ' ἐσχάτων, στιχολογοῦνται καθ' ἑκάστην ἡμέραν ὀλίγοι μόνον ἐξ αὐτῶν, τῶν λοιπῶν ὅλως παραλειπομένων.* Πρὸς *τούτοις δέ, τὸ πλῆθος καὶ τὸ δυσχερὲς τῶν ἐν τῇ* Διατάξει *τῆς λεγομένης* Pica *περιεχομένων, καὶ αἱ ἐν ταῖς* Ἀκολουθίαις *γινόμεναι ποικίλαι ἀλλοιώσεις, αἰτία ἐγένετο, ὥστε τὸ ἀνοῖξαι μόνον τὸ* Βιβλίον *ἦτο τόσον δυσχερὲς καὶ πολύπλοκον, ὥστε συχνάκις μείζονα παρεῖχε δυσκολίαν τὸ ἐξευρεῖν τὸ ἀναγνωστέον, ἢ τὸ ἀναγνῶναι αὐτὸ τὸ ἐξευρεθέν.*

Ὅθεν ἕνεκα τῶν δυσχερειῶν τούτων, ἡ παροῦσα Διάταξις *πρόκειται ἐνταῦθα, δι' ἧς ἐπανορθοῦνται ταῦτα.* Καὶ *ἵνα τοῦτο εὐχερέστερον γένηται, διεγράφη ἐνταῦθα πρὸς τὸν σκοπὸν τοῦτον* Καλενδάριον, *σαφὲς ὑπάρχον καὶ εὐκατάληπτον· ἐν ᾧ (ὅσον ἔνεστιν) ἡ ἀνάγνωσις τῆς θείας* Γραφῆς *οὕτω διατεταγμένη ἐστίν, ὥστε πάντα κατὰ τάξιν γίνεσθαι, καὶ μὴ διασπᾶσθαι περικοπὴν ἀπὸ περικοπῆς.* Πρὸς *τοῦτο δὲ παρελείφθησαν* Ἀντίφωνα, Ὑπηχήματα, Προκλητικά, *καὶ τὰ τούτοις ὅμοια, ὅσα τὴν συνεχῆ διέκοπτον σειρὰν τῆς ἀναγνώσεως τῆς θείας* Γραφῆς.

Ἀλλ' *ἐπειδὴ οὐκ ἔστιν ἄλλως γενέσθαι, καὶ ἐπάναγκές ἐστι* Κανόνας *τινὰς εἶναι· διὰ τοῦτο* Κανόνες *τινὲς ἐνταῦθα πρόκεινται, οἵτινες καὶ ὀλίγοι καὶ σαφεῖς τε καὶ εὐκατάληπτοί εἰσιν.* Ὥστ' *ἐνταῦθα* Διάταξιν *ἔχετε* Προσευχῆς, *καὶ ἀναγνώσεως τῆς θείας* Γραφῆς, *εὐσύμφωνον οὖσαν τῇ γνώμῃ καὶ προθέσει τῶν ἀρχαίων* Πατέρων, *καὶ πολὺ ὠφελιμωτέραν καὶ προσφορωτέραν τῆς τέως ἐν χρήσει ὑπαρχούσης.* Ὠφελιμωτέρα *μέν ἐστιν, ὅτι πολλὰ παρελείφθησαν, ὧν τὰ μὲν ψευδῆ, τὰ δὲ ἀβέβαια, τὰ δὲ μάταια καὶ δεισιδαίμονα· καὶ ὅτι οὐδὲν διατέτακται ἵνα ἀναγνωσθῇ, εἰ μὴ μόνον αὐτὸς ὁ καθαρὸς* Λόγος *τοῦ* Θεοῦ, *δηλονότι ἡ θεία* Γραφή, *ἢ ὅ,τι ταύτῃ συνᾴδει· καὶ τοῦτο εἰς τοιαύτην γλῶσσαν καὶ τάξιν ἐξετέθη, ὥστε ὡς μάλιστα εὐκατάληπτον εἶναι καὶ διασαφὲς εἰς τὴν διάνοιαν τῶν τε ἀναγινωσκόντων καὶ τῶν ἀκουόντων.* Προσέτι *δὲ προσφορωτέρα ὑπάρχει, διὰ τήν τε βραχύτητα αὐτῆς καὶ τὴν τῆς* Διατάξεως *ἁπλότητα, καὶ διότι ὀλίγοι εἰσὶν οἱ* Κανόνες *καὶ εὐχερεῖς.*

Καὶ *ἐπειδὴ μέχρι τοῦδε μεγάλη ὑπῆρχεν ἀνομοιότης εἰς τά τε ἀναγινωσκόμενα καὶ τὰ ψαλλόμενα ἐν ταῖς* Ἐκκλησίαις *ταῖς ἐντὸς τῆς* Βασιλείας *ταύτης· τῶν μὲν ἀκολουθούντων τὸ* Τυπικὸν *Σαρισβουρίας, τῶν δὲ τὸ* Τυπικὸν *Ἑρεφόρδης, τῶν δὲ τὸ* Τυπικὸν *Βαγγορίας, τῶν δὲ τὸ Ἐβοράκου, τῶν δὲ τὸ Λιγκολνίας· νῦν τοῦ λοιποῦ ἓν καὶ τὸ αὐτὸ* Τυπικὸν *ἔσται καθ' ἅπασαν τὴν* Βασιλείαν.

ΠΕΡΙ ΤΗΣ ΕΚΚΛΗΣΙΑΣΤΙΚΗΣ ΑΚΟΛΟΥΘΙΑΣ

Καθόσον δὲ οὐδὲν δύναται οὕτω σαφῶς ἐκτεθῆναι, ὥστε ἀποφυγεῖν ἐνδεχομένας ἀμφιβολίας ἐν τῇ τε χρήσει καὶ τῇ πράξει αὐτοῦ· πρὸς κατεύνασιν πασῶν τῶν διαφοροτήτων (ἐάν ποτε τοιαῦται ἀναφανῶσι) καὶ πρὸς ἐπίλυσιν πασῶν τῶν ἀμφιβολιῶν, ὡς πρὸς τὴν κατανόησιν, πρᾶξιν, καὶ ἐφαρμογὴν τῶν ἐν τῷ Βιβλίῳ τούτῳ περιεχομένων· τοὺς οὕτως ἀμφιβάλλοντας, ἢ διαφόρως τι ἐκδεχομένους, δέον πάντοτε προσφεύγειν πρὸς τὸν ἐνορίτην Ἐπίσκοπον, ὅστις ἐν τῇ συνέσει αὐτοῦ ὁρίσεται τὰ κατάλληλα πρὸς εἰρήνευσιν καὶ κατεύνασιν αὐτῶν· ἀλλ᾽ οὕτως ὥστε ὁ ὁρισμὸς αὐτοῦ μὴ ἀντίκειταί τινι τῶν ἐν τῷ Βιβλίῳ τούτῳ περιεχομένων. Ἐὰν δὲ ἀμφιβάλλῃ καὶ ὁ ἐνορίτης Ἐπίσκοπος, δύναται ἀποταθῆναι πρὸς τὸν Ἀρχιεπίσκοπον πρὸς ἐπίλυσιν τῆς ἀπορίας.

EI καὶ διατέτακται, Ὅτι πάντα δέον ἀναγινώσκεσθαι καὶ ψάλλεσθαι ἐν τῇ Ἐκκλησίᾳ Ἀγγλιστί, ὅπως τὸ Ἐκκλησίασμα ἐντεῦθεν οἰκοδομηθῇ· ἐν τούτοις ὑπονοεῖται, ὅτι ἔξεστιν εἰς τοὺς κατ᾽ ἰδίαν ἀναγινώσκοντας τὴν Πρωινὴν καὶ τὴν Ἑσπερινὴν Ἀκολουθίαν ποιῆσαι χρῆσιν γλώσσης ἥντινα αὐτοὶ κατανοοῦσι.

Πάντες δὲ οἱ Ἱερεῖς καὶ οἱ Διάκονοι ὀφείλουσιν ἀναγινώσκειν καθ᾽ ἑκάστην ἡμέραν τὴν Πρωινὴν καὶ τὴν Ἑσπερινὴν Ἀκολουθίαν, εἴτε κατ᾽ ἰδίαν εἴτε δημοσίᾳ, ἐκτὸς ἂν ὑπὸ ἀσθενείας ἢ ἄλλης τινὸς ἐπειγούσης αἰτίας κωλυθῶσι.

Καὶ ὁ Ἐφημέριος ἔν τινι Ἐκκλησίᾳ Ἐνοριακῇ ἢ Παρεκκλησίῳ ἐφημερεύων, ἐὰν μὴ ἀποδημῇ, ἢ κωλύηται ἄλλως δι᾽ εὔλογόν τινα αἰτίαν, ὀφείλει ἀναγινώσκειν αὐτὰς ἐν τῇ Ἐνοριακῇ Ἐκκλησίᾳ ἢ τῷ Παρεκκλησίῳ τῆς ἐφημερίας αὐτοῦ, καὶ κρούειν πρὸς τοῦτο τὸν Κώδωνα ἐν καταλλήλῳ χρόνῳ πρὸ τῆς ἐνάρξεως, ἵνα προσέλθῃ ὁ λαὸς καὶ ἀκούῃ τὸν λόγον τοῦ Θεοῦ, καὶ συμπροσεύχηται μετ᾽ αὐτοῦ.

ΠΕΡΙ ΙΕΡΟΤΕΛΕΣΤΙΩΝ

ΔΙΑΤΙ ΤΙΝΕΣ ΜΕΝ ΑΠΕΡΡΙΦΘΗΣΑΝ ΤΙΝΕΣ ΔΕ ΕΤΗΡΗΘΗΣΑΝ

[A.D. 1549]

ΕΚ τῶν ἐν χρήσει ἐν τῇ Ἐκκλησίᾳ ὑπαρχουσῶν Ἱεροτελεστιῶν, αἵτινες δι' ἀνθρωπίνης διατάξεως τὴν ἀρχὴν αὐτῶν ἔλαβον, τινὲς μὲν κατ' ἀρχὰς ἐπενοήθησαν ἐξ εὐσεβοῦς διαθέσεως καὶ σκοποῦ, ἀλλ' ἐπὶ τέλους εἰς ματαιότητα καὶ δεισιδαιμονίαν παρεξέκλινον· Τινὲς δὲ ἕνεκα ἀλογίστου θεοσεβείας καὶ οὐ κατ' ἐπίγνωσιν ζήλου ἐπεισῆλθον εἰς τὴν Ἐκκλησίαν· καὶ ἐπειδὴ κατ' ἀρχὰς ὑπερεωράθησαν, εἰς πλείονας καθ' ἑκάστην ἡμέραν ηὔξανον αἱ καταχρήσεις, αἵτινες οὐ μόνον διὰ τὸ ἀνωφελὲς αὐτῶν, ἀλλὰ καὶ διότι πολὺ ἀπετύφλωσαν τὸν λαόν, καὶ ἠμαύρασαν τὴν δόξαν τοῦ Θεοῦ, δέον ἵνα ἀποκοπῶσι, καὶ ὅλως ἀπορριφθῶσι. Τινὲς δὲ πάλιν, καίτοι εἰσὶν ἀνθρωπίνη ἐπίνοια, ἔδοξεν ἵνα διατηρηθῶσι, τοῦτο μὲν ἕνεκεν τῆς ἱεροπρεποῦς εὐκοσμίας ἐν τῇ Ἐκκλησίᾳ (δι' ὅπερ καὶ τὸ πρῶτον ἐφηυρέθησαν), τοῦτο δὲ διότι ἀνήκουσι τῇ οἰκοδομῇ, εἰς ἥντινα δεῖ (κατὰ τὸν Ἀπόστολον) πάντα ἀναφέρεσθαι τὰ ἐν τῇ Ἐκκλησίᾳ γινόμενα.

Εἰ δὲ καὶ καθ' ἑαυτὸ οὐκ ἐστὶ μέγα τὸ Τελετήν τινα τηρῆσαι ἢ παραλεῖψαι, ἀλλ' ὅμως ἡ αὐτοπροαίρετος καὶ καταφρονητικὴ παράβασις καὶ ἀθέτησις κοινῆς τινὸς τάξεως καὶ πειθαρχίας, οὐ σμικρὸν παράπτωμα ὑπάρχει κατενώπιον τοῦ Θεοῦ. Πάντα γάρ, φησὶν ὁ Ἀπόστολος, εὐσχημόνως καὶ κατὰ τάξιν γινέσθω ἐν ὑμῖν. Ταύτης δὲ τῆς τάξεως ὁ καθορισμὸς οὐκ ἀνήκει τοῖς ἰδιώταις· ὅθεν οὐδενὶ ἔξεστιν ἐπιβαλεῖν χεῖρα, ἢ τολμῆσαι δημοσίαν τινὰ ἢ κοινὴν ἐν τῇ τοῦ Χριστοῦ Ἐκκλησίᾳ τάξιν καθορίσαι ἢ μεταβαλεῖν, εἰ μὴ ὁ νομίμως εἰς τοῦτο κληθεὶς καὶ ἐξουσιοδοτηθείς.

Καὶ ἐπειδὴ ἐπὶ τούτων τῶν ἡμερῶν ἡμῶν αἱ γνῶμαι τῶν ἀνθρώπων εἰσὶν οὕτω διάφοροι, ὥστε τινῶν μὲν ἀπρὶξ ἐχομένων τῶν ἀρχαίων ἐθῶν αἱ συνειδήσεις μεγάλως τύπτονται εἰ καὶ μέρος τι τῶν ἐλαχίστων Τελετῶν αὐτῶν παραλείψουσι· τινὲς δὲ ἀφ' ἑτέρου νεωτερίζοντες ἐπιθυμοῦσι καινοτομίας ἐν πᾶσι, καὶ οὕτω καταφρονοῦσι τῶν ἀρχαίων, ὥστε οὐδὲν δύναται ἀρέσαι αὐτοῖς, εἰ μὴ ὅ,τι καινοφανές· Ἔδοξε σκόπιμον οὐ τοσοῦτον ἀπιδεῖν εἰς τὸ εὐαρεστῆσαι καὶ ἱκανοποιῆσαι ἑκατέραν τῶν μερίδων τούτων, ἀλλὰ μᾶλλον εἰς τὸ ἀρέσαι τῷ Θεῷ, καὶ ἀμφοτέρας τὰς μερίδας ὠφελῆσαι. Ἀλλ' ὅμως ἵνα μή τις, ὧν εὔλογος αἰτία δυνατὸν ἱκανοποιῆσαι, σκανδαλισθῇ, ἐκτίθενται ἐνταῦθα αἴτιά τινα, ὧν ἕνεκα αἱ μὲν τῶν εἰθισμένων Ἱεροτελεστιῶν ἀπερρίφθησαν, αἱ δὲ τηροῦνται ἔτι καὶ φυλάσσονται.

ΠΕΡΙ ΙΕΡΟΤΕΛΕΣΤΙΩΝ

Αἱ μὲν οὖν ἀπερρίφθησαν, διότι ἡ μεγάλη ὑπερβολὴ καὶ πληθὺς αὐτῶν τοσοῦτον ηὔξησεν ἐπ' ἐσχάτων, ὥστε τὸ φορτίον αὐτῶν ἀφόρητον ἐγένετο· περὶ οὗ ὁ ἅγιος Αὐγουστῖνος παρεπονεῖτο ἐν ταῖς ἡμέραις αὐτοῦ, ὅτι εἰς τοσοῦτο προέβησαν πλῆθος αἱ ἱεροτελεστίαι, ὥστε ἡ κατάστασις τοῦ Χριστιανικοῦ λαοῦ, ὡς πρὸς τὸ ζήτημα τοῦτο, ἦν χείρων τῆς τῶν Ἰουδαίων. Καὶ συνεβούλευσεν, ὅτι τοιοῦτον ζυγὸν καὶ φορτίον ἔδει ἐν εὐθέτῳ καιρῷ ἀποβληθῆναι. Ἀλλὰ τί ἂν ἔλεγεν ὁ ἅγιος Αὐγουστῖνος, εἰ ἔβλεπε τὰς ἐπ' ἐσχάτων παρ' ἡμῖν ἐν χρήσει Τελετάς· ὧν οὐκ ἐστὶ σύγκρισις πρὸς τὸν ἀριθμὸν τῶν ἐπὶ τῶν ἡμερῶν αὐτοῦ ἐν χρήσει οὐσῶν; Ἡ ὑπερβολικὴ αὕτη τῶν Τελετῶν ἡμῶν πληθώρα ἦν οὕτω μεγάλη, καὶ πολλαὶ αὐτῶν οὕτω σκοτειναί, ὥστε μᾶλλον συνέχεον καὶ ἐπεσκότιζον ἢ ἀνήγγειλαν καὶ ἀνέπτυξαν τὰς εἰς ἡμᾶς εὐεργεσίας τοῦ Χριστοῦ. Πλὴν δὲ τούτου, τὸ Εὐαγγέλιον τοῦ Χριστοῦ οὐκ ἐστὶ Νόμος Τελετουργικός (ὡς ὑπῆρχεν ὡς ἐπὶ τὸ πολὺ ὁ Μωσαϊκὸς Νόμος) ἀλλ' ἐστὶ Θρησκεία εἰς λατρείαν τοῦ Θεοῦ, οὐκ ἐν δουλείᾳ μορφῆς ἢ σκιᾶς, ἀλλ' ἐν τῇ ἐλευθερίᾳ τοῦ πνεύματος· ἀρκουμένη μόνον ταῖς Τελεταῖς ἐκείναις αἵτινες συμβάλλονται εἰς τὴν Εὐπρέπειαν καὶ τὴν θεάρεστον Εὐταξίαν, καὶ ταῖς ἱκαναῖς ἐγεῖραι τὴν ῥᾴθυμον τῶν ἀνθρώπων διάνοιαν εἰς ὑπόμνησιν τοῦ πρὸς τὸν Θεὸν καθήκοντος αὐτῶν, διά τινος ἐκδήλου καὶ εἰδικοῦ νοήματος, δι' οὗ δύνανται οἰκοδομηθῆναι. Προσέτι δέ, ἡ σπουδαιοτάτη αἰτία τῆς καταργήσεως Τελετῶν τινῶν ἦν, Ὅτι τοιαύτη κατάχρησις ἐγένετο τούτων, τὸ μὲν ἕνεκα τῆς τυφλῆς δεισιδαιμονίας ἀγροίκων καὶ ἀπαιδεύτων, τὸ δὲ ἕνεκα τῆς ἀκορέστου πλεονεξίας ἐκείνων οἵτινες μᾶλλον τὸ ἑαυτῶν κέρδος ἢ τὴν δόξαν τοῦ Θεοῦ ἐζήτουν, ὥστε αἱ καταχρήσεις οὐκ ἐδύναντο ἀρθῆναι, παραμενόντων αὐτῶν τῶν πραγμάτων.

Ἀλλὰ νῦν ὡς πρὸς ἐκείνους, οἵτινες ἴσως σκανδαλισθήσονται, διότι τινὲς τῶν ἀρχαίων Τελετῶν ἔτι διαμένουσι· Εἰ νομίζουσιν, ὅτι ἀδύνατός ἐστιν ἄνευ τινῶν Τελετῶν ἡ τήρησις τῆς Εὐτάξεως καὶ ἠρέμου Πειθαρχίας ἐν τῇ Ἐκκλησίᾳ, εὐχερῶς κατανοήσουσι τὴν εὔλογον αἰτίαν τοῦ μεταβαλεῖν τὰς κρίσεις αὐτῶν. Εἰ δὲ μέγα τι νομίζουσιν, ὅτι παραμένουσί τινες τῶν ἀρχαίων τελετῶν, καὶ προτιμῶσι πάσας ἐκ νέου ἐπινοηθῆναι· Οἱ τοιοῦτοι παραδεχόμενοι Τελετάς τινας καταλλήλους εἰς χρῆσιν, βεβαίως, εἴ που δυνατόν ἐστι τὰς ἀρχαίας Τελετὰς καλῶς χρησιμοποιῆσαι, ἐκεῖ οὐ δύνανται, οὐχὶ μὴ μωρίαν ὀφλόντες, εὐλόγως ἀποδοκιμάσαι ταύτας ἐπὶ μόνῳ τῷ λόγῳ ὅτι εἰσὶν ἀρχαῖαι. Διότι ἐν τοιαύτῃ περιπτώσει ἔδει τούτους ἀπονεῖμαι σεβασμὸν πρὸς ταύτας ἕνεκα τῆς ἀρχαιότητος αὐτῶν, ἐὰν θέλωσι τὴν ἑνότητα καὶ τὴν σύμπνοιαν ἀποδεῖξαι ἑαυτοὺς περὶ πολλοῦ ποιουμένους, μᾶλλον ἢ τὰς καινοτομίας καὶ τοὺς νεωτερισμούς, ἅτινα (ἐφ' ὅσον ἐστὶ σύμφωνον πρὸς τὴν ἀληθινὴν ἔκθεσιν τῆς τοῦ Χριστοῦ Θρησκείας) εἰσὶ πάντοτε φευκτέα. Προσέτι δὲ οἱ τοιοῦτοι οὐκ εὐλόγως σκανδαλισθήσονται διὰ τὰς διατηρηθείσας Τελετάς. Διότι ὡς ἐκεῖναι ὧν κατάχρησις ὡς μάλιστα

ἐγένετο, καὶ ἀναιτίως ἐπεβάρυνον τὰς τῶν ἀνθρώπων συνειδήσεις, κατηργήθησαν· οὕτω αἱ ὑπολειφθεῖσαι τηροῦνται διὰ τὴν Πειθαρχίαν καὶ τὴν Εὐταξίαν, τὰς ὁποίας (δι' ἀποχρῶντας λόγους) δυνατόν ἐστι μεταβαλεῖν καὶ τροποποιῆσαι, καὶ διὰ τοῦτο οὐδαμῶς δεῖ ἐκδέχεσθαι ἐν ἴσῃ πρὸς τὸν Νόμον τοῦ Θεοῦ μοίρᾳ. Προσέτι δέ, οὔτε σκοτειναὶ οὔτε ἀσαφεῖς Τελεταί εἰσιν, ἀλλ' ἐκτίθενται οὕτως, ὥστε πᾶς τις δύναται ἐννοῆσαι τὴν σημασίαν αὐτῶν, καὶ τὸν σκοπὸν πρὸς ὃν ἀφορῶσι. Ὅθεν οὐκ ἐστὶ πιθανὸν ὅτι προϊόντος τοῦ χρόνου γενήσεται κατάχρησις τούτων ὡς τῶν ἄλλων ἐγένετο. Οὕτω δὲ ποιοῦντες οὐ κατακρίνομεν ἕτερα Ἔθνη, οὐδὲ προστάσσομέν τι ἄλλοις ἀλλὰ τῷ ἡμετέρῳ μόνον λαῷ· Διότι φρονοῦμεν πρόσφορον, ἵνα πᾶσα Χώρα ποιῆται χρῆσιν τοιαύτων Τελετῶν ἃς αὐτὴ νομίζει χρησιμωτάτας ἵνα ἐξαγγείλωσι τὴν τιμὴν καὶ τὴν δόξαν τοῦ Θεοῦ, καὶ ἐπανάγωσι τὸν λαὸν εἰς βίον τὰ μάλιστα τέλειον καὶ θεάρεστον, δίχα πλάνης καὶ δεισιδαιμονίας· καὶ ὅτι δέον ταύτην ἀπορρίπτειν κατὰ καιροὺς ἐκεῖνα, ὧν κατανοεῖ ὅτι μεγάλη κατάχρησις γίνεται, ὡς ἐν ταῖς ἀνθρωπίναις διατάξεσι συχνὰ εἴωθε συμβαίνειν ἄλλως ἐν ἄλλαις Χώραις.

ΤΑΞΙΣ

ΚΑΘ' ΗΝ ΟΡΙΖΕΤΑΙ ΑΝΑΓΝΩΣΘΗΝΑΙ ΤΟ ΨΑΛΤΗΡΙΟΝ

ΤΟ Ψαλτήριον χρὴ ἀναγινώσκεσθαι ὅλον ἅπαξ καθ' ἕκαστον μῆνα, ὡς τοῦτό ἐστι διῃρημένον, διά τε τὴν Πρωινὴν καὶ τὴν Ἑσπερινὴν Ἀκολουθίαν. Ἀλλὰ τὸν Φεβρουάριον χρὴ ἀναγινώσκεσθαι μόνον ἕως τῆς Εἰκοστῆς ὀγδόης, ἢ τῆς Εἰκοστῆς ἐνάτης ἡμέρας τοῦ μηνός.

Ἐπειδὴ δὲ ὁ Ἰανουάριος, ὁ Μάρτιος, ὁ Μάϊος, ὁ Ἰούλιος, ὁ Αὔγουστος, ὁ Ὀκτώβριος, καὶ ὁ Δεκέμβριος ἔχουσιν ἡμέρας Τριάκοντα μίαν· Ὁρίζεται, ὅτι οἱ αὐτοὶ Ψαλμοὶ ἀναγνωσθήσονται τὴν τελευταίαν ἡμέραν τῶν εἰρημένων μηνῶν, οἵτινες ἀνεγνώσθησαν τὴν προτεραίαν· Οὕτως ὥστε ἡ ἀνάγνωσις τοῦ Ψαλτηρίου γένηται ἐκ νέου ἀπ' ἀρχῆς τὴν πρώτην ἡμέραν τοῦ ἐπιόντος μηνός.

Καὶ ἐπειδὴ ὁ ΡΙΗ' Ψαλμὸς διῃρημένος ἐστὶν εἰς ΚΒ' Μέρη, καὶ λίαν μακρός ἐστι ὥστε ἀναγνωσθῆναι διὰ μιᾶς· Οὕτω διετάχθη, ὥστε μὴ ἀναγινώσκεσθαι ταυτοχρόνως πλέον τῶν τεσσάρων ἢ πέντε ἐκ τῶν μνησθέντων Μερῶν.

Καὶ εἰς τὸ τέλος ἑκάστου Ψαλμοῦ, καὶ ἑκάστου μέρους ἐκ τοῦ ΡΙΗ' Ψαλμοῦ ὁ ἀκόλουθος Ὕμνος ἐπαναλαμβάνεται.

Δόξα τῷ Πατρί, καὶ τῷ Υἱῷ : καὶ τῷ Ἁγίῳ Πνεύματι· Ὡς ἐν ἀρχῇ, καὶ νῦν, καὶ ἀεί : καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

ΤΑΞΙΣ

ΚΑΘ' ΗΝ ΟΡΙΖΕΤΑΙ ΑΝΑΓΝΩΣΘΗΝΑΙ ΤΗΝ ΛΟΙΠΗΝ ΘΕΙΑΝ ΓΡΑΦΗΝ

Ἡ Παλαιὰ Διαθήκη ὡρισμένη ἐστὶν ὡς τὸ πρῶτον Ἀνάγνωσμα κατὰ τὴν Πρωινὴν καὶ τὴν Ἑσπερινὴν Ἀκολουθίαν· οὕτως ὥστε τὸ πλέον αὐτῆς μέρος δέον ἀναγινώσκεσθαι ἅπαξ καθ' ἕκαστον ἐνιαυτόν, ὡς ἐν τῷ Καλενδαρίῳ διαγράφεται.

Ἡ Καινὴ Διαθήκη ὡρισμένη ἐστὶ ὡς τὸ δεύτερον Ἀνάγνωσμα κατὰ τὴν Πρωινὴν καὶ τὴν Ἑσπερινὴν Ἀκολουθίαν, καὶ ἀναγνωσθήσεται ἅπασα ἐν τάξει δὶς καθ' ἕκαστον ἐνιαυτόν, ἅπαξ ἐν τῷ ὄρθρῳ καὶ ἅπαξ τὴν ἑσπέραν, πρὸς τοῖς Ἀποστόλοις καὶ τοῖς Εὐαγγελίοις τῆς θείας Λειτουργίας· Ἐκτὸς τῆς Ἀποκαλύψεως, ἐκ τῆς ὁποίας τινὰ μόνον Ἀναγνώσματα ὁρίζονται εἰς τὸ τέλος τοῦ ἐνιαυτοῦ καὶ Ἰδιαίτερά τινα Ἀναγνώσματα εἰς διαφόρους Ἑορτάς.

Εἰ δὲ βούλῃ μαθεῖν τὰ Ἀναγνώσματα ἑκάστης ἡμέρας, ζήτει τὴν ἡμέραν τοῦ μηνὸς ἐν τῷ ἑπομένῳ Καλενδαρίῳ, καὶ εὑρήσεις ἐκεῖ τὰ Κεφάλαια καὶ τὰ μέρη τῶν Κεφαλαίων τὰ ἀναγινωσκόμενα κατὰ τήν τε Πρωινὴν καὶ τὴν Ἑσπερινὴν Ἀκολουθίαν· Ἐκτὸς μόνον τῶν Ἀναγνωσμάτων τῶν Κινητῶν Ἑορτῶν, ἅτινα οὐ περιέχονται ἐν τῷ Καλενδαρίῳ, καὶ τῶν Ἀναγνωσμάτων τῶν Ἀκινήτων Ἑορτῶν, τῶν ὁποίων ἡ Στήλη τῶν Ἀναγνωσμάτων ἀφέθη κενή· διότι τὰ Ἰδιαίτερα Ἀναγνώσματα πασῶν τῶν ἡμερῶν τούτων εὑρίσκονται ἐν τῷ Πίνακι τῶν Ἰδιαιτέρων Ἀναγνωσμάτων.

Ἐὰν δὲ ἡ Ἑσπερινὴ Ἀκολουθία τελῆται ἐν τῷ αὐτῷ τόπῳ τῆς λατρείας δὶς τὴν αὐτὴν Κυριακήν (ἐκτὸς τὴν Κυριακὴν καθ' ἣν κατ' ἐναλλαγὴν τὰ δεύτερα Ἀναγνώσματα ὁρίζονται ἐν τῷ Πίνακι), τὸ δεύτερον Ἀνάγνωσμα κατὰ τὴν δευτέραν Ἑσπερινὴν Ἀκολουθίαν ἐπιτρέπεται ἀναγνωσθῆναι κατὰ τὴν κρίσιν τοῦ Λειτουργοῦ Κεφάλαιόν τι ἐκ τῶν τεσσάρων Εὐαγγελίων, ἢ Ἀνάγνωσμά τι ὁριζόμενον ἐν τῷ Πίνακι τῶν Ἀναγνωσμάτων ἐκ τῶν τεσσάρων Εὐαγγελίων.

Κατὰ καιρούς, ὑπὸ τοῦ Ὀρδιναρίου ἐγκρινομένους, ἐπιτρέπεται τῇ ἀδείᾳ αὐτοῦ ἡ ἀντικατάστασις τῶν ἐν τῷ Καλενδαρίῳ ὁριζομένων Ἀναγνωσμάτων.

Σημειωτέον δὲ ὅτι ὁσάκις ἂν Ἰδιαίτεροι Ψαλμοὶ ἢ Ἰδιαίτερα Ἀναγνώσματα ὁρίζωνται· τότε οἱ Ψαλμοὶ καὶ τὰ Ἀναγνώσματα τῆς συνήθους τάξεως τὰ ὁριζόμενα ἐν τῷ Ψαλτηρίῳ καὶ τῷ Καλενδαρίῳ (ἐὰν ὦσι διάφορα) παραλείπονται.

Σημειωτέον πρὸς τούτοις, ὅτι κατὰ καιροὺς ὑπὸ τοῦ Ὀρδιναρίου ὁριζομένους, ἐπιτρέπεται τῇ ἀδείᾳ αὐτοῦ ἡ ἀντικατάστασις τῶν ἐν τῷ Ψαλτηρίῳ ὁριζομένων Ψαλμῶν.

Ἐὰν δέ τις τῶν Ἑορτῶν, καθ' ἃς Ἰδιαίτερα Ἀναγνώσματα ὁρίζονται ἐν τῷ Πίνακι, συμπίπτῃ μετὰ τῆς Πρώτης Κυριακῆς τῆς Ἐλεύσεως τοῦ Κυρίου, ἢ τῆς Κυριακῆς τοῦ Πάσχα, ἢ τῆς Πεντηκοστῆς, ἢ τῆς Κυριακῆς τῆς ἁγίας Τριάδος, ἀναγινώσκονται τὰ Ἀναγνώσματα τῶν Κυριακῶν τούτων· ἀλλ' ἐὰν συμπίπτῃ μετά τινος ἄλλης Κυριακῆς, τὰ Ἀναγνώσματα τῆς Κυριακῆς ἢ τῆς Ἑορτῆς ἐπιτρέπεται ἀναγινώσκεσθαι κατὰ τὴν κρίσιν τοῦ Λειτουργοῦ.

Σημειωτέον δὲ ἐπ' ἴσης, ὅτι ἡ Εὐχὴ καὶ ὁ Ἀπόστολος καὶ τὸ Εὐαγγέλιον τὸ ὡρισμένον διὰ τὴν Κυριακὴν χρησιμοποιεῖται καθ' ἅπασαν τὴν ἑβδομάδα, ἐὰν μὴ ἄλλως ὁρίζηται ἐν τῷ παρόντι Βιβλίῳ.

ΑΝΑΓΝΩΣΜΑΤΑ ΙΔΙΑΙΤΕΡΑ ΑΝΑΓΙΝΩΣΚΟΜΕΝΑ

κατὰ τὴν Πρωινὴν καὶ τὴν Ἑσπερινὴν Ἀκολουθίαν τῶν Κυριακῶν,

καὶ τῶν ἄλλων Ἑορτῶν τοῦ ἐνιαυτοῦ.

¶ ΑΝΑΓΝΩΣΜΑΤΑ ΙΔΙΑΙΤΕΡΑ ΚΥΡΙΑΚΩΝ.

	Πρωινὴ Ἀκολουθία.	*Ἑσπερινὴ Ἀκολουθία.*	
Κυριακαὶ τῆς Ἐλεύσεως τοῦ Κυρίου.			
Ἡ πρώτη	Ἠσαΐ. Α′	Ἠσαΐ. Β′	ἢ Ἠσαΐ. Δ′ στ. 2
Β′	Ε′	ΙΑ′ ἕως στ. 11	,, ΚΔ′
Γ′	ΚΕ′	Κϛ′	,, ΚΗ′ στ. 5 ἕως στ. 19
Δ′	Λ′ ἕως στ. 27	ΛΒ′	,, ΛΓ′ στ. 2 ἕως στ. 23
Κυριακαὶ μετὰ τὰ Χριστούγεννα.			
Ἡ πρώτη	ΛΕ′	ΛΗ′	,, Μ′
Β′	ΜΒ′	ΜΓ′	,, ΜΔ′
Κυριακαὶ μετὰ τὰ Θεοφάνεια.			
Ἡ πρώτη	ΝΑ′	ΝΒ′ στ. 13 *καὶ* ΝΓ′	,, ΝΔ′
Β′	ΝΕ′	ΝΖ′	,, ΞΑ′
Γ′	ΞΒ′	ΞΕ′	,, Ξϛ′
Δ′	Ἰὼβ ΚΖ′	Ἰὼβ ΚΗ′	,, Ἰὼβ ΚΘ′
Ε′	Παροιμ. Α′	Παροιμ. Γ′	,, Παροιμ. Η′
ϛ′	Θ′	ΙΑ′	,, ΙΕ′
Κυριακὴ Septuagesima.			
α′ Ἀνάγνωσμα	Γεν. Α′ *καὶ* Β′ ἕως στ. 4	Γεν. Β′ στ. 4	,, Ἰὼβ ΛΗ′
β′ Ἀνάγνωσμα	Ἀποκ. ΚΑ′ ἕως στ. 9	Ἀποκ. ΚΑ′ στ. 9 ἕως ΚΒ′ στ. 6	
Κυριακὴ Sexagesima.	Γεν. Γ′	Γεν. ϛ′	,, Γεν. Η′
Κυριακὴ Quinquagesima.	Θ′ ἕως στ. 20	ΙΒ′	,, ΙΓ′

	Πρωινὴ Ἀκολουθία.	Ἑσπερινὴ Ἀκολουθία.	
Κυριακαὶ τῶν Νηστειῶν.			
Πρώτη Κυριακή	Γεν. ΙΘ′ στ. 12 ἕως στ. 30	Γεν. ΚΒ′ ἕως στ. 20	ἢ Γεν. ΚΓ′
Β′	ΚΖ′ ἕως στ. 41	ΚΗ′	,, ΛΒ′
Γ′	ΛΖ′	ΛΘ′	,, Μ′
Δ′	ΜΒ′	ΜΓ′	,, ΜΕ′
Ε′	Ἐξόδ. Γ′	Ἐξόδ. Ε′	,, Ἐξόδ. Ϛ′ ἕως στ. 14
Ϛ′			
α′ Ἀνάγνωσμα	Θ′	Ι′	,, ΙΑ′
β′ Ἀνάγνωσμα	Ματθ. ΚϚ′	Λουκ. ΙΘ′ στ. 28	,, Λουκ. Κ′ στ. 9 ἕως στ. 21
Κυριακὴ τοῦ Πάσχα.			
α′ Ἀνάγνωσμα	Ἐξόδ. ΙΒ′ ἕως στ. 29	Ἐξόδ. ΙΒ′ στ. 29	,, Ἐξόδ. ΙΔ′
β′ Ἀνάγνωσμα	Ἀποκ. Α′ στ. 10 ἕως στ. 19	Ἰωάν. Κ′ στ. 11 ἕως στ. 19	,, Ἀποκ. Ε′
Κυριακαὶ μετὰ τὸ Πάσχα.			
Ἡ πρώτη			
α′ Ἀνάγνωσμα	Ἀριθ. ΙϚ′ ἕως στ. 36	Ἀριθ. ΙϚ′ στ. 36	,, Ἀριθ. ΙΖ′ ἕως στ. 12
β′ Ἀνάγνωσμα	Α′ Κορ. ΙΕ′ ἕως στ. 29	Ἰωάν. Κ′ στ. 24 ἕως στ. 30	
Β′	Ἀριθ. Κ′ ἕως στ. 14	Ἀριθ. Κ′ στ. 20 ἕως ΚΑ′ στ. 10	,, ΚΑ′ στ. 10
Γ′	ΚΒ′	ΚΓ′	,, ΚΔ′
Δ′	Δευτ. Δ′ ἕως στ. 23	Δευτ. Δ′ στ. 23 ἕως στ. 41	,, Δευτ. Ε′
Ε′	Ϛ′	Θ′	,, Ι′
Κυριακὴ μετὰ τὴν Ἀνάληψιν.	Λ′	ΛΔ′	,, Ἰησοῦ Α′
Κυριακὴ τῆς Πεντηκοστῆς.			
α′ Ἀνάγνωσμα	ΙϚ′ ἕως στ. 18	Ἡσαΐ. ΙΑ′	,, Ἰεζεκ. ΛϚ′ στ. 25
β′ Ἀνάγνωσμα	Ῥωμ. Η′ ἕως στ. 18	Γαλ. Ε′ στ. 16	,, Πράξ. ΙΗ′ στ. 24 ἕως ΙΘ′ στ. 21
Κυριακὴ τῆς ἁγίας Τριάδος.			
α′ Ἀνάγνωσμα	Ἡσαΐ. Ϛ′ ἕως στ. 11	Γεν. ΙΗ′	,, Γεν. Α′ καὶ Β′ ἕως στ. 4
β′ Ἀνάγνωσμα	Ἀποκ. Α′ ἕως στ. 9	Ἐφεσ. Δ′ ἕως στ. 17	,, Ματθ. Γ′
Κυριακαὶ μετὰ τὴν τῆς Τριάδος.			
Ἡ πρώτη	Ἰησοῦ Γ′ στ. 7 ἕως Δ′ στ. 15	Ἰησοῦ Ε′ στ. 13 ἕως Ϛ′ στ. 21	,, Ἰησοῦ ΚΔ′
Β′	Κριτῶν Δ′	Κριτῶν Ε′	,, Κριτῶν Ϛ′ στ. 11
Γ′	Α′ Βασ. Β′ ἕως στ. 27	Α′ Βασ. Γ′	,, Α′ Βασ. Δ′ ἕως στ. 19
Δ′	ΙΒ′	ΙΓ′	,, Ῥοὺθ Α′

	Πρωινὴ ᾽Ακολουθία.	῾Εσπερινὴ ᾽Ακολουθία.	
Ε′	Α′ Βασ. ΙΕ′ ἕως στ. 24	Α′ Βασ. ΙϚ′	ἢ Α′ Βασ. ΙΖ′
Ϛ′	Β′ Βασ. Α′	Β′ Βασ. ΙΒ′ ἕως στ. 24	„ Β′ Βασ. ΙΗ′
Ζ′	Α′ Παραλειπ. ΚΑ′	Α′ Παραλειπ. ΚΒ′	„ Α′ Παραλειπ. ΚΗ′ ἕως στ. 21
Η′	ΚΘ′ στ. 9 ἕως στ. 29	Β′ Παραλειπ. Α′	„ Γ′ Βασ. Γ′
Θ′	Γ′ Βασ. Ι′ ἕως στ. 25	Γ′ Βασ. ΙΑ′ ἕως στ. 15	„ ΙΑ′ στ. 26
Ι′	ΙΒ′	ΙΓ′	„ ΙΖ′
ΙΑ′	ΙΗ′	ΙΘ′	„ ΚΑ′
ΙΒ′	ΚΒ′ ἕως στ. 41	Δ′ Βασ. Β′ ἕως στ. 16	„ Δ′ Βασ. Δ′ στ. 8 ἕως στ. 38
ΙΓ′	Δ′ Βασ. Ε′	Ϛ′ ἕως στ. 24	„ Ζ′
ΙΔ′	Θ′	Γ′ ἕως στ. 22	„ ΙΓ′
ΙΕ′	ΙΗ′	ΙΘ′	„ ΚΓ′ ἕως στ. 31
ΙϚ′	Β′ Παραλειπ. ΛϚ′	Νεεμ. Α′ καὶ Β′ ἕως στ. 9	„ Νεεμ. Η′
ΙΖ′	᾽Ιερεμ. Ε′	᾽Ιερεμ. ΚΒ′	„ ᾽Ιερεμ. ΜΒ′ [ΛΕ′]
ΙΗ′	ΜΓ′ [ΛϚ′]	᾽Ιεζεκ. Β′	„ ᾽Ιεζεκ. ΙΓ′ ἕως στ. 17
ΙΘ′	᾽Ιεζεκ. ΙΔ′	ΙΗ′	„ ΚΔ′ στ. 15
Κ′	ΛΔ′	ΛΖ′	„ Δανιὴλ Α′
ΚΑ′	Δανιὴλ Γ′	Δανιὴλ Δ′	„ Ε′
ΚΒ′	Ϛ′	Ζ′ στ. 9	„ ΙΒ′
ΚΓ′	᾽Ωσηὲ ΙΔ′	᾽Ιωὴλ Β′ στ. 21	„ ᾽Ιωὴλ Γ′ στ. 9
ΚΔ′	᾽Αμὼς Γ′	᾽Αμὼς Ε′	„ ᾽Αμὼς Θ′
ΚΕ′	Μιχαί. Δ′ καὶ Ε′ ἕως στ. 8	Μιχαί. Ϛ′	„ Μιχαί. Ζ′
ΚϚ′	᾽Αμβακ. Β′	᾽Αμβακ. Γ′	„ Σοφον. Γ′
ΚΖ′	᾽Εκκλησ. ΙΑ′ καὶ ΙΒ′	᾽Αγγαίου Β′ ἕως στ. 10	„ Μαλαχ. Γ′ καὶ Δ′

¶ ΙΔΙΑΙΤΕΡΑ ΑΝΑΓΝΩΣΜΑΤΑ ΕΟΡΤΩΝ.

	Πρωινὴ Ἀκολουθία.	Ἑσπερινὴ Ἀκολουθία.
Τοῦ ἀποστ. Ἀνδρέου.		
α' Ἀνάγνωσμα	Ἡσαΐ. ΝΔ'	Ἡσαΐ. ΞΕ' ἕως στ. 17
β' Ἀνάγνωσμα	Ἰωάν. Α' στ. 35 ἕως στ. 43	Ἰωάν. ΙΒ' στ. 20 ἕως στ. 42
Τοῦ ἀποστ. Θωμᾶ.		
α' Ἀνάγνωσμα	Ἰὼβ ΜΒ' ἕως στ. 7	Ἡσαΐ. ΛΕ'
β' Ἀνάγνωσμα	Ἰωάν. Κ' στ. 19 ἕως στ. 24	Ἰωάν. ΙΔ' ἕως στ. 8
Ἡ Γέννησις τοῦ Χριστοῦ.		
α' Ἀνάγνωσμα	Ἡσαΐ. Θ' ἕως στ. 8	Ἡσαΐ. Ζ' στ. 10 ἕως [στ. 17
β' Ἀνάγνωσμα	Λουκ. Β' ἕως στ. 15	Τιτ. Γ' στ. 4 ἕως στ. 9
Τοῦ ἁγίου Στεφάνου.		
α' Ἀνάγνωσμα	Γεν. Δ' ἕως στ. 11	Β' Παραλειπ. ΚΔ' στ. 15 ἕως στ. 23
β' Ἀνάγνωσμα	Πράξ. Ϛ'	Πράξ. Η' ἕως στ. 9
Τοῦ εὐαγγ. Ἰωάννου.		
α' Ἀνάγνωσμα	Ἐξόδ. ΛΓ' στ. 9	Ἡσαΐ. Ϛ'
β' Ἀνάγνωσμα	Ἰωάν. ΙΓ' στ. 23 ἕως στ. 36	Ἀποκ. Α'
Τῶν ἀθῴων Νηπίων.	Ἱερεμ. ΛΗ' [ΛΑ'] ἕως [στ. 18	Βαροὺχ Δ' στ. 21 ἕως [στ. 31
Ἡ Περιτομή.		
α' Ἀνάγνωσμα	Γεν. ΙΖ' στ. 9	Δευτ. Ι' στ. 12
β' Ἀνάγνωσμα	Ῥωμ. Β' στ. 17	Κολ. Β' στ. 8 ἕως στ. 18
Τὰ Θεοφάνεια.		
α' Ἀνάγνωσμα	Ἡσαΐ. Ξ'	Ἡσαΐ. ΜΘ' στ. 13 ἕως [στ. 24
β' Ἀνάγνωσμα	Λουκ. Γ' στ. 15 ἕως στ. [23	Ἰωάν. Β' ἕως στ. 12
Ἡ Ἐπιστροφὴ τοῦ ἀποστόλου Παύλου.		
α' Ἀνάγνωσμα	Ἡσαΐ. ΜΘ' ἕως στ. 13	Ἱερεμ. Α' ἕως στ. 11
β' Ἀνάγνωσμα	Γαλ. Α' στ. 11	Πράξ. ΚϚ' ἕως στ. 21
Ὁ Καθαρισμὸς τῆς Παρθένου Μαρίας.	Ἐξόδ. ΙΓ' ἕως στ. 17	Ἀγγαί. Β' ἕως στ. 10
Τοῦ ἀποστ. Ματθίου.	Α' Βασ. Β' στ. 27 ἕως [στ. 36	Ἡσαΐ. ΚΒ' στ. 15
Ὁ Εὐαγγελισμὸς τῆς Δεσποίνης ἡμῶν.	Γεν. Γ' ἕως στ. 16	Ἡσαΐ. ΝΒ' στ. 7 ἕως [στ. 13

	Πρωινὴ Ἀκολουθία.	Ἑσπερινὴ Ἀκολουθία.
Ἡ Α' Ἡμέρα τῶν Νηστειῶν.		
α' Ἀνάγνωσμα	Ἡσαΐ. ΝΗ' ἕως στ. 13	Ἰωνᾶ Γ'
β' Ἀνάγνωσμα	Μάρκ. Β' στ. 13 ἕως [στ. 23	Ἑβρ. ΙΒ' στ. 3 ἕως στ. [18
Ἡ Δευτέρα πρὸ τοῦ Πάσχα.		
α' Ἀνάγνωσμα	Θρήν. Α' ἕως στ. 15	Θρήν. Β' στ. 13
β' Ἀνάγνωσμα	Ἰωάν. ΙΔ' ἕως στ. 15	Ἰωάν. ΙΔ' στ. 15
Ἡ Τρίτη πρὸ τοῦ Πάσχα.		
α' Ἀνάγνωσμα	Θρήν. Γ' ἕως στ. 34	Θρήν. Γ' στ. 34
β' Ἀνάγνωσμα	Ἰωάν. ΙΕ' ἕως στ. 14	Ἰωάν. ΙΕ' στ. 14
Ἡ Τετάρτη πρὸ τοῦ Πάσχα.		
α' Ἀνάγνωσμα	Θρήν. Δ' ἕως στ. 21	Δανιὴλ Θ' στ. 20
β' Ἀνάγνωσμα	Ἰωάν. ΙϚ' ἕως στ. 16	Ἰωάν. ΙϚ' στ. 16
Ἡ Πέμπτη πρὸ τοῦ Πάσχα.		
α' Ἀνάγνωσμα	Ὡσηὲ ΙΓ' ἕως στ. 15	Ὡσηὲ ΙΔ'
β' Ἀνάγνωσμα	Ἰωάν. ΙΖ'	Ἰωάν. ΙΓ' ἕως στ. 36
Ἡ Μεγάλη Παρασκευή.		
α' Ἀνάγνωσμα	Γεν. ΚΒ' ἕως στ. 20	Ἡσαΐ. ΝΒ' στ. 13 καὶ [ΝΓ'
β' Ἀνάγνωσμα	Ἰωάν. ΙΗ'	Α' Πετ. Β'
Τὸ Μέγα Σάββατον.		
α' Ἀνάγνωσμα	Ζαχαρ. Θ'	Ὡσηὲ Ε' στ. 8 ἕως Ϛ' [στ. 4
β' Ἀνάγνωσμα	Λουκ. ΚΓ' στ. 50	Ῥωμ. Ϛ' ἕως στ. 14
Ἡ Δευτέρα μετὰ τὸ Πάσχα.		
α' Ἀνάγνωσμα	Ἐξόδ. ΙΕ' ἕως στ. 22	Ἆσμαт. Β' στ. 10
β' Ἀνάγνωσμα	Λουκ. ΚΔ' ἕως στ. 13	Ματθ. ΚΗ' ἕως στ. 10
Ἡ Τρίτη μετὰ τὸ Πάσχα.		
α' Ἀνάγνωσμα	Δ' Βασ. ΙΓ' στ. 14 ἕως στ. 22	Ἰεζεκ. ΑΖ' ἕως στ. 15
β' Ἀνάγνωσμα	Ἰωάν. ΚΑ' ἕως στ. 15	Ἰωάν. ΚΑ' στ. 15

	Πρωινὴ Ἀκολουθία.	Ἑσπερινὴ Ἀκολουθία.
Τοῦ εὐαγγ. Μάρκου.	Ἡσαΐ. ΞΒ' στ. 6	Ἰεζεκ. Α' ἕως στ. 15
Τῶν ἀποστ. Φιλίππου καὶ Ἰακώβου.		
α' Ἀνάγνωσμα	Ἡσαΐ. ΞΑ'	Ζαχαρ. Δ'
β' Ἀνάγνωσμα	Ἰωάν. Α' στ. 43	
Ἡ Πέμπτη τῆς Ἀναλήψεως.		
α' Ἀνάγνωσμα	Δαν. Ζ' στ. 9 ἕως στ. 15	Δ' Βασ. Β' ἕως στ. 16
β' Ἀνάγνωσμα	Λουκ. ΚΔ' στ. 44	Ἑβρ. Δ'
Ἡ Δευτέρα μετὰ τὴν Πεντηκοστήν.		
α' Ἀνάγνωσμα	Γεν. ΙΑ' ἕως στ. 10	Ἀριθ. ΙΑ' στ. 16 ἕως στ. 31
β' Ἀνάγνωσμα	Α' Κορ. ΙΒ' ἕως στ. 14	Α' Κορ. ΙΒ' στ. 27 καὶ [ΙΓ'
Ἡ Τρίτη μετὰ τὴν Πεντηκοστήν.		
α' Ἀνάγνωσμα	Ἰωὴλ Β' στ. 21	Μιχαί. Δ' ἕως στ. 8
β' Ἀνάγνωσμα	Α' Θεσσ. Ε' στ. 12 ἕως στ. 24	Α' Ἰωάν. Δ' ἕως στ. 14
Τοῦ ἀποστ. Βαρνάβα.		
α' Ἀνάγνωσμα	Δευτ. ΛΓ' ἕως στ. 12	Ναοὺμ Α'
β' Ἀνάγνωσμα	Πράξ. Δ' στ. 31	Πράξ. ΙΔ' στ. 8

	Πρωινὴ Ἀκολουθία.	Ἑσπερινὴ Ἀκολουθία.
Τοῦ ἁγίου Ἰωάννου τοῦ Βαπτιστοῦ.		
α' Ἀνάγνωσμα	Μαλαχ. Γ' ἕως στ. 7	Μαλαχ. Δ'
β' Ἀνάγνωσμα	Ματθ. Γ'	Ματθ. ΙΔ' ἕως στ. 13
Τοῦ ἀποστ. Πέτρου.		
α' Ἀνάγνωσμα	Ἰεζεκ. Γ' στ. 4 ἕως στ. [15	Ζαχαρ. Γ'
β' Ἀνάγνωσμα	Ἰωάν. ΚΑ' στ. 15 ἕως [στ. 23	Πράξ. Δ' στ. 8 ἕως στ. [23
Τοῦ ἀποστ. Ἰακώβου.		
α' Ἀνάγνωσμα	Δ' Βασ. Α' ἕως στ. 16	Ἰερεμ. ΛΓ' [ΚϚ'] στ. 8 [ἕως στ. 16
β' Ἀνάγνωσμα	Λουκ. Θ' στ. 51 ἕως στ. 57	
Τοῦ ἀποστόλου Βαρθολομαίου.	Γεν. ΚΗ' στ. 10 ἕως στ. 18	Δευτ. ΙΗ' στ. 15
Τοῦ ἀποστ. Ματθαίου.	Γ' Βασ. ΙΘ' στ. 15	Α' Παραλειπ. ἕως στ. 20
Τοῦ ἀρχαγγ. Μιχαήλ.		
α' Ἀνάγνωσμα	Γεν. ΛΒ'	Δανιὴλ Ι' στ. 4
β' Ἀνάγνωσμα	Πράξ. ΙΒ' στ. 5 ἕως στ. 18	Ἀποκ. ΙΔ' στ. 14
Τοῦ εὐαγγ. Λουκᾶ.	Ἡσαΐ. ΝΕ'	Σοφ. Σειράχ ΛΗ' ἕως [στ. 15
Τῶν ἀποστ. Σίμωνος καὶ Ἰούδα.	Ἡσαΐ. ΚΗ' στ. 9 ἕως [στ. 17	Ἰερεμ. Γ' στ. 12 ἕως στ. [19
Τῶν Ἁγίων Πάντων.		
α' Ἀνάγνωσμα	Σοφ. Σαλ. Γ' ἕως στ. 10	Σοφ. Σαλ. Ε' ἕως στ. 17
β' Ἀνάγνωσμα	Ἑβρ. ΙΑ' στ. 33 καὶ ΙΒ' ἕως στ. 7	Ἀποκ. ΙΘ' ἕως στ. 17

¶ ΨΑΛΜΟΙ ΙΔΙΑΙΤΕΡΟΙ ΗΜΕΡΩΝ ΤΙΝΩΝ.

	Πρωινὴ Ἀκολ.	Ἑσπερινὴ Ἀκολ.
¶ Τὰ Χριστούγεννα	Ψαλμ. ΙΗ' ΜΔ' ΠΔ'	Ψαλμ. ΠΗ' ΡΘ' ΡΛΑ'
¶ Ἡ Πρώτη Ἡμέρα τῶν Νηστειῶν	Ϛ' ΛΑ' ΛΖ'	ΡΑ' ΡΚΘ' ΡΜΒ'
¶ Ἡ Μεγάλη Παρασκευή	ΚΑ' ΛΘ' ΝΓ'	ΞΗ' ΠΖ'

	Πρωινὴ Ἀκολ.	Ἑσπερινὴ Ἀκολ.
¶ Ἡ Κυριακὴ τοῦ Πάσχα	Ψαλμ. Β' ΝϚ' ΡΙ'	Ψαλμ. ΡΙΒ' ΡΙΓ' 1–8 ΡΙΖ'
¶ Ἡ Πέμπτη τῆς Ἀναλήψεως	Η' ΙΔ' Κ'	ΚΓ' ΜϚ' ΡΖ'
¶ Ἡ Κυριακὴ τῆς Πεντηκοστῆς	ΜΖ' ΞΖ'	ΡΓ' ΡΜΔ'

Ο ΙΑΝΟΥΑΡΙΟΣ ΜΗΝ ΕΧΕΙ ΗΜΕΡΑΣ ΛΑ΄

Ἡ Σελήνη ἔχει Λ΄

				Ἀκολουθία Πρωινή		Ἀκολουθία Ἑσπερινή	
				Ἀνάγνωσμα Α΄	Ἀνάγνωσμα Β΄	Ἀνάγνωσμα Α΄	Ἀνάγνωσμα Β΄
α΄	A	Kalend.	**Ἡ Περιτομὴ τοῦ Κυρίου**				
β΄	B	4. No.	**[ἡμῶν.**	Γεν. Α΄ ἕως στ. 20	Ματθ. Α΄ στ. 18	Γεν. Α΄ 20 ἕως Β΄ 4	Πράξ. Α΄
γ΄	C	3. No.		Β΄ στ. 4	Β΄	Γ΄ ἕως στ. 20	Β΄ ἕως στ. 22
δ΄	D	pr. No.		Γ΄ 20 ἕως Δ΄ 16	Γ΄	Δ΄ στ. 16	Β΄ στ. 22
ε΄	E	Nonae		Ε΄ ἕως στ. 28	Δ΄ ἕως στ. 23	Ε΄ 28 ἕως Ϛ΄ στ. 9	Γ΄
ϛ΄	F	8. Id.	Τὰ Θεοφάνεια.				
ζ΄	G	7. Id.		Ϛ΄ στ. 9	Δ΄ 23 ἕως Ε΄ 13	Ζ΄	Δ΄ ἕως στ. 32
η΄	A	6. Id.	Λουκιανοῦ Πρεσβ. καὶ Μάρτ.	Η΄	Ε΄ 13 ἕως στ. 33	Θ΄ ἕως στ. 20	Δ΄ 32 ἕως Ε΄ 17
θ΄	B	5. Id.		ΙΑ΄ ἕως στ. 10	Ε΄ στ. 33	ΙΒ΄	Ε΄ στ. 17
ι΄	C	4. Id.		ΙΓ΄	Ϛ΄ ἕως στ. 19	ΙΔ΄	Ϛ΄
ια΄	D	3. Id.		ΙΕ΄	Ϛ΄ 19 ἕως Ζ΄ στ. 7	ΙϚ΄	Ζ΄ ἕως στ. 35
ιβ΄	E	pr. Id.		ΙΖ΄ ἕως στ. 23	Ζ΄ στ. 7	ΙΗ΄ ἕως στ. 17	Ζ΄ στ. 35 ἕως Η΄ 5
ιγ΄	F	Idus	Ἱλαρίου Ἐπισκ. καὶ Ὁμολ.	Η΄ στ. 17	Η΄ ἕως στ. 18	ΙΘ΄ 12 ἕως 30	Η στ. 5 ἕως στ. 26
ιδ΄	G	19. Kl. Febr.		Κ΄ [20	Η΄ στ. 18	ΚΑ΄ ἕως στ. 22	Η΄ στ. 26
ιε΄	A	18. Kl.		ΚΑ΄ 33 ἕως ΚΒ΄	Θ΄ ἕως στ. 18	ΚΓ΄	Θ΄ ἕως στ. 23
ιϛ΄	B	17. Kl.		ΚΔ΄ ἕως στ. 29	Θ΄ στ. 18	ΚΔ΄ 29 ἕως 52	Θ΄ στ. 23
ιζ΄	C	16. Kl.		ΚΔ΄ στ. 52	Ι΄ ἕως στ. 24	ΚΕ΄ 5 ἕως στ. 19	Ι΄ ἕως στ. 24
ιη΄	D	15. Kl.	Πρίσκης Παρθ. Ῥωμ. καὶ Μάρτ.	ΚΕ΄ στ. 19	Ι΄ στ. 24	ΚϚ΄ ἕως στ. 18	Ι΄ στ. 24
ιθ΄	E	14. Kl.		ΚϚ΄ στ. 18	ΙΑ΄	ΚΖ΄ ἕως στ. 30	ΙΑ΄
κ΄	F	13. Kl.	Φαβιανοῦ Ἐπ. Ῥωμ. καὶ Μάρτ.	ΚΖ΄ στ. 30	ΙΒ΄ ἕως στ. 22	ΚΗ΄	ΙΒ΄
κα΄	G	12. Kl.	Ἄγνητος Παρθ. Ῥωμ. καὶ Μάρτ.	ΚΘ΄ ἕως στ. 21	ΙΒ΄ στ. 22	ΛΑ΄ ἕως στ. 25	ΙΓ΄ ἕως στ. 26
κβ΄	A	11. Kl.	Βιγκεντίου Διακ. Ἱσπαν. καὶ	ΛΑ΄ στ. 36	ΙΓ΄ ἕως στ. 24	ΛΒ΄ ἕως στ. 22	ΙΓ΄ στ. 26
κγ΄	B	10. Kl.	[Μάρτ.	ΛΒ΄ στ. 22	ΙΓ΄ 24 ἕως στ. 53	ΛΓ΄	ΙΔ΄
κδ΄	C	9. Kl.		ΛΕ΄ ἕως στ. 21	ΙΓ΄ 53 ἕως ΙΔ΄ 13	ΛΖ΄ ἕως στ. 12	ΙΕ΄ ἕως στ. 30
κε΄	D	8. Kl.	**Ἐπιστροφὴ τοῦ ἁγίου**				
κϛ΄	E	7. Kl.	**[Ἀποστόλου Παύλου.**	ΛΖ΄ στ. 12	ΙΔ΄ στ. 13	ΛΘ΄	ΙΕ΄ 30 ἕως ΙϚ΄ 16
κζ΄	F	6. Kl.		Μ΄	ΙΕ΄ ἕως στ. 21	ΜΑ΄ ἕως στ. 17	ΙϚ΄ στ. 16
κη΄	G	5. Kl.		ΜΑ΄ 17 ἕως 53	ΙΕ΄ στ. 21	ΜΑ΄ 53 ἕως ΜΒ΄ 25	ΙΖ΄ ἕως στ. 16
κθ΄	A	4. Kl.		ΜΒ΄ στ. 25 [14	ΙϚ΄ ἕως στ. 24	ΜΓ΄ ἕως στ. 25	ΙΖ΄ στ. 16
λ΄	B	3. Kl.	Καρόλου Βασιλ. καὶ Μάρτ.	ΜΓ΄ 25 ἕως ΜΔ΄	ΙϚ΄ 24 ἕως ΙΖ΄ 14	ΜΔ΄ στ. 14	ΙΗ΄ ἕως στ. 24
λα΄	C	prid. Kl.		ΜΕ΄ ἕως στ. 25	ΙΖ΄ στ. 14	ΜΕ΄ 25 ἕως ΜϚ΄ 8	ΙΗ΄ 24 ἕως ΙΘ΄ 21

Ο ΦΕΒΡΟΥΑΡΙΟΣ ΜΗΝ ΕΧΕΙ ΗΜΕΡΑΣ ΚΗ'

'Η Σελήνη ἔχει Λ'

				'Ακολουθία Πρωινή		'Ακολουθία 'Εσπερινή	
				'Ανάγνωσμα Α'	'Ανάγνωσμα Β'	'Ανάγνωσμα Α'	'Ανάγνωσμα Β'
α'	D	Kalend.	Νηστεία.	Γεν. ΜϚ' 26 ἕως	Ματθ. ΙΗ' ἕως 21	Γεν. ΜΖ' στ. 13	Πράξ. ΙΘ' στ. 21
β'	E	4. No.	Καθαρισμὸς τῆς Μακαρίας Παρθένου Μαρίας.	[ΜΖ' στ. 13	ΙΗ' 21 ἕως ΙΘ' 3		Κ' ἕως στ. 17
γ'	F	3. No.	Βλασίου 'Επισκ. 'Αρμεν. καὶ Μ.	ΜΗ'	ΙΘ' 3 ἕως στ. 27	ΜΘ'	Κ' στ. 17
δ'	G	pr. No.		Ν'	ΙΘ' 27 ἕως Κ' 17	'Εξόδ. Α'	ΚΑ' ἕως στ. 17
ε'	A	Nonae	'Αγάθης Παρθ. Σικελ. καὶ Μ.	'Εξόδ. Β'	Κ' στ. 17	Γ'	ΚΑ' 17 ἕως 37
ϛ'	B	8. Id.		Δ' ἕως στ. 24	ΚΑ' ἕως στ. 23	Δ' 27 ἕως Ε' 15	ΚΑ' 37 ἕως ΚΒ'
							στ. 23 [12
ζ'	C	7. Id.		Ε' 15 ἕως Ϛ' 14	ΚΑ' στ. 23	Ϛ' 28 ἕως Ζ' 14	ΚΒ' 23 ἕως ΚΓ'
η'	D	6. Id.		Ζ' στ. 14	ΚΒ' ἕως στ. 15	Η' ἕως στ. 20	ΚΓ' στ. 12
θ'	E	5. Id.		Η' 20 ἕως Θ' 13	ΚΒ' 15 ἕως 41	Θ' στ. 13	ΚΔ'
ι'	F	4. Id.		Ι' ἕως στ. 21	ΚΒ' 41 ἕως ΚΓ'	Ι' στ. 21 καὶ ΙΑ'	ΚΕ'
ια'	G	3. Id.		ΙΒ' ἕως στ. 21	ΚΓ' στ. 13 [13	ΙΒ' 21 ἕως στ. 43	ΚϚ'
ιβ'	A	pr. Id.		ΙΒ' 43 ἕως ΙΓ' 17	ΚΔ' ἕως στ. 29	ΙΓ' 17 ἕως ΙΔ' 10	ΚΖ' ἕως στ. 18
ιγ'	B	Idus		ΙΔ' στ. 10	ΚΔ' στ. 29	ΙΕ' ἕως στ. 22	ΚΖ' στ. 18
ιδ'	C	16. Kl. Mart.	Οὐαλεντίνου 'Επισκ. καὶ Μ.	ΙΕ' 22 ἕως ΙϚ' 11	ΚΕ' ἕως στ. 31	ΙϚ' στ. 11	ΚΗ' ἕως στ. 17
ιε'	D	15. Kl.		ΙΖ'	ΚΕ' στ. 31	ΙΗ'	ΚΗ' στ. 17
ιϛ'	E	14. Kl.		ΙΘ'	ΚϚ' ἕως στ. 31	Κ' ἕως στ. 22	'Ρωμ. Α'
ιζ'	F	13. Kl.		ΚΑ' ἕως στ. 18	ΚϚ' 31 ἕως 57	ΚΒ' 21 ἕως ΚΓ' 10	Β' ἕως στ. 17
ιη'	G	12. Kl.		ΚΓ' στ. 14	ΚϚ' στ. 57	ΚΔ'	Β' στ. 17
ιθ'	A	11. Kl.		ΚΕ' ἕως στ. 23	ΚΖ' ἕως στ. 27	ΚΗ' ἕως στ. 13	Γ'
κ'	B	10. Kl.		ΚΗ' 29 ἕως 42	ΚΖ' 27 ἕως στ. 57	ΚΘ' 35 ἕως Λ' 11	Δ'
κα'	C	9. Kl.		ΛΑ'	ΚΖ' στ. 57	ΛΒ' ἕως στ. 15	Ε'
κβ'	D	8. Kl.		ΛΒ' στ. 15	ΚΗ'	ΛΓ' ἕως στ. 12	Ϛ'
κγ'	E	7. Kl.	Νηστεία.	ΛΓ' 12 ἕως ΛΔ'	Μάρκ. Α' ἕως 21	ΛΔ' 10 ἕως 27	Ζ'
κδ'	F	6. Kl.	Τοῦ ἁγίου 'Αποστ. καὶ Μ.	[στ. 10	Α' στ. 21		Η' ἕως στ. 18
κε'	G	5. Kl.	[Ματθίου.	ΛΔ' στ. 27	Β' ἕως στ. 23	ΛΕ' 29 ἕως ΛϚ' 8	Η' στ. 18
κϛ'	A	4. Kl.		ΛΘ' στ. 30	Β' 23 ἕως Γ' 13	Μ' ἕως στ. 17	Θ' ἕως στ. 19
κζ'	B	3. Kl.		Μ' στ. 17	Γ' στ. 13	Λευιτ. Θ' 22 ἕως Ι'	Θ' στ. 19
κη'	C	pr. Kl.		Λευιτ. ΙΔ' ἕως 23	Δ' ἕως στ. 35	ΙϚ' ἕως 23 [12	Ι'
κθ'				ΙΘ' ἕως στ. 19	Ματθ. Ζ'	ΙΘ' 30 ἕως Κ' 9	ΙΒ'

Ο ΜΑΡΤΙΟΣ ΜΗΝ ΕΧΕΙ ΗΜΕΡΑΣ ΛΑ΄

Ἡ Σελήνη ἔχει Λ΄

				Ἀκολουθία Πρωινή		Ἀκολουθία Ἑσπερινή	
				Ἀνάγνωσμα Α΄	Ἀνάγνωσμα Β΄	Ἀνάγνωσμα Α΄	Ἀνάγνωσμα Β΄
α΄	D	Kalend.	Δαβὶδ Ἀρχιεπ. Μενεβίας.	Λευιτ. ΚΕ΄ ἕως 18	Μάρκ. Δ΄ 35 ἕως	Λευιτ. ΚΕ΄ 18 ἕως	Ῥωμ. ΙΑ΄ ἕως 25
β΄	E	6. No.	Κέδδε Ἐπ. Λικκεδφέλδ.	ΚϚ΄ ἕως στ. 21	Ε΄ στ. 21 [Ε΄ 21	ΚϚ΄ στ. 21 [44	ΙΑ΄ στ. 25
γ΄	F	5. No.		Ἀριθμ. Ϛ΄	Ϛ΄ ἕως στ. 14	Ἀριθμ. Θ΄ 15 ἕως Ι΄	ΙΒ΄
δ΄	G	4. No.		Ι΄ στ. 11	Ϛ΄ 14 ἕως στ. 30	ΙΑ΄ ἕως 24 [11	ΙΓ΄ [στ. 8
ε΄	A	3. No.		ΙΑ΄ στ. 24	Ϛ΄ στ. 30	ΙΒ΄	ΙΔ΄ καὶ ΙΕ΄ ἕως
ϛ΄	B	pr. No.		ΙΓ΄ στ. 17	Ζ΄ ἕως στ. 24	ΙΔ΄ ἕως στ. 26	ΙΕ΄ στ. 8
ζ΄	C	Nonae	Περπετούας Μάρτ. Μαυριταν.	ΙΔ΄ στ. 26	Ζ΄ 24 ἕως Η΄ 10	ΙϚ΄ ἕως στ. 23	ΙϚ΄
η΄	D	8. Id.		ΙϚ΄ στ. 23	Η΄ 10 ἕως Θ΄ 2	ΙΖ΄	α΄ Κορ. Α΄ ἕως 26
θ΄	E	7. Id.		Κ΄ ἕως στ. 14	Θ΄ 2 ἕως 30	Κ΄ στ. 14	Α΄ στ. 26 καὶ Β΄
ι΄	F	6. Id.		ΚΑ΄ ἕως στ. 10	Θ΄ στ. 30	ΚΑ΄ 10 ἕως 32	Γ΄
ια΄	G	5. Id.		ΚΒ΄ ἕως στ. 22	Ι΄ ἕως στ. 32	ΚΒ΄ στ. 22	Δ΄ ἕως στ. 18
ιβ΄	A	4. Id.	Γρηγορίου τοῦ Μεγάλου, Ἐπ.	ΚΓ΄	Ι΄ στ. 32	ΚΔ΄	Δ΄ στ. 18 καὶ Ε΄
ιγ΄	B	3. Id.	[Ῥωμ. καὶ Ὁμολ.	ΚΕ΄	ΙΑ΄ ἕως στ. 27	ΚΖ΄ στ. 12	Ϛ΄
ιδ΄	C	pr. Id.		Δευτ. Α΄ ἕως 19	ΙΑ΄ 27 ἕως ΙΒ΄ 13	Δευτ. Α΄ στ. 19	Ζ΄ ἕως στ. 25
ιε΄	D	Idus		Β΄ ἕως στ. 26	ΙΒ΄ 13 ἕως 35	Β΄ 26 ἕως Γ΄ 18	Ζ΄ στ. 25
ιϛ΄	E	17. Kal. Apr.		Γ΄ στ. 18	ΙΒ΄ 35 ἕως ΙΓ΄	Δ΄ ἕως στ. 25	Η΄
ιζ΄	F	16. Kl.		Δ΄ 25 ἕως στ. 41	ΙΓ΄ στ. 14 [14	Ε΄ ἕως στ. 22	Θ΄
ιη΄	G	15. Kl.	Ἐδουάρδου Βασ. τῶν Δυτι-	Ε΄ στ. 22	ΙΔ΄ ἕως στ. 27	Ϛ΄	Ι΄ καὶ ΙΑ΄ στ. 1
ιθ΄	A	14. Kl.	[κῶν Σαξόνων.	Ζ΄ ἕως στ. 12	ΙΔ΄ 27 ἕως 53	Ζ΄ στ. 12	ΙΑ΄ 2 ἕως στ. 17
κ΄	B	13. Kl.		Η΄	ΙΔ΄ στ. 53	Ι΄ στ. 8	ΙΑ΄ στ. 17
κα΄	C	12. Kl.	Βενεδίκτου Ἡγουμένου.	ΙΑ΄ ἕως στ. 18	ΙΕ΄ ἕως στ. 42	ΙΑ΄ στ. 18	ΙΒ΄ ἕως στ. 28
κβ΄	D	11. Kl.		ΙΕ΄ ἕως στ. 16	ΙΕ΄ 42 καὶ ΙϚ΄	ΙΖ΄ στ. 8	ΙΒ΄ στ. 28 καὶ ΙΓ΄
κγ΄	E	10. Kl.		ΙΗ΄ στ. 9	Λουκᾶ Α΄ ἕως 26	ΚΔ΄ στ. 5	ΙΔ΄ ἕως στ. 20
κδ΄	F	9. Kl.	Νηστεία.	ΚϚ΄	Α΄ 26 ἕως 46	ΚΖ΄	ΙΔ΄ στ. 20
κε΄	G	8. Kl.	**Ὁ Εὐαγγελισμὸς Μαρίας.**		Α΄ στ. 46		ΙΕ΄ ἕως στ. 35
κϛ΄	A	7. Kl.		ΚΗ΄ ἕως στ. 15	Β΄ ἕως στ. 21	ΚΗ΄ 15 ἕως 47	ΙΕ΄ στ. 35
κζ΄	B	6. Kl.		ΚΗ΄ στ. 47	Β΄ στ. 21	ΚΘ΄ στ. 9	ΙϚ΄
κη΄	C	5. Kl.		Λ΄	Γ΄ ἕως στ. 23	ΛΑ΄ ἕως στ. 14	β΄ Κορ. Α΄ ἕως 23
κθ΄	D	4. Kl.		ΛΑ΄ 14 ἕως 30	Δ΄ ἕως στ. 16	ΛΑ΄ 30 ἕως ΛΒ΄	Α΄ 23 ἕως Β΄ 14
λ΄	E	3. Kl.		ΛΒ΄ στ. 44	Δ΄ στ. 16	ΛΓ΄ [44	Β΄ στ. 14 καὶ Γ΄
λα΄	F	pr. Kl.		ΛΔ΄	Ε΄ ἕως στ. 17	Ἰησ. Α΄	Δ΄

Ο ΑΠΡΙΛΙΟΣ ΜΗΝ ΕΧΕΙ ΗΜΕΡΑΣ Λ′

Ἡ Σελήνη ἔχει ΚΘ′

				Ἀκολουθία Πρωινή		Ἀκολουθία Ἑσπερινή	
				Ἀνάγνωσμα Α′	Ἀνάγνωσμα Β′	Ἀνάγνωσμα Α′	Ἀνάγνωσμα Β′
α′	G	Kalend.		Ἰησοῦ Β′	Λουκ. Ε′ στ. 17	Ἰησοῦ Γ′	β′ Κορ. Ε′
β′	A	4. No.		Δ′	ϛ′ ἕως στ. 20	Ε′	ϛ′ καὶ Ζ′ στ. 1
γ′	B	3. No.	Ῥικάρδου Ἐπ. Κικεστρ.	ϛ′	ϛ′ στ. 20	Ζ′	Ζ′ στ. 2
δ′	C	pr. No.	Ἀμβροσίου Ἐπ. Μεδιολανοῦ.	Θ′ στ. 3 [11	Ζ′ ἕως στ. 24	Ι′ ἕως στ. 16	Η′
ε′	D	Nonae		ΚΑ′ 43 ἕως ΚΒ′	Ζ′ στ. 24	ΚΒ′ στ. 11	Θ′
ϛ′	E	8. Id.		ΚΓ′	Η′ ἕως στ. 26	ΚΔ′	Ι′
ζ′	F	7. Id.		Κριτῶν Β′	Η′ στ. 26	Κριτῶν Δ′	ΙΑ′ ἕως στ. 30
η′	G	6. Id.		Ε′	Θ′ ἕως στ. 28	ϛ′ ἕως στ. 24	ΙΑ′ 30 ἕως ΙΒ′ 14
θ′	A	5. Id.		ϛ′ στ. 24	Θ′ 28 ἕως στ. 51	Ζ′	ΙΒ′ στ. 14 καὶ ΙΓ′
ι′	B	4. Id.		Η′ 32 ἕως Θ′ 25	Θ′ 51 ἕως Ι′ 17	Ι′	Γαλ. Α′
ια′	C	3. Id.		ΙΑ′ ἕως στ. 29	Ι′ στ. 17	ΙΑ′ στ. 29	Β′
ιβ′	D	pr. Id.		ΙΓ′	ΙΑ′ ἕως στ. 29	ΙΔ′	Γ′
ιγ′	E	Idus.		ΙΕ′	ΙΑ′ στ. 29	Iϛ′	Δ′ ἕως στ. 21
ιδ′	F	18. Kl. Maij		Ῥοὺθ Α′	ΙΒ′ ἕως στ. 35	Ῥοὺθ Β′	Δ′ 21 ἕως Ε′ 13
ιε′	G	17. Kl.		Γ′	ΙΒ′ στ. 35	Δ′	Ε′ στ. 13
ιϛ′	A	16. Kl.		α′ Βασ. Α′	ΙΓ′ ἕως στ. 18	α′ Βασ. Β′ ἕως 21	ϛ′
ιζ′	B	15. Kl.		Β′ στ. 21	ΙΓ′ στ. 18	Γ′	Ἐφεσ. Α′
ιη′	C	14. Kl.		Δ′	ΙΔ′ ἕως στ. 25	Ε′	Β′
ιθ′	D	13. Kl.	Ἐλφεδχ Ἀρχιεπ. Καντουαρ.	ϛ′	ΙΔ′ 25 ἕως ΙΕ′ 11	Ζ′	Γ′
κ′	E	12. Kl.		Η′	ΙΕ′ στ. 11	Θ′	Δ′ ἕως στ. 25
κα′	F	11. Kl.		Ι′	Iϛ′	ΙΑ′	Δ′ 25 ἕως Ε′ 22
κβ′	G	10. Kl.		ΙΒ′	ΙΖ′ ἕως στ. 20	ΙΓ′	Ε′ 22 ἕως ϛ′ 10
κγ′	A	9. Kl.	Τοῦ ἁγίου Μάρτ. Γεωργίου.	ΙΔ′ ἕως στ. 24	ΙΖ′ στ. 20	ΙΔ′ 24 ἕως 47	ϛ′ στ. 10
κδ′	B	8. Kl.		ΙΕ′	ΙΗ′ ἕως στ. 31	Iϛ′	Φιλιπ. Α′
κε′	C	7. Kl.	**Τοῦ ἁγίου Εὐαγγελιστ. καὶ Μάρτ. Μάρκου.**		ΙΗ′ στ. 31 ἕως ΙΘ′ στ. 11		Β′
κϛ′	D	6. Kl.		ΙΖ′ ἕως στ. 31	ΙΘ′ 11 ἕως 28	ΙΖ′ 31 ἕως 55	Γ′
κζ′	E	5. Kl.		ΙΖ′ 55 ἕως ΙΗ′ 17	ΙΘ′ στ. 28	ΙΘ′	Δ′
κη′	F	4. Kl.		Κ′ ἕως στ. 18	Κ′ ἕως στ. 27	Κ′ στ. 18	Κολ. Α′ ἕως στ. 21
κθ′	G	3. Kl.		ΚΑ′	Κ′ 27 ἕως ΚΑ′ 5	ΚΒ′	Α′ 21 ἕως Β′ 8
λ′	A	pr. Kl.		ΚΓ′	ΚΑ′ στ. 5	ΚΔ′ καὶ ΚΕ′ στ. 1	Β′ στ. 8

ΚΑΛΕΝΔΑΡΙΟΝ ΚΑΙ ΠΙΝΑΞ ΤΩΝ ΑΝΑΓΝΩΣΜΑΤΩΝ

Ο ΜΑΙΟΣ ΜΗΝ ΕΧΕΙ ΗΜΕΡΑΣ ΛΑ′

Ἡ Σελήνη ἔχει Λ′

				Ἀκολουθία Πρωινή		Ἀκολουθία Ἑσπερινή	
				Ἀνάγνωσμα Α′	Ἀνάγνωσμα Β′	Ἀνάγνωσμα Α′	Ἀνάγνωσμα Β′
α′	B	Kalend.	**Τῶν ἁγίων Ἀπ. καὶ Μαρτ.**				Κολοσ. Γ′ ἕως 18
β′	C	6. No.	**[Φιλίππου καὶ Ἰακώβου.**	α′ Βασ. ΚϚ′	Λουκ. ΚΒ′ ἕως 31	α′ Βασ. ΚΗ′ στ. 3	Γ′ 18 ἕως Δ′ 7
γ′	D	5. No.	Ἡ Εὕρεσις τοῦ Σταυροῦ.	ΛΑ′	ΚΒ′ 31 ἕως 54	β′ Βασ. Α′	Δ′ στ. 7
δ′	E	4. No.		β′ Βασ. Γ′ στ. 17	ΚΒ′ στ. 54	Δ′	α′ Θεσσ. Α′
ε′	F	3. No.		Ϛ′	ΚΓ′ ἕως στ. 26	Ζ′ ἕως στ. 18	Β′
ϛ′	G	pr. No.	Τοῦ ἁγίου Εὐαγγ. Ἰωάννου	Ζ′ στ. 18	ΚΓ′ 26 ἕως στ. 50	Θ′	Γ′
ζ′	A	Nonae	[πρὸ τῆς Λατίνης Πύλης.	ΙΑ′	ΚΓ′ 50 ἕως ΚΔ′	ΙΒ′ ἕως στ. 24	Δ′
η′	B	8. Id.		ΙΓ′ 38 ἕως ΙΔ′ 26	ΚΔ′ στ. 13 [13	ΙΕ′ ἕως στ. 16	Ε′
θ′	C	7. Id.		ΙΕ′ στ. 16	Ἰωάν. Α′ ἕως 29	ΙϚ′ ἕως στ. 15	β′ Θεσσ. Α′
ι′	D	6. Id.		ΙϚ′ 15 ἕως ΙΖ′ 24	Α′ στ. 29	ΙΖ′ 24 ἕως ΙΗ′ 18	Β′
ια′	E	5. Id.		ΙΗ′ στ. 18	Β′	ΙΘ′ ἕως στ. 24	Γ′
ιβ′	F	4. Id.		ΙΘ′ στ. 24	Γ′ ἕως στ. 22	ΚΑ′ ἕως στ. 15	α′ Τιμ. Α′ ἕως 18
ιγ′	G	3. Id.		ΚΓ′ ἕως στ. 24	Γ′ στ. 22	ΚΔ′	Α′ στ. 18 καὶ Β′
ιδ′	A	pr. Id.		γ′ Βασ. Α′ ἕως 28	Δ′ ἕως στ. 31	γ′ Βασ. Α′ 28 ἕως	Γ′
ιε′	B	Idus		α′ Παραλ. ΚΘ′ 10	Δ′ στ. 31	Γ′ [49	Δ′
ιϛ′	C	17. Kl. Iunij		γ′ Βασ. Δ′ στ. 20	Ε′ ἕως στ. 24	Ε′	Ε′
ιζ′	D	16. Kl.		Ϛ′ ἕως στ. 15	Ε′ στ. 24	Η′ ἕως στ. 22	Ϛ′
ιη′	E	15. Kl.		Η′ 22 ἕως στ. 54	Ϛ′ ἕως στ. 22	Η′ 54 ἕως Θ′ 10	β′ Τιμ. Α′
ιθ′	F	14. Kl.	Δουνστανοῦ Ἀρχιεπ. Καντ.	Ι′	Ϛ′ 22 ἕως στ. 41	ΙΑ′ ἕως στ. 26	Β′
κ′	G	13. Kl.		ΙΑ′ στ. 26	Ϛ′ στ. 41	ΙΒ′ ἕως στ. 25	Γ′
κα′	A	12. Kl.		ΙΒ′ 25 ἕως ΙΓ′ 11	Ζ′ ἕως στ. 25	ΙΓ′ στ. 11	Δ′
κβ′	B	11. Kl.		ΙΔ′ ἕως στ. 21	Ζ′ στ. 25	ΙΕ′ 25 ἕως ΙϚ′ 8	Τίτ. Α′
κγ′	C	10. Kl.		ΙϚ′ στ. 8	Η′ ἕως στ. 31	ΙΖ′	Β′
κδ′	D	9. Kl.		ΙΗ′ ἕως στ. 17	Η′ στ. 31	ΙΗ′ στ. 17	Γ′
κε′	E	8. Kl.	[Ἀρχιεπ. Καντ.	ΙΘ′	Θ′ ἕως στ. 39	ΚΑ′	πρὸς Φιλήμονα
κϛ′	F	7. Kl.	Αὐγουστίνου τοῦ πρώτου	ΚΒ′ ἕως στ. 41	Θ′ 39 ἕως Ι′ 22	δ′ Βασ. Α′	Ἑβρ. Α′
κζ′	G	6. Kl.	Τοῦ σεβαστοῦ πρεσβ. Βαίδου.	δ′ Βασ. Β′	Ι′ στ. 22	Δ′ στ. 8	Β′ καὶ Γ′ ἕως 7
κη′	A	5. Kl.		Ε′	ΙΑ′ ἕως στ. 17	Ϛ′ ἕως στ. 24	Γ′ 7 ἕως Δ′ 14
κθ′	B	4. Kl.		Ϛ′ στ. 24	ΙΑ′ 17 ἕως στ. 47	Ζ′	Δ′ στ. 14 καὶ Ε′
λ′	C	3. Kl.		Η′ ἕως στ. 16	ΙΑ′ 47 ἕως ΙΒ′ 20	Θ′	Ϛ′
λα′	D	pr. Kl.		Ι′ ἕως στ. 18	ΙΒ′ στ. 20	Ι′ στ. 18	Ζ′

Ο ΙΟΥΝΙΟΣ ΜΗΝ ΕΧΕΙ ΗΜΕΡΑΣ Λ'

Ἡ Σελήνη ἔχει ΚΘ'

				Ἀκολουθία Πρωινή		Ἀκολουθία Ἑσπερινή	
				Ἀνάγνωσμα Α'	Ἀνάγνωσμα Β'	Ἀνάγνωσμα Α'	Ἀνάγνωσμα Β'
α'	E	Kalend.	Νικομήδου Πρεσβ. καὶ Μ.	δ' Βασ. ΙΓ'	Ἰωάν. ΙΓ' ἕως 21	δ' Βασ. ΙΖ' ἕως 24	Ἑβρ. Η'
β'	F	4. No.	[Ῥωμ.	ΙΖ' στ. 24	ΙΓ' στ. 21	β' Παραλ. ΙΒ'	Θ'
γ'	G	3. No.		β' Παραλ. ΙΓ'	ΙΔ'	ΙΔ'	Ι' ἕως στ. 19
δ'	A	pr. No.		ΙΕ'	ΙΕ'	ΙϚ' καὶ ΙΖ' ἕως 14	Ι' στ. 19
ε'	B	Nonae	Βονιφακίου Ἐπ. Μογουντ.	ΙΘ'	ΙϚ' ἕως στ. 16	Κ' ἕως στ. 31	ΙΑ' ἕως στ. 17
ϛ'	C	8. Id.	[καὶ Μάρτ.	Κ' στ. 31 καὶ ΚΑ'	ΙϚ' στ. 16	ΚΒ'	ΙΑ' στ. 17
ζ'	D	7. Id.		ΚΓ'	ΙΖ'	ΚΔ'	ΙΒ'
η'	E	6. Id.		ΚΕ'	ΙΗ' ἕως στ. 28	ΚϚ' καὶ ΚΖ'	ΙΓ'
θ'	F	5. Id.		ΚΗ'	ΙΗ' στ. 28	δ' Βασ. ΙΗ' ἕως 9	Ἰακώβ. Α'
ι'	G	4. Id.		ΚΘ' 3 ἕως στ. 21	ΙΘ' ἕως στ. 25	β' Παραλ. Λ' καὶ	Β'
ια'	A	3. Id.	**Τοῦ ἁγίου Ἀποστ. καὶ Μ.**			[ΛΑ' στ. 1	
ιβ'	B	pr. Id.	**[Βαρνάβα.**	δ' Βασ. ΙΗ' στ. 13	ΙΘ' στ. 25	δ' Βασ. ΙΘ' ἕως 20	Γ'
ιγ'	C	Idus		ΙΘ' στ. 20	Κ' ἕως στ. 19	Κ'	Δ'
ιδ'	D	18. Kl. Iulij		Ἡσαΐ. ΛΗ' 9 ἕως	Κ' στ. 19	β' Παραλ. ΛΓ'	Ε'
ιε'	E	17. Kl.		δ' Βασ. ΚΒ' [21	ΚΑ'	δ' Βασ. ΚΓ' ἕως 21	α' Πέτρ. Α' ἕως 22
ιϛ'	F	16. Kl.		ΚΓ' 21 ἕως ΚΔ' 8	Πράξεων Α'	ΚΔ' 8 ἕως ΚΕ' 8	Α' 22 ἕως Β' 11
ιζ'	G	15. Kl.	Τοῦ ἁγίου Ἀλβάνου τοῦ Μάρτ.	ΚΕ' στ. 8	Β' ἕως στ. 22	β' Ἔσδρα Α' καὶ	Β' 11 ἕως Γ' 8
ιη'	A	14. Kl.		β' Ἔσδρα Δ'	Β' στ. 22	Ε' [Γ'	Γ' 8 ἕως Δ' στ. 7
ιθ'	B	13. Kl.		Ζ'	Γ'	Η' στ. 15	Δ' στ. 7
κ'	C	12. Kl.	Μετάθεσις Ἐδουάρδου Βασ. τῶν Δυτικῶν Σαξόνων.	Θ'	Δ' ἕως στ. 32	Ι' ἕως στ. 20	Ε'
κα'	D	11. Kl.		Νεεμ. Α'	Δ' 32 ἕως Ε' 17	Νεεμ. Β'	β' Πέτρ. Α'
κβ'	E	10. Kl.		Δ'	Ε' στ. 17	Ε'	Β'
κγ'	F	9. Kl.	Νηστεία.	Ϛ' καὶ Ζ' ἕως 5	Ϛ'	Ζ' στ. 73 καὶ Η'	Γ'
κδ'	G	8. Kl.	**Γέννησις τοῦ ἁγίου Ἰωάν-**				
κε'	A	7. Kl.	**[νου τοῦ Βαπτιστοῦ.**	ΙΓ' ἕως στ. 15	Ζ' ἕως στ. 35	ΙΓ' στ. 15	α' Ἰωάν. Α'
κϛ'	B	6. Kl.		Ἐσθὴρ Α'	Ζ' 35 ἕως Η' στ. 5	Ἐσθὴρ Β' 15 καὶ	Β' ἕως στ. 15
κζ'	C	5. Kl.		Δ'	Η' 5 ἕως στ. 26	Ε' [Γ'	Β' στ. 15
κη'	D	4. Kl.	Νηστεία.	Ϛ'	Η' στ. 26	Ζ'	Γ' ἕως στ. 16
κθ'	E	3. Kl.	**Τοῦ ἁγίου Ἀποστ. καὶ**				
λ'	F	pr. Kl.	**Μάρτ. Πέτρου.**	Ἰὼβ Α'	Θ' ἕως στ. 23	Ἰὼβ Β'	Γ' 16 ἕως Δ' 7

Ο ΙΟΥΛΙΟΣ ΜΗΝ ΕΧΕΙ ΗΜΕΡΑΣ ΛΑ΄

Ἡ Σελήνη ἔχει Λ΄

				Ἀκολουθία Πρωινή		Ἀκολουθία Ἑσπερινή	
				Ἀνάγνωσμα Α΄	Ἀνάγνωσμα Β΄	Ἀνάγνωσμα Α΄	Ἀνάγνωσμα Β΄
α΄	G	Kalend.		Ἰὼβ Γ΄	Πράξ. Θ΄ στ. 23	Ἰὼβ Δ΄	α΄ Ἰωάν. Δ΄ στ. 7
β΄	A	6. No.	Ἐπίσκεψις τῆς Μακ. Παρθ.	Ε΄	Ι΄ ἕως στ. 24	Ϛ΄	Ε΄
γ΄	B	5. No.	[Μαρίας.	Ζ΄	Ι΄ στ. 24	Θ΄	β΄ Ἰωάννου
δ΄	C	4. No.	Μετάθεσις τοῦ ἁγίου Ἐπ. καὶ	Ι΄	ΙΑ΄	ΙΑ΄	γ΄ Ἰωάννου
ε΄	D	3. No.	[Ὁμολ. Μαρτίνου.	ΙΒ΄	ΙΒ΄	ΙΓ΄	Ἰούδα
ϛ΄	E	pr. No.		ΙΔ΄	ΙΓ΄ ἕως στ. 26	ΙϚ΄	Ματθ. Α΄ στ. 18
ζ΄	F	Nonae		ΙΖ΄	ΙΓ΄ στ. 26	ΙΘ΄	Β΄
η΄	G	8. Id.		ΚΑ΄	ΙΔ΄	ΚΒ΄ 12 ἕως 29	Γ΄
θ΄	A	7. Id.		ΚΓ΄	ΙΕ΄ ἕως στ. 30	ΚΔ΄	Δ΄ ἕως στ. 23
ι΄	B	6. Id.		ΚΕ΄ καὶ ΚϚ΄	ΙΕ΄ 30 ἕως ΙϚ΄ 16	ΚΖ΄	Δ΄ 23 ἕως Ε΄ 13
ια΄	C	5. Id.		ΚΗ΄	ΙϚ΄ στ. 16	ΚΘ΄ καὶ Λ΄ στ. 1	Ε΄ 13 ἕως στ. 33
ιβ΄	D	4. Id.		Λ΄ 12 ἕως στ. 27	ΙΖ΄ ἕως στ. 16	ΛΑ΄ στ. 13	Ε΄ στ. 33
ιγ΄	E	3. Id.		ΛΒ΄	ΙΖ΄ στ. 16	ΛΗ΄ ἕως στ. 39	Ϛ΄ ἕως στ. 19
ιδ΄	F	pr. Id.		ΛΗ΄ 39 καὶ ΛΘ΄	ΙΗ΄ ἕως στ. 24	Μ΄	Ϛ΄ 19 ἕως Ζ΄ στ. 7
ιε΄	G	Idus	Μετάθεσις Σουιθίνου Ἐπ.	ΜΑ΄	ΙΗ΄ 24 ἕως ΙΘ΄ 21	ΜΒ΄	Ζ΄ στ. 7
ιϛ΄	A	17. Kl. Aug.	[Οὐίντων.	Παροιμ. Α΄ ἕως 20	ΙΘ΄ στ. 21	Παροιμ. Α΄ στ. 20	Η΄ ἕως στ. 18
ιζ΄	B	16. Kl.		Β΄	Κ΄ ἕως στ. 17	Γ΄ ἕως στ. 27	Η΄ στ. 18
ιη΄	C	15. Kl.		Γ΄ 27 ἕως Δ΄ 20	Κ΄ στ. 17	Δ΄ 20 ἕως Ε΄ 15	Θ΄ ἕως στ. 18
ιθ΄	D	14. Kl.	[Ἀντιοχ.	Ε΄ στ. 15	ΚΑ΄ ἕως στ. 17	Ϛ΄ ἕως στ. 20	Θ΄ στ. 18
κ΄	E	13. Kl.	Μαργαρίτης Παρθ. καὶ Μάρτ.	Ζ΄	ΚΑ΄ 17 ἕως 37	Η΄	Ι΄ ἕως στ. 24
κα΄	F	12. Kl.		Θ΄	ΚΑ΄ 37 ἕως ΚΒ΄ 23	Ι΄ στ. 16	Ι΄ στ. 24
κβ΄	G	11. Kl.	Τῆς ὁσίας Μαρίας Μαγδα-	ΙΑ΄ ἕως στ. 15	ΚΒ΄ 23 ἕως ΚΓ΄ 12	ΙΑ΄ στ. 15	ΙΑ΄
κγ΄	A	10. Kl.	[ληνῆς.	ΙΒ΄ στ. 10	ΚΓ΄ στ. 12	ΙΓ΄	ΙΒ΄ ἕως στ. 22
κδ΄	B	9. Kl.	Νηστεία.	ΙΔ΄ 9 ἕως στ. 28	ΚΔ΄	ΙΔ΄ 28 ἕως ΙΕ΄ 18	ΙΒ΄ στ. 22
κε΄	C	8. Kl.	**Τοῦ ἁγίου Ἀποστ. καὶ Μάρτ. Ἰακώβου.**				ΙΓ΄ ἕως στ. 24
κϛ΄	D	7. Kl.	Τῆς ἁγίας Ἄννης τῆς μητρὸς τῆς Μακ. Παρθ. Μαρίας.	ΙΕ΄ στ. 18	ΚΕ΄	ΙϚ΄ ἕως στ. 20	ΙΓ΄ 24 ἕως στ. 53
κζ΄	E	6. Kl.		ΙϚ΄ 31 ἕως ΙΖ΄ 18	ΚϚ΄	ΙΗ΄ στ. 10	ΙΓ΄ 53 ἕως ΙΔ΄ 13
κη΄	F	5. Kl.		ΙΘ΄ στ. 13	ΚΖ΄	Κ΄ ἕως στ. 23	ΙΔ΄ στ. 13
κθ΄	G	4. Kl.		ΚΑ΄ ἕως στ. 17	ΚΗ΄ ἕως στ. 17	ΚΒ΄ ἕως στ. 17	ΙΕ΄ ἕως στ. 21
λ΄	A	3. Kl.		ΚΓ΄ στ. 10	ΚΗ΄ στ. 17	ΚΔ΄ στ. 21	ΙΕ΄ στ. 21
λα΄	B	pr. Kl.		ΚΕ΄	Ῥωμ. Α΄	ΚϚ΄ ἕως στ. 21	ΙϚ΄ ἕως στ. 24

Ο ΑΥΓΟΥΣΤΟΣ ΜΗΝ ΕΧΕΙ ΗΜΕΡΑΣ ΛΑ'

'Η Σελήνη ἔχει Λ'

				Ἀκολουθία Πρωινή		Ἀκολουθία Ἑσπερινή	
				Ἀνάγνωσμα Α'	Ἀνάγνωσμα Β'	Ἀνάγνωσμα Α'	Ἀνάγνωσμα Β'
α'	C	Kalend.	Ἡ λεγομένη Lammas.	Παροιμ. ΚΖ' ἕως	Ῥωμ. Β' ἕως 17	Παροιμ. ΚΗ' ἕως	Ματθ. Iϛ' 24–IZ'
β'	D	4. No.		Λ' ἕως 18 [23	Β' στ. 17	ΛΑ' στ. 10 [15	ΙΖ' στ. 14 [14
γ'	E	3. No.		Ἐκκλησ. Α'	Γ'	Ἐκκλησ. Β' ἕως	ΙΗ' ἕως στ. 21
δ'	F	pr. No.		Γ'	Δ'	Δ' [12	ΙΗ' 21 ἕως ΙΘ' 3
ε'	G	Nonae	[ἡμῶν.	Ε'	Ε'	ϛ'	ΙΘ' 3 ἕως στ. 27
ϛ'	A	8. Id.	Ἡ **Μεταμόρφωσις τοῦ Κυρίου**	Ζ'	ϛ'	Η'	ΙΘ' 27 ἕως Κ' 17
ζ'	B	7. Id.	Τοῦ Ὀνόματος Ἰησοῦ.	Θ'	Ζ'	ΙΑ'	Κ' στ. 17
η'	C	6. Id.		ΙΒ'	Η' ἕως στ. 18	Ἱερεμ. Α'	ΚΑ' ἕως στ. 23
θ'	D	5. Id.		Ἱερεμ. Β' ἕως 14	Η' στ. 18	Ε' ἕως στ. 19	ΚΑ' στ. 23
ι'	E	4. Id.	Τοῦ ἁγίου Λαυρεντίου, Ἀρχι-	Ε' στ. 19	Θ' ἕως στ. 19	ϛ' ἕως στ. 22	ΚΒ' ἕως στ. 15
ια'	F	3. Id.	[διακ. Ῥωμ. καὶ Μαρτ.	Ζ' ἕως στ. 17	Θ' στ. 19	Η' στ. 4	ΚΒ' 15 ἕως 41
ιβ'	G	pr. Id.		Θ' ἕως στ. 17	Ι'	ΙΓ' 8 ἕως στ. 24	ΚΒ' 41 ἕως ΚΓ'
ιγ'	A	Idus		ΙΕ'	ΙΑ' ἕως στ. 25	ΙΖ' ἕως στ. 19	ΚΓ' στ. 13 [13
ιδ'	B	19. Kl. Sept.		ΙΗ' ἕως στ. 18	ΙΑ' στ. 25	ΙΘ'	ΚΔ' ἕως στ. 29
ιε'	C	18. Kl.		ΚΑ'	ΙΒ'	ΚΒ' ἕως στ. 13	ΚΔ' στ. 29
ιϛ'	D	17. Kl.		ΚΒ' στ. 13	ΙΓ'	ΚΓ' ἕως στ. 16	ΚΕ' ἕως στ. 31
ιζ'	E	16. Kl.		ΚΔ'	ΙΔ' καὶ ΙΕ' ἕως 8	ΚΕ' ἕως στ. 15	ΚΕ' στ. 31
ιη'	F	15. Kl.		Κϛ'	ΙΕ' στ. 8	ΚΗ'	Κϛ' ἕως στ. 31
ιθ'	G	14. Kl.		ΚΘ' 4 ἕως στ. 20	Ιϛ'	Λ'	Κϛ' 31 ἕως 57
κ'	A	13. Kl.		ΛΑ' ἕως στ. 15	α' Κορ. Α' ἕως 26	ΛΑ' 15 ἕως 38	Κϛ' στ. 57
κα'	B	12. Kl.		ΛΓ' ἕως στ. 14	Α' στ. 26 καὶ Β'	ΛΓ' στ. 14	ΚΖ' ἕως στ. 27
κβ'	C	11. Kl.		ΛΕ'	Γ'	Λϛ' ἕως στ. 14	ΚΖ' 27 ἕως 57
κγ'	D	10. Kl.	Νηστεία.	Λϛ' στ. 14	Δ' ἕως στ. 18	ΛΗ' ἕως στ. 14	ΚΖ' στ. 57
κδ'	E	9. Kl.	**Τοῦ ἁγίου Ἀποστ. καὶ**		Δ' στ. 18 καὶ Ε'		ΚΗ'
κε'	F	8. Kl.	**[Μαρτ. Βαρθολομαίου.**	ΛΗ' στ. 14	ϛ'	ΛΘ'	Μάρκ. Α' ἕως 21
κϛ'	G	7. Kl.		Ν' ἕως στ. 21	Ζ' ἕως στ. 25	ΝΑ' στ. 54	Α' στ. 21
κζ'	A	6. Kl.	[Ἱππων. Ὁμολ. Διδασκ.	Ἰεζεκ. Α' ἕως 15	Ζ' στ. 25	Ἰεζεκ. Α' στ. 15	Β' ἕως στ. 23
κη'	B	5. Kl.	Τοῦ ἁγίου Αὐγουστίνου, Ἐπ.	Β'	Η'	Γ' ἕως στ. 15	Β' 23 ἕως Γ' 13
κθ'	C	4. Kl.	Ἀποτομὴ τῆς κεφαλῆς τοῦ	Γ' στ. 15	Θ'	Η'	Γ' στ. 13
λ'	D	3. Kl.	ἁγίου Ἰωάννου τοῦ Βαπ-	Θ'	Ι' καὶ ΙΑ' στ. 1	ΙΑ' στ. 14	Δ' ἕως στ. 35
λα'	E	pr. Kl.	[τιστοῦ.	ΙΒ' στ. 17	ΙΑ' 2 ἕως στ. 17	ΙΓ' ἕως στ. 17	Δ' 35 ἕως Ε' 21

ΚΑΛΕΝΔΑΡΙΟΝ ΚΑΙ ΠΙΝΑΞ ΤΩΝ ΑΝΑΓΝΩΣΜΑΤΩΝ

Ο ΣΕΠΤΕΜΒΡΙΟΣ ΜΗΝ ΕΧΕΙ ΗΜΕΡΑΣ Λ′

Ἡ Σελήνη ἔχει ΚΘ′

				Ἀκολουθία Πρωινή		Ἀκολουθία Ἑσπερινή	
				Ἀνάγνωσμα Α′	Ἀνάγνωσμα Β′	Ἀνάγνωσμα Α′	Ἀνάγνωσμα Β′
α′	F	Kalend.	Αἰγιδίου Ἡγουμ. καὶ Ὁμολ.	Ἰεζεκ. ΙΓ′ στ. 17	α′ Κορ. ΙΑ′ στ. 17	Ἰεζεκ. ΙΔ′ ἕως 12	Μάρκ. Ε′ στ. 21
β′	G	4. No.		ΙΔ′ στ. 12	ΙΒ′ ἕως στ. 28	Ιϛ′ στ. 44	ϛ′ ἕως στ. 14
γ′	A	3. No.		ΙΗ′ ἕως στ. 19	ΙΒ′ στ. 28 καὶ ΙΓ′	ΙΗ′ στ. 19	ϛ′ 14 ἕως στ. 30
δ′	B	pr. No.		Κ′ ἕως στ. 18	ΙΔ′ ἕως στ. 20	Κ′ 18 ἕως στ. 33	ϛ′ στ. 30
ε′	C	Nonae		Κ′ 33 ἕως στ. 44	ΙΔ′ στ. 20	ΚΒ′ στ. 23	Ζ′ ἕως στ. 24
ϛ′	D	8. Id.		ΚΔ′ στ. 15	ΙΕ′ ἕως στ. 35	Κϛ′	Ζ′ 24 ἕως Η′ 10
ζ′	E	7. Id.	Ἐνούρχου Ἐπ. Αὐρηλιανῆς.	ΚΖ′ ἕως στ. 26	ΙΕ′ στ. 35	ΚΖ′ στ. 26	Η′ 10 ἕως Θ′ 2
η′	F	6. Id.	Γέννησις τῆς Μακ. Παρθ.	ΚΗ′ ἕως στ. 20	Ιϛ′	ΛΑ′	Θ′ 2 ἕως στ. 30
θ′	G	5. Id.	[Μαρίας.	ΛΒ′ ἕως στ. 17	β′ Κορ. Α′ ἕως 23	ΛΓ′ ἕως στ. 21	Θ′ στ. 30
ι′	A	4. Id.		ΛΓ′ στ. 21	Α′ 23 ἕως Β′ 14	ΛΔ′ ἕως στ. 17	Ι′ ἕως στ. 32
ια′	B	3. Id.		ΛΔ′ στ. 17	Β′ στ. 14 καὶ Γ	Λϛ′ 16 ἕως στ 33	Ι′ στ. 32
ιβ′	C	pr. Id.		ΛΖ′ ἕως στ. 15	Δ′	ΛΖ′ στ. 15	ΙΑ′ ἕως στ. 27
ιγ′	D	Idus		ΜΖ′ ἕως στ. 13	Ε′	Δαν. Α′	ΙΑ′ 27 ἕως ΙΒ′ 13
ιδ′	E	18. Kl. Octob.	Τοῦ ἁγίου Σταυροῦ.	Δαν. Β′ ἕως στ. 24	ϛ′ καὶ Ζ′ στ. 1	Β′ στ. 24	ΙΒ′ 13 ἕως στ. 35
ιε′	F	17. Kl.		Γ′	Ζ′ στ. 2	Δ′ ἕως στ. 19	ΙΒ′ 35 ἕως ΙΓ′ 14
ιϛ′	G	16. Kl.		Δ′ στ. 19	Η′	Ε′ ἕως στ. 17	ΙΓ′ στ. 14
ιζ′	A	15. Kl.	Λαμβέρτου Ἐπ. καὶ Μάρτ.	Ε′ στ. 17	Θ′	ϛ′	ΙΔ′ ἕως στ. 27
ιη′	B	14. Kl.		Ζ′ ἕως στ. 15	Ι′	Ζ′ στ. 15	ΙΔ′ 27 ἕως στ. 53
ιθ′	C	13. Kl.		Θ′ ἕως στ. 20	ΙΑ′ ἕως στ. 30	Θ′ στ. 20	ΙΔ′ στ. 53
κ′	D	12. Kl.	Νηστεία.	Ι′ ἕως στ. 20	ΙΑ′ 30 ἕως ΙΒ′ 14	ΙΒ′	ΙΕ′ ἕως στ. 42
κα′	E	11. Kl.	**Τοῦ ἁγίου Ἀπ. Εὐαγγ. καὶ**		ΙΒ′ στ. 14 καὶ ΙΓ′		ΙΕ′ στ. 42 καὶ Ιϛ′
κβ′	F	10. Kl.	**[Μάρτ. Ματθαίου.**	Ὠσηὲ Β′ στ. 14	Γαλ. Α′	Ὠσηὲ Δ′ ἕως 13	Λουκ. Α′ ἕως στ. 26
κγ′	G	9. Kl.		Ε′ 8 ἕως ϛ′ στ. 7	Β′	Ζ′ στ. 8	Α′ 26 ἕως στ. 57
κδ′	A	8. Kl.		Η′	Γ′	Θ′	Α′ στ. 57
κε′	B	7. Kl.		Ι′	Δ′ ἕως στ. 21	ΙΑ′ καὶ ΙΒ′ ἕως 7	Β′ ἕως στ. 21
κϛ′	C	6. Kl.	Τοῦ ἁγίου Κυπριανοῦ Ἐπ.	ΙΓ′ ἕως στ. 15	Δ′ 21 ἕως Ε′ 13	ΙΔ′	Β′ στ. 21
κζ′	D	5. Kl.	[Χαρχηδ. καὶ Μάρτ.	Ἰωὴλ Α′	Ε′ στ. 13	Ἰωὴλ Β′ ἕως στ. 15	Γ′ ἕως στ. 23
κη′	E	4. Kl.	**[πάντων τῶν Ἀγγέλων.**	Β′ 15 ἕως στ. 28	ϛ′	Β′ 28 ἕως Γ′ στ. 9	Δ′ ἕως στ. 16
κθ′	F	3. Kl.	**Τοῦ ἁγίου Μιχαὴλ καὶ**				
λ′	G	pr. Kl.	Τοῦ ἁγίου Πρεσβ. Ὁμολ. καὶ Διδασκ. Ἱερωνύμου.	Γ′ στ. 9	Ἐφεσ. Α′	Ἀμὼς Α′ καὶ Β′ ἕως στ. 4	Δ′ στ. 16

Ο ΟΚΤΩΒΡΙΟΣ ΜΗΝ ΕΧΕΙ ΗΜΕΡΑΣ ΛΑ'

Ἡ Σελήνη ἔχει Λ'

				Ἀκολουθία Πρωινή		Ἀκολουθία Ἑσπερινή	
				Ἀνάγνωσμα Α'	Ἀνάγνωσμα Β'	Ἀνάγνωσμα Α'	Ἀνάγνωσμα Β'
α'	A	Kalend.	Ῥημιγίου Ἐπ. Ῥημ.	Ἀμὼς Β' 4 ἕως Γ'	Ἐφεσ. Β'	Ἀμὼς Δ' στ. 4	Λουκ. Ε' ἕως στ. 17
β'	B	6. No.		Ε' ἕως στ. 18 [9	Γ'	Ε' 18 ἕως ϛ' 9	Ε' στ. 17
γ'	C	5. No.		Ζ'	Δ' ἕως στ. 25	Η'	ϛ' ἕως στ. 20
δ'	D	4. No.		Θ'	Δ' 25 ἕως Ε' 22	Ὀβδίου	ϛ' στ. 20
ε'	E	3. No.		Ἰωνᾶ Α'	Ε' 22 ἕως ϛ' 10	Ἰωνᾶ Β'	Ζ' ἕως στ. 24
ϛ'	F	pr. No.	Πίστεως Παρθ. καὶ Μάρτ.	Γ'	ϛ' στ. 10	Δ'	Ζ' στ. 24
ζ'	G	Nonae		Μιχαίου Α' ἕως 10	Φιλιπ. Α'	Μιχαίου Β'	Η' ἕως στ. 26
η'	A	8. Id.		Γ'	Β'	Δ'	Η' στ. 26
θ'	B	7. Id.	Τοῦ ἁγίου Ἐπ. καὶ Μάρτ.	Ε'	Γ'	ϛ'	Θ' ἕως στ. 28
ι'	C	6. Id.	[Διονυσίου τοῦ Ἀρεοπ.	Ζ'	Δ'	Ναοὺμ Α'	Θ' 28 ἕως στ. 51
ια'	D	5. Id.		Ναοὺμ Β'	Κολοσ. Α' ἕως 21	Γ'	Θ' 51 ἕως Ι' 17
ιβ'	E	4. Id.		Ἀμβακ. Α'	Α' 21 ἕως Β' 8	Ἀμβακ. Β'	Ι' στ. 17
ιγ'	F	3. Id.	Μετάθεσις τοῦ Βασ. Ἐδουάρδου	Γ'	Β' στ. 8	Σοφον. Α' ἕως 14	ΙΑ' ἕως στ. 29
ιδ'	G	pr. Id.	[τοῦ Ὁμολογ.	Σοφον. Α' 14 ἕως	Γ' ἕως στ. 18	Β' στ. 4	ΙΑ' στ. 29
ιε'	A	Idus		Γ' [Β' 4	Γ' στ. 18 καὶ Δ'	Ἀγγαίου Α'	ΙΒ' ἕως στ. 35
ιϛ'	B	17. Kl. Nov.		Ἀγγαίου Β' ἕως 10	α' Θεσσ. Α'	Β' στ. 10	ΙΒ' στ. 35
ιζ'	C	16. Kl.	Ἀ'θηλδρήδης Παρθ.	Ζαχαρ. Α' ἕως 18	Β'	Ζαχαρ. Α' 18 καὶ	ΙΓ' ἕως στ. 18
ιη'	D	15. Kl.	**Τοῦ ἁγίου Εὐαγγ. Λουκᾶ.**		Γ'	[Β'	ΙΓ' στ. 18
ιθ'	E	14. Kl.		Γ'	Δ'	Δ'	ΙΔ' ἕως στ. 25
κ'	F	13. Kl.		Ε'	Ε'	ϛ'	ΙΔ' 25 ἕως ΙΕ' 11
κα'	G	12. Kl.		Ζ'	β' Θεσσ. Α'	Η' ἕως στ. 14	ΙΕ' στ. 11
κβ'	A	11. Kl.		Η' στ. 14	Β'	Θ' στ. 9	Ιϛ'
κγ'	B	10. Kl.		Ι'	Γ'	ΙΑ'	ΙΖ' ἕως στ. 20
κδ'	C	9. Kl.		ΙΒ'	α' Τιμ. Α' ἕως 18	ΙΓ'	ΙΖ' στ. 20
κε'	D	8. Kl.	Κρισπίνου Μάρτ.	ΙΔ'	Α' στ. 18 καὶ Β'	Μαλαχ. Α'	ΙΗ' ἕως στ. 31
κϛ'	E	7. Kl.		Μαλαχ. Β'	Γ'	Γ' ἕως στ. 13	ΙΗ' 31 ἕως ΙΘ' 11
κζ'	F	6. Kl.	Νηστεία.	Γ' στ. 13 καὶ Δ'	Δ'	Σοφ. Σαλ. Α'	ΙΘ' 11 ἕως στ. 28
κη'	G	5. Kl.	**Τῶν ἁγίων Ἀπ. καὶ Μάρτ.**		Ε'		ΙΘ' στ. 28
κθ'	A	4. Kl.	**[Σίμωνος καὶ Ἰούδα.**	Σοφ. Σαλ. Β'	ϛ'	Δ' στ. 7	Κ' ἕως στ. 27
λ'	B	3. Kl.		ϛ' ἕως στ. 22	β' Τιμ. Α'	ϛ' 22 ἕως Ζ' 15	Κ' 27 ἕως ΚΑ' 5
λα'	C	pr. Kl.	Νηστεία.	Ζ' στ. 15	Β'	Η' ἕως στ. 19	ΚΑ' στ. 5

Ο ΝΟΕΜΒΡΙΟΣ ΜΗΝ ΕΧΕΙ ΗΜΕΡΑΣ Λ'

Ἡ Σελήνη ἔχει ΚΘ'

				Ἀκολουθία Πρωινή		Ἀκολουθία Ἑσπερινή	
				Ἀνάγνωσμα Α'	Ἀνάγνωσμα Β'	Ἀνάγνωσμα Α'	Ἀνάγνωσμα Β'
α'	D	Kalend.	**Τῶν Ἁγίων Πάντων.**				
β'	E	4. No.		Σοφ. Σαλ. Θ'	β' Τιμ. Γ'	Σοφ. Σαλ. ΙΑ' ἕως	Λουκ. ΚΒ' ἕως 31
γ'	F	3. No.		ΙΑ' 15 ἕως ΙΒ' 3	Δ'	ΙΖ' [15	ΚΒ' 31 ἕως 54
δ'	G	pr. No.		Σοφ. Σειρ. Α' ἕως	Τίτ. Α'	Σοφ. Σειρ. Β'	ΚΒ' στ. 54
ε'	A	Nonae		Γ' 17 ἕως 30 [14	Β'	Δ' στ. 10	ΚΓ' ἕως στ. 26
ϛ'	B	8. Id.	Λεονάρδου Ὁμολογ.	Ε'	Γ'	Ζ' στ. 27	ΚΓ' 26 ἕως 50
ζ'	C	7. Id.		Ι' στ. 18	πρὸς Φιλήμονα	ΙΔ' ἕως στ. 20	ΚΓ' 50 ἕως ΚΔ'
η'	D	6. Id.		ΙΕ' στ. 9	Ἑβρ. Α'	Ιϛ' στ. 17	ΚΔ' στ. 13 [13
θ'	E	5. Id.		ΙΗ' ἕως στ. 15	Β' καὶ Γ' ἕως 7	ΙΗ' στ. 15	Ἰωάν. Α' ἕως 29
ι'	F	4. Id.		ΙΘ' στ. 13	Γ' 7 ἕως Δ' 14	ΚΒ' 6 ἕως στ. 24	Α' στ. 29
ια'	G	3. Id.	Τοῦ ἁγ. Ἐπ. καὶ Ὁμολ. Μαρ-	ΚΔ' ἕως στ. 24	Δ' στ. 14 καὶ Ε'	ΚΔ' στ. 24	Β'
ιβ'	A	pr. Id.	[τίνου.	ΛΓ' 7 ἕως στ. 23	ϛ'	ΛΔ' στ. 15	Γ' ἕως στ. 22
ιγ'	B	Idus	Βριτίου Ἐπισκόπου.	ΛΕ'	Ζ'	ΛΖ' 8 ἕως στ. 19	Γ' στ. 22
ιδ'	C	18. Kl. Dec.		ΛΘ' ἕως στ. 13	Η'	ΛΘ' στ. 13	Δ' ἕως στ. 31
ιε'	D	17. Kl.	Μαχούτου Ἐπισκόπου.	ΜΑ' ἕως στ. 14	Θ'	ΜΒ' στ. 15	Δ' στ. 31
ιϛ'	E	16. Kl.		ΜΔ' ἕως στ. 16	Ι' ἕως στ. 19	Ν' ἕως στ. 25	Ε' ἕως στ. 24
ιζ'	F	15. Kl.	Οὕγωνος Ἐπ. Λιγκολνίας.	ΝΑ' στ. 10	Ι' στ. 19	Βαροὺχ Δ' ἕως 21	Ε' στ. 24
ιη'	G	14. Kl.		Βαροὺχ Δ' 36 καὶ	ΙΑ' ἕως στ. 17	Ἠσαΐου Α' ἕως 21	ϛ' ἕως στ. 22
ιθ'	A	13. Kl.		Ἠσαΐου Α' 21 [Ε'	ΙΑ' στ. 17	Β'	ϛ' 22 ἕως στ. 41
κ'	B	12. Kl.	Ἐδμούνδου Βασ. καὶ Μάρτ.	Γ' ἕως στ. 16	ΙΒ'	Δ' στ. 2	ϛ' στ. 41
κα'	C	11. Kl.		Ε' ἕως στ. 18	ΙΓ'	Ε' στ. 18	Ζ' ἕως στ. 25
κβ'	D	10. Kl.	Καικιλίας Παρθ. καὶ Μάρτ.	ϛ'	Ἰακώβ. Α'	Ζ' ἕως στ. 17	Ζ' στ. 25
κγ'	E	9. Kl.	Τοῦ ἁγίου Κλήμεντος Ἐπ. α'	Η' 5 ἕως στ. 18	Β'	Η' 18 ἕως Θ' στ. 8	Η' ἕως στ. 31
κδ'	F	8. Kl.	[Ῥωμ. καὶ Μάρτ.	Θ' 8 ἕως Ι' στ. 5	Γ'	Ι' 5 ἕως στ. 20	Η' στ. 31
κε'	G	7. Kl.	Αἰκατερίνης Παρθ. καὶ Μάρτ.	Ι' στ. 20	Δ'	ΙΑ' ἕως στ. 10	Θ' ἕως στ. 39
κϛ'	A	6. Kl.		ΙΑ' στ. 10	Ε'	ΙΒ'	Θ' 39 ἕως Ι' 22
κζ'	B	5. Kl.		ΙΓ'	α' Πέτρ. Α' ἕως 22	ΙΔ' ἕως στ. 24	Ι' στ. 22
κη'	C	4. Kl.		ΙΖ'	Α' 22 ἕως Β' 11	ΙΗ'	ΙΑ' ἕως στ. 17
κθ'	D	3. Kl.	Νηστεία.	ΙΘ' ἕως στ. 16	Β' 11 ἕως Γ' στ. 8	ΙΘ' στ. 16	ΙΑ' 17 ἕως στ. 47
λ'	E	pr. Kl.	**Τοῦ ἁγίου Ἀποστ. καὶ Μάρτ. Ἀνδρέου.**				

Ο ΔΕΚΕΜΒΡΙΟΣ ΜΗΝ ΕΧΕΙ ΗΜΕΡΑΣ ΛΑ΄

Ἡ Σελήνη ἔχει Λ΄

				Ἀκολουθία Πρωινή		Ἀκολουθία Ἑσπερινή	
				Ἀνάγνωσμα Α΄	Ἀνάγνωσμα Β΄	Ἀνάγνωσμα Α΄	Ἀνάγνωσμα Β΄
α΄	F	Kalend.		Ἡσαΐου ΚΑ΄ ἕως	α΄ Πέτρ. Γ΄ 8 ἕως	Ἡσαΐου ΚΒ΄ ἕως	Ἰωάν. ΙΑ΄ 47 ἕως
β΄	G	4. No.		ΚΒ΄ στ. 15 [13	Δ΄ στ. 7 [Δ΄ 7	ΚΓ΄ [13	ΙΒ΄ 20 [ΙΒ΄ 20
γ΄	A	3. No.		ΚΔ΄	Ε΄	ΚΕ΄	ΙΓ΄ ἕως στ. 21
δ΄	B	pr. No.		Κϛ΄ ἕως στ. 20	β΄ Πέτρ. Α΄	Κϛ΄ 20 καὶ ΚΖ΄	ΙΓ΄ στ. 21
ε΄	C	Nonae	[Λυκίας.	ΚΗ΄ ἕως στ. 14	Β΄	ΚΗ΄ στ. 14	ΙΔ΄
ϛ΄	D	8. Id.	Νικολάου Ἐπ. Μύρων τῆς	ΚΘ΄ ἕως στ. 9	Γ΄	ΚΘ΄ στ. 9	ΙΕ΄
ζ΄	E	7. Id.		Λ΄ ἕως στ. 18	α΄ Ἰωάν. Α΄	Λ΄ στ. 18	Ιϛ΄ ἕως στ. 16
η΄	F	6. Id.	Σύλληψις τῆς μακ. Παρθένου	ΛΑ΄	Β΄ ἕως στ. 15	ΛΒ΄	Ιϛ΄ στ. 16
θ΄	G	5. Id.	[Μαρίας.	ΛΓ΄	Β΄ στ. 15	ΛΔ΄	ΙΖ΄
ι΄	A	4. Id.		ΛΕ΄	Γ΄ ἕως στ. 16	Μ΄ ἕως στ. 12	ΙΗ΄ ἕως στ. 28
ια΄	B	3. Id.		Μ΄ στ. 12	Γ΄ 16 ἕως Δ΄ στ. 7	ΜΑ΄ ἕως στ. 17	ΙΗ΄ στ. 28
ιβ΄	C	pr. Id.		ΜΑ΄ στ. 17	Δ΄ στ. 7	ΜΒ΄ ἕως στ. 18	ΙΘ΄ ἕως στ. 25
ιγ΄	D	Idus	Λουκίας Παρθ. καὶ Μάρτ.	ΜΒ΄ 18 ἕως ΜΓ΄ 8	Ε΄	ΜΓ΄ στ. 8	ΙΘ΄ στ. 25
ιδ΄	E	19. Kl. Ian.		ΜΔ΄ ἕως στ. 21	β΄ Ἰωάννου	ΜΔ΄ 21 ἕως ΜΕ΄	Κ΄ ἕως στ. 19
ιε΄	F	18. Kl.		ΜΕ΄ στ. 8	γ΄ Ἰωάννου	Μϛ΄ [8	Κ΄ στ. 19
ιϛ΄	G	17. Kl.	O Sapientia.	ΜΖ΄	Ἰούδα	ΜΗ΄	ΚΑ΄
ιζ΄	A	16. Kl.		ΜΘ΄ ἕως στ. 13	Ἀποκ. Α΄	ΜΘ΄ στ. 13	Ἀποκ. Β΄ ἕως 18
ιη΄	B	15. Kl.		Ν΄	Β΄ στ. 18 ἕως Γ΄	ΝΑ΄ ἕως στ. 9	Γ΄ στ. 7
ιθ΄	C	14. Kl.		ΝΑ΄ στ. 9	Δ΄ [στ. 7	ΝΒ΄ ἕως στ. 13	Ε΄
κ΄	D	13. Kl.	Νηστεία.	ΝΒ΄ 13 καὶ ΝΓ΄	ϛ΄	ΝΔ΄	Ζ΄
κα΄	E	12. Kl.	Τοῦ ἁγίου Ἀποστ. καὶ				
κβ΄	F	11. Kl.	[Μάρτ. Θωμᾶ.	ΝΕ΄	Η΄	Νϛ΄	Ι΄
κγ΄	G	10. Kl.		ΝΖ΄	ΙΑ΄	ΝΗ΄	ΙΒ΄
κδ΄	A	9. Kl.	Νηστεία.	ΝΘ΄	ΙΔ΄	Ξ΄	ΙΕ΄
κε΄	B	8. Kl.	Τὰ Χριστούγεννα.				
κϛ΄	C	7. Kl.	Τοῦ ἁγίου Πρωτομάρτυρος Στεφάνου.				
κζ΄	D	6. Kl.	Τοῦ ἁγίου Ἀποστ. καὶ Εὐαγγ. Ἰωάννου.				
κη΄	E	5. Kl.	Τῶν Ἀθῴων Νηπίων.		Ιϛ΄		ΙΗ΄
κθ΄	F	4. Kl.		ΞΑ΄	ΙΘ΄ ἕως στ. 11	ΞΒ΄	ΙΘ΄ στ. 11
λ΄	G	3. Kl.		ΞΓ΄	Κ΄	ΞΔ΄ καὶ ΞΕ΄ ἕως	ΚΑ΄ ἕως στ. 15
λα΄	A	pr. Kl.	Σιλβέστρου Ἐπισκ. Ῥωμ.	ΞΕ΄ στ. 8	ΚΑ΄ 15 ἕως ΚΒ΄ 6	Ξϛ΄ [8	ΚΒ΄ στ. 6

ΠΙΝΑΚΕΣ ΚΑΙ ΚΑΝΟΝΙΑ

τῶν Κινητῶν καὶ Ἀκινήτων Ἑορτῶν·

Μετὰ τῶν ἡμερῶν Νηστείας καὶ Ἀποχῆς,

καθ' ὅλον τὸν ἐνιαυτόν.

ΚΑΝΟΝΙΑ τοῦ εἰδέναι πότε ἄρχονται αἱ Κινηταὶ Ἑορταί.

Ἡ Ἡμέρα τοῦ Πάσχα (ἀφ' ἧς ἐξαρτῶνται αἱ λοιπαὶ Ἑορταί) ἐστὶ πάντοτε ἡ πρώτη Κυριακὴ μετὰ τὴν πανσέληνον τὴν πίπτουσαν τὴν κα' τοῦ μηνὸς Μαρτίου ἢ τὴν ἐγγύτατα μετὰ ταύτην. Ἐὰν δὲ ἡ πανσέληνος τύχῃ ἐν Κυριακῇ, τὸ Πάσχα ἐστὶν ἡ ἑπομένη Κυριακή.

Ἡ Κυριακὴ τῆς Ἐλεύσεως τοῦ Κυρίου ἐστὶ παντότε ἡ Κυριακὴ ἡ μᾶλλον ἐγγὺς τῆς Ἑορτῆς τοῦ ἁγίου Ἀποστόλου Ἀνδρέου, εἴτε πρὸ ἢ μετὰ ταύτην συμπίπτει.

Ἡ	Septuagesima	Κυριακή ἐστι πρὸ	θ'	ἑβδομάδων τοῦ Πάσχα.
	Sexagesima		η'	
	Quinquagesima		ζ'	
	Quadragesima		ϛ'	

Ἡ	Κυριακὴ τῶν Λιτανειῶν	ἐστὶ	ἑβδομ. ε'	μετὰ τὸ Πάσχα.
	Ἡμέρα τῆς Ἀναλήψεως		ἡμέρας μ'	
	Ἡμέρα τῆς Πεντηκοστῆς		ἑβδομ. ζ'	
	Κυριακὴ τῆς ἁγίας Τριάδος		ἑβδομ. η'	

Πίναξ πασῶν τῶν τηρητέων Ἑορτῶν ἐν τῇ Ἀγγλικανῇ Ἐκκλησίᾳ

καθ' ὅλον τὸν ἐνιαυτόν.

Ἅπασαι αἱ Κυριακαὶ τοῦ ἐνιαυτοῦ.

Αἱ ἡμέραι τῶν Ἑορτῶν

- τῆς Περιτομῆς τοῦ Κυρίου ἡμῶν ΙΗΣΟΥ ΧΡΙΣΤΟΥ.
- τῶν Θεοφανείων.
- τῆς Ἐπιστροφῆς τοῦ ἁγίου Ἀποστόλου Παύλου.
- τοῦ Καθαρισμοῦ τῆς μακαρίας Παρθένου.
- τοῦ ἁγίου Ἀποστόλου Ματθίου.
- τοῦ Εὐαγγελισμοῦ τῆς μακαρίας Παρθένου.
- τοῦ ἁγίου Εὐαγγελιστοῦ Μάρκου.
- τῶν ἁγίων Ἀποστόλων Φιλίππου καὶ Ἰακώβου.
- τῆς Ἀναλήψεως τοῦ Κυρίου ἡμῶν ΙΗΣΟΥ ΧΡΙΣΤΟΥ.
- τοῦ ἁγίου Ἀποστόλου Βαρνάβα.
- τῆς Γεννήσεως τοῦ ἁγίου Ἰωάννου τοῦ Βαπτιστοῦ.
- τοῦ ἁγίου Ἀποστόλου Πέτρου.
- τοῦ ἁγίου Ἀποστόλου Ἰακώβου.
- τοῦ ἁγίου Ἀποστόλου Βαρθολομαίου.
- τοῦ ἁγίου Ἀποστόλου Ματθαίου.
- τοῦ Ἀρχαγγέλ. Μιχαὴλ καὶ τῶν Ἀγγέλων πάντων.
- τοῦ ἁγίου Εὐαγγελιστοῦ Λουκᾶ.
- τῶν ἁγίων Ἀποστόλων Σίμωνος καὶ Ἰούδα.
- τῶν Ἁγίων Πάντων.
- τοῦ ἁγίου Ἀποστόλου Ἀνδρέου.
- τοῦ ἁγίου Ἀποστόλου Θωμᾶ.
- τῆς Γεννήσεως τοῦ Κυρίου ἡμῶν.
- τοῦ ἁγίου Μάρτυρος Στεφάνου.
- τοῦ ἁγίου Εὐαγγελιστοῦ Ἰωάννου.
- τῶν Ἀθῴων Νηπίων.

Ἡ Δευτέρα καὶ ἡ Τρίτη τῆς Διακαινησίμου Ἑβδομάδος.

Ἡ Δευτέρα καὶ ἡ Τρίτη μετὰ τὴν Κυριακὴν τῆς Πεντηκοστῆς.

Πίναξ τῶν λεγομένων Ἀγρυπνιῶν, τῶν Νηστειῶν, καὶ τῶν Ἡμερῶν Ἀποχῆς
τηρητέων καθ' ὅλον τὸν ἐνιαυτόν.

Ἡ Ἀγρυπνία ἢ ἡ Παραμονὴ πρὸ
- τῆς Γεννήσεως τοῦ Κυρίου ἡμῶν.
- τοῦ Καθαρισμοῦ τῆς μακαρίας Παρθένου Μαρίας.
- τοῦ Εὐαγγελισμοῦ τῆς μακαρίας Παρθένου.
- τῆς ἡμέρας τοῦ Πάσχα.
- τῆς ἡμέρας τῆς Ἀναλήψεως.
- τῆς ἡμέρας τῆς Πεντηκοστῆς.
- τοῦ ἁγίου Ἀποστόλου Ματθίου.
- τοῦ ἁγίου Ἰωάννου τοῦ Βαπτιστοῦ.
- τοῦ ἁγίου Ἀποστόλου Πέτρου.
- τοῦ ἁγίου Ἀποστόλου Ἰακώβου.
- τοῦ ἁγίου Ἀποστόλου Βαρθολομαίου.
- τοῦ ἁγίου Ἀποστόλου Ματθαίου.
- τῶν ἁγίων Ἀποστόλων Σίμωνος καὶ Ἰούδα.
- τοῦ ἁγίου Ἀποστόλου Ἀνδρέου.
- τοῦ ἁγίου Ἀποστόλου Θωμᾶ.
- τῶν Ἁγίων Πάντων.

Σημειωτέον, ὅτι ἐάν τις τῶν Ἑορτῶν τούτων συμπέσῃ ἐν Δευτέρᾳ, ἡ Ἀγρυπνία ἢ Νηστεία τηρεῖται τῷ Σαββάτῳ, ἀλλ' οὐχὶ τῇ προτεραίᾳ Κυριακῇ.

Ἡμέραι Νηστείας ἢ Ἀποχῆς.

α′ Αἱ Τεσσαράκοντα ἡμέραι τῶν Νηστειῶν.

β′ Αἱ τῶν Τεσσάρων Καιρῶν τοῦ ἐνιαυτοῦ αἵτινες εἰσίν

ἡ Τετάρτη, ἡ Παρασκευή, καὶ τὸ Σάββατον μετὰ
- τὴν πρώτην Κυριακὴν τῶν Νηστειῶν.
- τὴν ἑορτὴν τῆς Πεντηκοστῆς.
- τὴν ιδ′ Σεπτεμβρίου.
- τὴν ιγ′ Δεκεμβρίου.

γ′ Αἱ τρεῖς ἡμέραι τῶν Λιτανειῶν, αἵτινες εἰσὶν ἡ Δευτέρα, ἡ Τρίτη, καὶ ἡ Τετάρτη πρὸ τῆς Ἁγίας Πέμπτης ἤτοι τῆς Ἀναλήψεως τοῦ Κυρίου ἡμῶν.

δ′ Ἅπασαι αἱ Παρασκευαὶ τοῦ ἐνιαυτοῦ, ἐκτὸς ἂν συμπέσῃ ἡ ἑορτὴ τῶν Χριστουγέννων.

Πανηγυρική τις ἡμέρα, καθ' ἣν ἰδιαιτέρα Ἀκολουθία ἐστὶ διατεταγμένη.

Ἡ ϛ′ τοῦ μηνὸς Μαΐου, ἥτις ἐστὶν ἡ ἡμέρα καθ' ἣν ἡ Αὐτοῦ Μεγαλειότης κατήρξατο τῆς αἰσίας αὐτοῦ Βασιλείας.

ΠΑΣΧΑΛΙΟΝ ΤΕΣΣΑΡΑΚΟΝΤΑ ΕΤΩΝ.

Σωτήριον ἔτος	Ὁ Χρυσοῦς Ἀριθμός	Ἡ Ἐπακτή	Τὸ Γράμμα τῶν Κυριακῶν	Κυριακαὶ μετὰ τα Θεοφάνεια	Ἡ Septuagesima Κυριακή	Ἡ α' ἡμέρα τῶν Νηστειῶν	Ἡ Κυριακὴ τοῦ Πάσχα	Ἡ Κυριακὴ τῶν Λιτανειῶν	Ἡ Πέμπτη τῆς Ἀναλήψεως	Ἡ Κυριακὴ τῆς Πεντηκοστῆς	Κυριακαὶ μετὰ τὴν τῆς Τριάδος	Ἡ Κυριακὴ τῆς Ἐλεύσεως τοῦ Κυρίου
1910	11	19	B	β'	Ἰαν. κγ'	Φεβ. θ'	Μαρ. κζ'	Μαΐ. α'	Μαΐ. ε'	Μαΐ. ιε'	κϛ'	Νοεμ. κζ'
1911	12	0	A	ε'	Φεβ. ιβ'	Μαρ. α'	Ἀπρ. ιϛ'	κα'	κε'	Ἰουν. δ'	κδ'	Δεκ. γ'
1912	13	11	GF	δ'	δ'	Φεβ. κα'	ζ'	ιβ'	ιϛ'	Μαΐ. κϛ'	κε'	α'
1913	14	22	E	α'	Ἰαν. ιθ'	ε'	Μαρ. κγ'	Ἀπρ. κζ'	α'	ια'	κζ'	Νοεμ. λ'
1914	15	3	D	δ'	Φεβ. η'	κε'	Ἀπρ. ιβ'	Μαΐ. ιζ'	κα'	λα'	κδ'	κθ'
1915	16	14	C	γ'	Ἰαν. λα'	ιζ'	δ'	θ'	ιγ'	κγ'	κε'	κη'
1916	17	26	BA	ϛ'	Φεβ. κ'	Μαρ. η'	κγ'	κη'	Ἰουν. α'	Ἰουν. ια	κγ'	Δεκ. γ'
1917	18	6	G	δ'	δ'	Φεβ. κα'	η'	ιγ'	Μαΐ. ιζ'	Μαΐ. κζ'	κε'	β'
1918	19	17	F	β'	Ἰαν. κζ'	ιγ'	Μαρ. λα'	ε'	θ'	ιθ'	κϛ'	α'
1919	1	29	E	ε'	Φεβ. ιϛ'	Μαρ. ε'	Ἀπρ. κ'	κε'	κθ'	Ἰουν. η'	κγ'	Νοεμ. λ'
1920	2	10	DC	γ'	α'	Φεβ. ιη'	δ'	θ'	ιγ'	Μαΐ. κγ'	κε'	κη'
1921	3	21	B	β'	Ἰαν. κγ'	θ	Μαρ. κζ'	α'	ε'	ιε'	κϛ'	κζ'
1922	4	2	A	ε'	Φεβ. ιβ	Μαρ. α'	Ἀπρ. ιϛ'	κα'	κε'	Ἰουν. δ'	κδ'	Δεκ. γ'
1923	5	13	G	γ'	Ἰαν. κη'	Φεβ. ιδ'	α'	ϛ'	ι'	Μαΐ. κ'	κϛ'	β'
1924	6	24	FE	ε'	Φεβ. ιζ'	Μαρ. ε'	κ'	κε'	κθ'	Ἰουν. η'	κγ'	Νοεμ. λ'
1925	7	5	D	δ'	η'	Φεβ. κε'	ιβ'	ιζ'	κα'	Μαΐ. λα'	κδ'	κθ'
1926	8	16	C	γ'	Ἰαν. λα'	ιζ'	δ'	θ'	ιγ'	κγ'	κε'	κη'
1927	9	27	B	ε'	Φεβ. ιγ'	Μαρ. β'	ιζ'	κβ'	κϛ'	Ἰουν. ε'	κγ'	κζ'
1928	10	8	AG	δ'	ε'	Φεβ. κβ'	η'	ιγ'	ιζ'	Μαΐ. κζ'	κε'	Δεκ. β'
1929	11	19	F	β'	Ἰαν. κζ'	ιγ'	Μαρ. λα'	ε'	θ'	ιθ'	κϛ'	α'
1930	12	0	E	ε'	Φεβ. ιϛ'	Μαρ. ε'	Ἀπρ. κ'	κε'	κθ'	Ἰουν. η'	κγ'	Νοεμ. λ'
1931	13	11	D	γ'	α'	Φεβ. ιη'	ε'	ι'	ιδ'	Μαΐ. κδ'	κε'	κθ'
1932	14	22	CB	β'	Ἰαν. κδ'	ι'	Μαρ. κζ'	α'	ε'	ιε'	κϛ'	κζ
1933	15	3	A	ε'	Φεβ. ιβ'	Μαρ. α'	Ἀπρ. ιϛ'	κα'	κε'	Ἰουν. δ'	κδ'	Δεκ. γ'
1934	16	14	G	γ'	Ἰαν. κη'	Φεβ. ιδ'	α'	ϛ'	ι'	Μαΐ. κ'	κϛ'	β'
1935	17	26	F	ε'	Φεβ. ιζ'	Μαρ. ϛ'	κα'	κϛ'	λ'	Ἰουν. θ'	κγ'	α'
1936	18	6	ED	δ	θ'	Φεβ. κϛ'	ιβ'	ιζ'	κα'	Μαΐ. λα'	κδ'	Νοεμ. κθ'
1937	19	17	C	β'	Ἰαν. κδ'	ι'	Μαρ. κη'	β'	ϛ'	ιϛ'	κϛ'	κη'
1938	1	29	B	ε'	Φεβ. ιγ'	Μαρ. β'	Ἀπρ. ιζ'	κβ'	κϛ'	Ἰουν. ε'	κγ'	κζ'
1939	2	10	A	δ'	ε'	Φεβ. κβ'	θ'	ιδ'	ιη'	Μαΐ. κη'	κε'	Δεκ. γ'
1940	3	21	GF	β'	Ἰαν. κα'	ζ'	Μαρ. κδ'	Ἀπρ. κη'	β'	ιβ'	κζ'	α'
1941	4	2	E	δ'	Φεβ. θ'	κϛ'	Ἀπρ. ιγ'	Μαΐ. ιη'	κβ'	Ἰουν. α'	κδ'	Νοεμ. λ'
1942	5	13	D	γ'	α'	ιη'	ε'	ι'	ιδ'	Μαΐ. κδ'	κε'	κθ'
1943	6	24	C	ϛ'	κα'	Μαρ. ι'	κε'	λ'	Ἰουν. γ'	Ἰουν. ιγ'	κβ'	κη'
1944	7	5	BA	δ'	ϛ'	Φεβ. κγ'	θ'	ιδ'	Μαΐ. ιη'	Μαΐ. κη'	κε'	Δεκ. γ'
1945	8	16	G	γ'	Ἰαν. κη'	ιδ'	α'	ϛ'	ι'	κ'	κϛ'	β'
1946	9	27	F	ε'	Φεβ. ιζ'	Μαρ. ϛ'	κα'	κϛ'	λ'	Ἰουν. θ'	κγ'	α'
1947	10	8	E	γ'	β'	Φεβ. ιθ'	ϛ'	ια'	ιε'	Μαΐ. κε'	κε'	Νοεμ. λ'
1948	11	19	DC	β'	Ἰαν. κε'	ια'	Μαρ. κη'	β'	ϛ'	ιϛ'	κϛ'	κη'
1949	12	0	B	ε'	Φεβ. ιγ'	Μαο. β'	Ἀπρ. ιζ'	κβ'	κϛ'	Ἰουν. ε'	κγ'	κζ'

ΑΚΟΛΟΥΘΙΑ

ΠΡΩΙΝΗΣ ΚΑΙ ΕΣΠΕΡΙΝΗΣ ΠΡΟΣΕΥΧΗΣ

ΛΕΓΟΜΕΝΗ ΚΑΙ ΤΕΛΟΥΜΕΝΗ ΚΑΘ' ΕΚΑΣΤΗΝ ΗΜΕΡΑΝ ΤΟΥ ΕΝΙΑΥΤΟΥ

Ἡ Πρωινὴ καὶ ἡ Ἑσπερινὴ Ἀκολουθία τελεῖται ἐν τῷ συνήθει τόπῳ τῆς Ἐκκλησίας ἢ τοῦ Παρεκκλησίου ἢ τοῦ Ἁγιαστηρίου· ἐκτὸς ἂν ἄλλως διαταχθῇ παρὰ τοῦ Ὀρδιναρίου τῆς χώρας. Καὶ τὰ Ἁγιαστήρια διατελέσουσιν καθὼς ἐν τοῖς παρῳχημένοις ἐτύγχανον χρόνοις.

Καὶ ὧδε σημειωτέον, ὅτι ἡ Συσκευὴ τῆς Ἐκκλησίας καὶ τῶν Λειτουργῶν αὐτῆς ἐν παντὶ καιρῷ τῆς Λειτουργίας αὐτῶν, διατηρηθήσεται καὶ ἐν χρήσει ἔσται, ἥτις ὑπῆρχεν ἐν ταύτῃ τῇ Ἐκκλησίᾳ τῆς Ἀγγλίας κατὰ τὴν ἐξουσίαν τοῦ Παρλαμέντου, ἐν τῷ δευτέρῳ ἔτει τῆς Βασιλείας τοῦ Βασιλέως Ἐδουάρδου τοῦ Ἕκτου.

ΑΚΟΛΟΥΘΙΑ

ΠΡΩΙΝΗΣ ΠΡΟΣΕΥΧΗΣ

ΚΑΘ' ΕΚΑΣΤΗΝ ΗΜΕΡΑΝ ΤΟΥ ΕΝΙΑΥΤΟΥ

¶ *Ἐν ἀρχῇ τῆς Πρωινῆς Ἀκολουθίας ὁ Λειτουργὸς ἀναγινώσκει ἐκφώνως ἓν ἢ πλείω τῶν ἐφεξῆς χωρίων τῆς Γραφῆς. Εἶτα λέγει τὸ μετὰ τὰ δηλωθέντα χωρία ἑπόμενον.*

ἘΝ τῷ ἀποστρέψαι ἄνομον ἀπὸ τῆς ἀνομίας αὐτοῦ ἧς ἐποίησε, καὶ ποιήσει κρῖμα καὶ δικαιοσύνην, οὗτος τὴν ψυχὴν αὐτοῦ ἐφύλαξε. — Ἰεζεκ. ιη´ 27.

Τὴν ἀνομίαν μου ἐγὼ γινώσκω, καὶ ἡ ἁμαρτία μου ἐνώπιόν μού ἐστι διαπαντός. — Ψαλ. ν´ 3.

Ἀπόστρεψον τὸ πρόσωπόν σου ἀπὸ τῶν ἁμαρτιῶν μου, καὶ πάσας τὰς ἀνομίας μου ἐξάλειψον. — Ψαλ. ν´ 9.

Θυσία τῷ Θεῷ πνεῦμα συντετριμμένον· καρδίαν συντετριμμένην καὶ τεταπεινωμένην ὁ Θεὸς οὐκ ἐξουδενώσει. — Ψαλ. ν´ 17.

Διαρρήξατε τὰς καρδίας ὑμῶν, καὶ μὴ τὰ ἱμάτια ὑμῶν, καὶ ἐπιστράφητε πρὸς Κύριον τὸν Θεὸν ὑμῶν· ὅτι ἐλεήμων καὶ οἰκτίρμων ἐστί, μακρόθυμος, καὶ πολυέλεος, καὶ μετανοῶν ἐπὶ ταῖς κακίαις. — Ἰωὴλ β´ 13.

Τῷ Κυρίῳ ἡ δικαιοσύνη, καὶ τὸ ἔλεος, ὅτι ἀπέστημεν ἀπ' αὐτοῦ· καὶ οὐκ ἠκούσαμεν τῆς φωνῆς Κυρίου τοῦ Θεοῦ ἡμῶν, κατακολουθῆσαι τῷ νόμῳ αὐτοῦ, ᾧ ἔδωκεν ἐνώπιον ἡμῶν. — Δαν. θ´ 9, 10.

Παίδευσόν με, Κύριε, πλὴν ἐν κρίσει· μὴ ἐν θυμῷ σου, ἵνα μὴ ὀλίγον με ποιήσῃς. — Ἱερ. ι´ 24. Ψαλ. ϛ´ 1.

Μετανοεῖτε· ἤγγικε γὰρ ἡ Βασιλεία τῶν Οὐρανῶν. — Ματθ. γ´ 2.

Ἀναστὰς πορεύσομαι πρὸς τὸν Πατέρα μου, καὶ ἐρῶ αὐτῷ· Πάτερ, ἥμαρτον εἰς τὸν Οὐρανόν, καὶ ἐνώπιόν σου, καὶ οὐκέτι εἰμὶ ἄξιος κληθῆναι υἱός σου. — Λουκ. ιε´ 18, 19.

Η ΠΡΩΙΝΗ ΑΚΟΛΟΥΘΙΑ

Ψαλ. ρμβ΄ 2. Μὴ εἰσέλθῃς εἰς κρίσιν μετὰ τοῦ δούλου σου, Κύριε· ὅτι οὐ δικαιωθήσεται ἐνώπιόν σου πᾶς ζῶν.

α΄ Ἰωάν. α΄ 8, 9. Ἐὰν εἴπωμεν, ὅτι ἁμαρτίαν οὐκ ἔχομεν, ἑαυτοὺς πλανῶμεν, καὶ ἡ ἀλήθεια οὐκ ἔστιν ἐν ἡμῖν. Ἐὰν ὁμολογῶμεν τὰς ἁμαρτίας ἡμῶν, πιστός ἐστι καὶ δίκαιος ἵνα ἀφῇ ἡμῖν τας ἁμαρτίας, καὶ καθαρίσῃ ἡμᾶς ἀπὸ πάσης ἀδικίας.

Ἀδελφοὶ ἀγαπητοί, ἐν πολλοῖς χωρίοις παρακαλεῖ ἡμᾶς ἡ Γραφὴ ἵνα ὁμολογήσωμεν, καὶ ἐξαγορεύσωμεν τὰς πολυειδεῖς ἡμῶν ἁμαρτίας καὶ κακίας, καὶ μὴ ἀποκρυψώμεθα μηδὲ καλύψωμεν αὐτὰς ἐνώπιον τοῦ Παντοκράτορος Θεοῦ τοῦ ἐπουρανίου Πατρὸς ἡμῶν, ἀλλ' ἐν καρδίᾳ ταπεινῇ, πρᾳείᾳ, μετανοούσῃ, καὶ ὑπηκόῳ ἐξαγορεύσωμεν αὐτάς, εἰς τὸ τυχεῖν τῆς ἀφέσεως αὐτῶν διὰ τῆς ἀπείρου αὐτοῦ ἀγαθότητος καὶ εὐσπλαγχνίας. Εἰ δὲ καὶ ἐν παντὶ καιρῷ δεῖ ἡμᾶς τὰς ἁμαρτίας ἡμῶν ταπεινοφρόνως ὁμολογῆσαι ἐνώπιον τοῦ Θεοῦ, ἀλλὰ πρὸ πάντων τοῦτο δεῖ ἡμᾶς ποιῆσαι, ὅταν συνερχώμεθα ἐπὶ τὸ αὐτό, καὶ συναγώμεθα, εἰς τὸ εὐχαριστῆσαι ὑπὲρ τῶν μεγάλων εὐεργεσιῶν τῶν παρ' αὐτοῦ ἀποληφθεισῶν, καὶ τὸ ἐξαγγεῖλαι αὐτοῦ τὴν ἀξιοπρεπεστάτην αἴνεσιν, καὶ τὸ ἀκοῦσαι τὸν πανάγιον λόγον αὐτοῦ, καὶ τὸ αἰτήσασθαι τὰ συμφέροντα καὶ ἀναγκαῖα σώματί τε καὶ ψυχῇ. Διὸ παρακαλῶ ὑμᾶς καὶ ἱκετεύω, τοὺς περιεστῶτας, ἵνα μετὰ καθαρᾶς καρδίας καὶ ταπεινῆς φωνῆς προσέλθητε σὺν ἐμοὶ τῷ θρόνῳ τῆς οὐρανίου χάριτος, ἐπαναλέγοντες μετ' ἐμέ.

¶ *Ἐξομολόγησις γενικὴ ἀπαγγελλομένη μετὰ τὸν Λειτουργὸν ὑπὸ παντὸς τοῦ Ἐκκλησιάσματος, πάντων γονυκλινόντων.*

Παντοκράτορ καὶ πολυέλεε Πάτερ, Ἐπλανήθημεν, καὶ παρεξετράπημεν τῶν ὁδῶν σου ὡσεὶ πρόβατα ἀπολωλότα. Ἠκολουθήσαμεν καθ' ὑπερβολὴν ταῖς ἐπινοίαις καὶ ἐπιθυμίαις τῶν καρδιῶν ἡμῶν. Παρέβημεν τὰς ἁγίας ἐντολάς σου. Οὐκ ἐποιήσαμεν ἃ ἔδει ποιῆσαι· Καὶ ἐποιήσαμεν

ἃ οὐκ ἔδει ποιῆσαι· Καὶ ἐν ἡμῖν οὐκ ἔστι σωτηρία. Ἀλλὰ σύ, Κύριε, ἐλέησον ἡμᾶς, τοὺς ἀθλίους ἁμαρτωλούς. Φεῖσαι, ὁ Θεός, τῶν τὰ οἰκεῖα πταίσματα ἐξομολογουμένων. Κατάρτισον τοὺς μετανοοῦντας· Κατὰ τὰς ἐπαγγελίας σου τὰς ἐξαγγελθείσας τῷ γένει τῶν ἀνθρώπων ἐν Χριστῷ Ἰησοῦ τῷ Κυρίῳ ἡμῶν. Καὶ δι' αὐτὸν παράσχου, πολυέλεε Πάτερ· Ἵνα τοῦ λοιποῦ εὐσεβῶς, δικαίως, καὶ σωφρόνως ζήσωμεν, Εἰς δόξαν τοῦ ἁγίου σου Ὀνόματος. Ἀμήν.

¶ *Ἄφεσις ἁμαρτιῶν ἀπαγγελλομένη ὑπὸ μόνου τοῦ Ἱερέως, ἑστῶτος, γονυκλίνοντος ἔτι τοῦ λαοῦ.*

ὉΘεὸς ὁ Παντοκράτωρ, ὁ Πατὴρ τοῦ Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ, ὁ μὴ θέλων τὸν θάνατον τοῦ ἁμαρτωλοῦ, ὡς τὸ ἀποστρέψαι αὐτὸν ἐκ τῆς πονηρίας, καὶ ζῆν αὐτόν· ὁ καὶ τοῖς Λειτουργοῖς αὐτοῦ ἐξουσίαν δοὺς καὶ ἐντειλάμενος ἵνα τῷ λαῷ αὐτοῦ μετανοοῦντι, τὴν συγχώρησιν καὶ ἄφεσιν τῶν ἁμαρτιῶν αὐτῶν διακηρύξωσι καὶ ἀπαγγείλωσιν· Αὐτὸς συγχωρεῖ καὶ ἀφίησι τὰς ἁμαρτίας πάντων τῶν ἀληθῶς μετανοούντων, καὶ τῷ ἁγίῳ αὐτοῦ Εὐαγγελίῳ εἰλικρινῶς πιστευόντων. Διὸ δεηθῶμεν αὐτοῦ ἵνα χαρίσηται ἡμῖν ἀληθινὴν μετάνοιαν, καὶ τὸ ἅγιον αὐτοῦ Πνεῦμα, ἵνα πάντα ὅσα πράττομεν ἐν τῷ παρόντι, εὐαρεστῶσιν αὐτῷ, καὶ ἵνα ὁ λοιπὸς ἡμῶν βίος εἰς τὸ ἑξῆς ἁγνὸς καὶ ἅγιος ᾖ, ὥστε ἐν τέλει εἰς τὴν αἰωνίαν αὐτοῦ καταντήσωμεν εὐφροσύνην, διὰ Ἰησοῦ Χριστοῦ τοῦ Κυρίου ἡμῶν.

¶ *Ἐνταῦθα, καὶ κατὰ τὸ τέλος πάσης ἄλλης προσευχῆς, ὁ λαὸς ἀποκρίνεται,*

Ἀμήν.

¶ *Εἶτα γονυκλίνας ὁ Λειτουργὸς λέγει ἐκφώνως τὴν Κυριακὴν Προσευχήν· γονυκλίνοντος καὶ τοῦ λαοῦ, καὶ μετ' αὐτοῦ λέγοντος αὐτήν, ἐνταῦθά τε καὶ ὁσάκις ἂν αὐτὴ λέγηται κατὰ τὴν Θείαν Ἀκολουθίαν.*

ΠΑτερ ἡμῶν, ὁ ἐν τοῖς οὐρανοῖς, Ἁγιασθήτω τὸ Ὄνομά σου. Ἐλθέτω ἡ Βασιλεία σου. Γενηθήτω τὸ θέλημά

σου, ὡς ἐν οὐρανῷ, καὶ ἐπὶ τῆς γῆς. Τὸν ἄρτον ἡμῶν τὸν ἐπιούσιον δὸς ἡμῖν σήμερον. Καὶ ἄφες ἡμῖν τὰ ὀφειλήματα ἡμῶν, Ὡς καὶ ἡμεῖς ἀφίεμεν τοῖς ὀφειλέταις ἡμῶν. Καὶ μὴ εἰσενέγκῃς ἡμᾶς εἰς πειρασμόν· Ἀλλὰ ῥῦσαι ἡμᾶς ἀπὸ τοῦ πονηροῦ· Ὅτι σοῦ ἐστιν ἡ Βασιλεία, ἡ Δύναμις, καὶ ἡ δόξα, Εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

¶ Εἶτα ὡσαύτως λέγει,

Κύριε, τὰ χείλη ἡμῶν ἄνοιξον.

Ἀπόκρισις.

Καὶ τὸ στόμα ἡμῶν ἀναγγελεῖ τὴν αἴνεσίν σου.

Ὁ Ἱερεύς.

Ὁ Θεός, εἰς τὴν βοήθειαν ἡμῶν πρόσχες.

Ἀπόκρισις.

Κύριε, εἰς τὸ βοηθῆσαι ἡμῖν σπεῦσον.

¶ Ἐνταῦθα, πάντων ἀνισταμένων, ὁ Ἱερεὺς λέγει,

Δόξα τῷ Πατρί, καὶ τῷ Υἱῷ: καὶ τῷ Ἁγίῳ Πνεύματι.

Ἀπόκρισις.

Ὥσπερ ἐν ἀρχῇ, καὶ νῦν, καὶ ἀεί: καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

Ὁ Ἱερεύς.

Αἰνεῖτε τὸν Κύριον.

Ἀπόκρισις.

Εἴη τὸ ὄνομα Κυρίου εὐλογημένον.

¶ Ἔπειτα ἀναγινώσκεται ἢ ψάλλεται οὗτος ὁ ἐφεξῆς Ψαλμός· Ἐκτὸς τῇ Κυριακῇ τοῦ Πάσχα, ἐν ᾗ ἕτερον ἐνδιατέτακται Ἀντίφωνον· καὶ τῇ ἐννεακαιδεκάτῃ ἑκάστου μηνὸς οὐκ ἐνταῦθα δεῖ αὐτὸν ἀναγινώσκειν, ἀλλ' ἐν τῇ συνήθει τάξει τῶν Ψαλμῶν.

Venite exultemus Domino. Ψαλ. ϙδ'

ΔΕῦτε, ἀγαλλιασώμεθα τῷ Κυρίῳ: ἀλαλάξωμεν τῷ Θεῷ τῷ σωτῆρι ἡμῶν.

Προφθάσωμεν τὸ πρόσωπον αὐτοῦ ἐν ἐξομολογήσει: καὶ ἐν Ψαλμοῖς ἀλαλάξωμεν αὐτῷ.

Ὅτι Θεὸς μέγας Κύριος : καὶ Βασιλεὺς μέγας ἐπὶ πάντας τοὺς θεούς.

Ὅτι ἐν τῇ χειρὶ αὐτοῦ τὰ πέρατα τῆς γῆς : καὶ τὰ ὕψη τῶν ὀρέων αὐτοῦ ἐστιν·

Ὅτι αὐτοῦ ἐστιν ἡ θάλασσα, καὶ αὐτὸς ἐποίησεν αὐτήν : καὶ τὴν ξηρὰν αἱ χεῖρες αὐτοῦ ἔπλασαν.

Δεῦτε, προσκυνήσωμεν, καὶ προσπέσωμεν αὐτῷ : καὶ κλαύσωμεν ἐναντίον Κυρίου τοῦ ποιήσαντος ἡμᾶς.

Ὅτι αὐτός ἐστιν Κύριος ὁ Θεὸς ἡμῶν : καὶ ἡμεῖς λαὸς νομῆς αὐτοῦ, καὶ πρόβατα χειρὸς αὐτοῦ.

Σήμερον ἐὰν τῆς φωνῆς αὐτοῦ ἀκούσητε, μὴ σκληρύνητε τὰς καρδίας ὑμῶν : ὡς ἐν τῷ παραπικρασμῷ, κατὰ τὴν ἡμέραν τοῦ πειρασμοῦ ἐν τῇ ἐρήμῳ·

Οὗ ἐπείρασαν οἱ πατέρες ὑμῶν : ἐδοκίμασαν, καὶ ἴδοσαν τὰ ἔργα μου.

Τεσσαράκοντα ἔτη προσώχθισα τῇ γενεᾷ ἐκείνῃ, καὶ εἶπα : Ἀεὶ πλανῶνται τῇ καρδίᾳ, καὶ αὐτοὶ οὐκ ἔγνωσαν τὰς ὁδούς μου.

Ὡς ὤμοσα ἐν τῇ ὀργῇ μου : εἰ εἰσελεύσονται εἰς τὴν κατάπαυσίν μου.

Δόξα τῷ Πατρί, καὶ τῷ Υἱῷ : καὶ τῷ Ἁγίῳ Πνεύματι.

Ὥσπερ ἐν ἀρχῇ, καὶ νῦν, καὶ ἀεί : καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

¶ Εἶτα οἱ Ψαλμοὶ κατὰ τάξιν καθὼς διατεταγμένοι εἰσίν. Καὶ ἐν τέλει ἑνὸς ἑκάστου Ψαλμοῦ καθ' ὅλον τὸν ἐνιαυτόν, καὶ ὡσαύτως ἐν τέλει τοῦ Benedicite, τοῦ Benedictus, τοῦ Magnificat, καὶ τοῦ Nunc dimittis, ἐπισυνάπτεται τοῦτο,

Δόξα τῷ Πατρὶ καὶ τῷ Υἱῷ : καὶ τῷ Ἁγίῳ Πνεύματι.

Ἀπόκρισις.

Ὥσπερ ἐν ἀρχῇ, καὶ νῦν, καὶ ἀεί : καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

¶ Εἶτα ἀναγινώσκεται ἐκφώνως καὶ εὐκρινῶς τὸ Πρῶτον Ἀνάγνωσμα, ἐκ τῆς Παλαιᾶς Διαθήκης, καθὼς ἐν τῷ Καλενδαρίῳ ἐνδιατέτακται.

Ἐκτὸς ἂν ὁρισθῶσιν ἰδιαίτερα τῇ ἡμέρᾳ Ἀναγνώσματα. Ἱσταμένου τοῦ ἀναγινώσκοντος ἐστραμμένου οὕτως, ὥστε μάλιστα ἐξακούεσθαι πᾶσι τοῖς παροῦσι. Καὶ μετὰ τοῦτο, ἀναγινώσκεται ἢ ψάλλεται ὁ Ὕμνος ὁ καλούμενος Te Deum laudamus, *καθ' ἑκάστην ἡμέραν τοῦ ὅλου ἐνιαυτοῦ.*

¶ *Ἰστέον ὅτι πρὸ ἑνὸς ἑκάστου Ἀναγνώσματος ὁ Λειτουργὸς λέγει, Ἄρχεται τὸ δεῖνα Κεφάλαιον ἢ ὁ δεῖνα στίχος τοῦ δεῖνα κεφαλαίου τοῦ δεῖνα Βιβλίου· Καὶ μεθ' ἓν ἕκαστον Ἀνάγνωσμα, Ἐνταῦθα τελευτᾷ τὸ Πρῶτον ἢ τὸ Δεύτερον Ἀνάγνωσμα.*

Te Deum laudamus.

ΣΕ Θεὸν αἰνοῦμεν : σὲ Κύριον ὁμολογοῦμεν.

Σὲ αἰώνιον Πατέρα : πᾶσα ἡ γῆ σεβάζεται.

Σοὶ πάντες Ἄγγελοι : σοὶ οὐρανοὶ καὶ σύμπασαι Ἐξουσίαι.

Σοὶ Χερουβὶμ καὶ Σεραφίμ : ἀκαταπαύστῳ φωνῇ ἀνακράζουσιν,

Ἅγιος, Ἅγιος, Ἅγιος : Κύριε ὁ Θεὸς Σαβαώθ.

Πλήρης ὁ οὐρανὸς καὶ ἡ γῆ τῆς Μεγαλωσύνης : τῆς δόξης σου.

Σὲ ἔνδοξος : Ἀποστόλων χορός·

Σὲ Προφητῶν : αἰνετὸς ἀριθμός·

Σὲ αἰνεῖ Μαρτύρων : στρατὸς λευχείμων.

Σὲ κατὰ πᾶσαν τὴν οἰκουμένην : ἡ ἁγία ἐξομολογεῖται Ἐκκλησία·

Πατέρα : ἀπείρου Μεγαλωσύνης·

Τὸν σεβαστόν σου, ἀληθινόν : καὶ μονογενῆ Υἱόν·

Ἅγιον δὲ καὶ Παράκλητον : Πνεῦμα.

Σὺ ὁ Βασιλεὺς τῆς δόξης : Χριστέ.

Σὺ τοῦ Πατρός : αἰώνιος εἶ Υἱός.

Σὺ προσληψόμενος τοῦ ῥύσασθαι τὸν ἄνθρωπον : οὐκ ἐβδελύξω Παρθενικὴν μήτραν.

Σὺ κατανικήσας κέντρον θανάτου : ἤνοιξας πιστεύουσιν οὐρανῶν βασιλείαν.

Σὺ ἐκ δεξιῶν Θεοῦ καθεζόμενος : ἐν δόξῃ τοῦ Πατρός·

Κριτὴς πιστεύῃ : μέλλων ἔρχεσθαι.

Σὲ οὖν παρακαλοῦμεν, βοήθει τοῖς δούλοις σου : οὓς τιμίῳ αἵματι ἀπελυτρώσω.

Ποίησον αὐτοὺς συγκαταριθμηθῆναι τοῖς Ἁγίοις σου : ἐν δόξῃ αἰωνίᾳ.

Σῶσον τὸν λαόν σου, Κύριε : καὶ εὐλόγησον τὴν κληρονομίαν σου.

Ποίμανον αὐτούς : καὶ ἔπαρον αὐτοὺς ἕως τοῦ αἰῶνος.

Καθ' ἑκάστην ἡμέραν : εὐλογήσομέν σε·

Καὶ αἰνέσομεν τὸ Ὄνομά σου : εἰς τὸν αἰῶνα καὶ εἰς τὸν αἰῶνα τοῦ αἰῶνος.

Καταξίωσον, Κύριε : ἐν τῇ ἡμέρᾳ ταύτῃ ἀναμαρτήτους φυλαχθῆναι ἡμᾶς.

Ἐλέησον ἡμᾶς, Κύριε : ἐλέησον ἡμᾶς.

Γένοιτο, Κύριε, τὸ ἔλεός σου ἐφ' ἡμᾶς : καθάπερ ἠλπίσαμεν ἐπὶ σέ.

Ἐπὶ σοί, Κύριε, ἤλπισα : μὴ καταισχυνθείην εἰς τὸν αἰῶνα.

¶ Ἡ αὐτη ἡ Ὠδή, *Benedicite omnia opera.*

ΕΥλογεῖτε, πάντα τὰ Ἔργα Κυρίου, τὸν Κύριον : ὑμνεῖτε καὶ ὑπερυψοῦτε αὐτὸν εἰς τοὺς αἰῶνας.

Εὐλογεῖτε, Ἄγγελοι Κυρίου, τὸν Κύριον : ὑμνεῖτε καὶ ὑπερυψοῦτε αὐτὸν εἰς τοὺς αἰῶνας.

Εὐλογεῖτε, Οὐρανοί, τὸν Κύριον : ὑμνεῖτε καὶ ὑπερυψοῦτε αὐτὸν εἰς τοὺς αἰῶνας.

Εὐλογεῖτε, Ὕδατα πάντα τὰ ἐπάνω τοῦ οὐρανοῦ, τὸν Κύριον : ὑμνεῖτε καὶ ὑπερυψοῦτε αὐτὸν εἰς τοὺς αἰῶνας.

Εὐλογεῖτε, πᾶσαι αἱ Δυνάμεις Κυρίου, τὸν Κύριον : ὑμνεῖτε καὶ ὑπερυψοῦτε αὐτὸν εἰς τοὺς αἰῶνας.

Εὐλογεῖτε, Ἥλιος καὶ Σελήνη, τὸν Κύριον : ὑμνεῖτε καὶ ὑπερυψοῦτε αὐτὸν εἰς τοὺς αἰῶνας.

Εὐλογεῖτε, Ἄστρα τοῦ Οὐρανοῦ, τὸν Κύριον : ὑμνεῖτε καὶ ὑπερυψοῦτε αὐτὸν εἰς τοὺς αἰῶνας.

Εὐλογεῖτε, πᾶς Ὄμβρος καὶ Δρόσος, τὸν Κύριον : ὑμνεῖτε καὶ ὑπερυψοῦτε αὐτὸν εἰς τοὺς αἰῶνας.

Εὐλογεῖτε, πάντα τὰ Πνεύματα, τὸν Κύριον : ὑμνεῖτε καὶ ὑπερυψοῦτε αὐτὸν εἰς τοὺς αἰῶνας.

Εὐλογεῖτε, Πῦρ καὶ Καῦμα, τὸν Κύριον : ὑμνεῖτε καὶ ὑπερυψοῦτε αὐτὸν εἰς τοὺς αἰῶνας.

Εὐλογεῖτε, Ψῦχος καὶ Καύσων, τὸν Κύριον : ὑμνεῖτε καὶ ὑπερυψοῦτε αὐτὸν εἰς τοὺς αἰῶνας.

Εὐλογεῖτε, Δρόσοι καὶ Νιφετοί, τὸν Κύριον : ὑμνεῖτε καὶ ὑπερυψοῦτε αὐτὸν εἰς τοὺς αἰῶνας.

Εὐλογεῖτε, Πάγος καὶ Ψῦχος, τὸν Κύριον : ὑμνεῖτε καὶ ὑπερυψοῦτε αὐτὸν εἰς τοὺς αἰῶνας.

Εὐλογεῖτε, Πάχναι καὶ Χιόνες, τὸν Κύριον : ὑμνεῖτε καὶ ὑπερυψοῦτε αὐτὸν εἰς τοὺς αἰῶνας.

Εὐλογεῖτε, Νύκτες καὶ Ἡμέραι, τὸν Κύριον : ὑμνεῖτε καὶ ὑπερυψοῦτε αὐτὸν εἰς τοὺς αἰῶνας.

Εὐλογεῖτε, Φῶς καὶ Σκότος, τὸν Κύριον : ὑμνεῖτε καὶ ὑπερυψοῦτε αὐτὸν εἰς τοὺς αἰῶνας.

Εὐλογεῖτε, Ἀστραπαὶ καὶ Νεφέλαι, τὸν Κύριον : ὑμνεῖτε καὶ ὑπερυψοῦτε αὐτὸν εἰς τοὺς αἰῶνας.

Εὐλογείτω ἡ Γῆ τὸν Κύριον : ὑμνείτω καὶ ὑπερυψούτω αὐτὸν εἰς τοὺς αἰῶνας.

Εὐλογεῖτε, Ὄρη καὶ Βουνοί, τὸν Κύριον : ὑμνεῖτε καὶ ὑπερυψοῦτε αὐτὸν εἰς τοὺς αἰῶνας.

Εὐλογεῖτε, πάντα τὰ Φυόμενα ἐν τῇ γῇ, τὸν Κύριον : ὑμνεῖτε καὶ ὑπερυψοῦτε αὐτὸν εἰς τοὺς αἰῶνας.

Εὐλογεῖτε, αἱ Πηγαί, τὸν Κύριον : ὑμνεῖτε καὶ ὑπερυψοῦτε αὐτὸν εἰς τοὺς αἰῶνας.

Εὐλογεῖτε, Θάλασσαι καὶ Ποταμοί, τὸν Κύριον : ὑμνεῖτε καὶ ὑπερυψοῦτε αὐτὸν εἰς τοὺς αἰῶνας.

Εὐλογεῖτε, Κήτη καὶ πάντα τὰ κινούμενα ἐν τοῖς ὕδασιν, τὸν Κύριον : ὑμνεῖτε καὶ ὑπερυψοῦτε αὐτὸν εἰς τοὺς αἰῶνας.

Εὐλογεῖτε, πάντα τὰ Πετεινὰ τοῦ Οὐρανοῦ, τὸν Κύριον : ὑμνεῖτε καὶ ὑπερυψοῦτε αὐτὸν εἰς τοὺς αἰῶνας.

Εὐλογεῖτε, τὰ Θηρία καὶ πάντα τὰ Κτήνη, τὸν Κύριον : ὑμνεῖτε καὶ ὑπερυψοῦτε αὐτὸν εἰς τοὺς αἰῶνας.

Εὐλογεῖτε, Υἱοὶ τῶν Ἀνθρώπων, τὸν Κύριον : ὑμνεῖτε καὶ ὑπερυψοῦτε αὐτὸν εἰς τοὺς αἰῶνας.

Εὐλογείτω Ἰσραὴλ τὸν Κύριον : ὑμνείτω καὶ ὑπερυψούτω αὐτὸν εἰς τοὺς αἰῶνας.

Εὐλογεῖτε, Ἱερεῖς Κυρίου, τὸν Κύριον : ὑμνεῖτε καὶ ὑπερυψοῦτε αὐτὸν εἰς τοὺς αἰῶνας.

Εὐλογεῖτε, Δοῦλοι Κυρίου, τὸν Κύριον : ὑμνεῖτε καὶ ὑπερυψοῦτε αὐτὸν εἰς τοὺς αἰῶνας.

Εὐλογεῖτε, Πνεύματα καὶ Ψυχαὶ δικαίων, τὸν Κύριον : ὑμνεῖτε καὶ ὑπερυψοῦτε αὐτὸν εἰς τοὺς αἰῶνας.

Εὐλογεῖτε, ὅσιοι καὶ ταπεινοὶ καρδίᾳ, τὸν Κύριον : ὑμνεῖτε καὶ ὑπερυψοῦτε αὐτὸν εἰς τοὺς αἰῶνας.

Εὐλογεῖτε, Ἀνανία, Ἀζαρία, Μισαήλ, τὸν Κύριον : ὑμνεῖτε καὶ ὑπερυψοῦτε αὐτὸν εἰς τοὺς αἰῶνας.

Δόξα τῷ Πατρὶ καὶ τῷ Υἱῷ : καὶ τῷ Ἁγίῳ Πνεύματι.

Ὥσπερ ἐν ἀρχῇ, καὶ νῦν, καὶ ἀεί : καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

¶ Εἶτα ἀναγινώσκεται ὡσαύτως τὸ Δεύτερον Ἀνάγνωσμα ἐκ τῆς Καινῆς Διαθήκης. Καὶ μετὰ τοῦτο ἡ ἐφεξῆς Ὠδή· ἐκτὸς ἂν ἀναγινωσκομένη τύχῃ ἐν τῷ τῆς ἡμέρας Κεφαλαίῳ ἢ ἐν τῷ Εὐαγγελίῳ τῆς ἡμέρας τοῦ ἁγίου Βαπτιστοῦ Ἰωάννου.

Benedictus. Λουκ. α΄ 68.

ΕΥλογητὸς Κύριος ὁ Θεὸς τοῦ Ἰσραήλ : ὅτι ἐπεσκέψατο, καὶ ἐποίησεν λύτρωσιν τῷ λαῷ αὐτοῦ·

Καὶ ἤγειρεν κέρας σωτηρίας ἡμῖν : ἐν τῷ οἴκῳ Δαυὶδ τοῦ παιδὸς αὐτοῦ·

Καθὼς ἐλάλησε διὰ στόματος τῶν ἁγίων τῶν ἀπ' αἰῶνος : Προφητῶν αὐτοῦ·

Σωτηρίαν ἐξ ἐχθρῶν ἡμῶν : καὶ ἐκ χειρὸς πάντων τῶν μισούντων ἡμᾶς·

Ποιῆσαι ἔλεος μετὰ τῶν πατέρων ἡμῶν : καὶ μνησθῆναι Διαθήκης ἁγίας αὐτοῦ·

Ὅρκον ὃν ὤμοσε πρὸς Ἀβραὰμ τὸν πατέρα ἡμῶν : τοῦ δοῦναι ἡμῖν·

Ἀφόβως ἐκ χειρὸς τῶν ἐχθρῶν ἡμῶν ῥυσθέντας : λατρεύειν αὐτῷ·

Ἐν ὁσιότητι καὶ δικαιοσύνῃ ἐνώπιον αὐτοῦ : πάσας τὰς ἡμέρας τῆς ζωῆς ἡμῶν.

Καὶ σὺ δέ, παιδίον, Προφήτης Ὑψίστου κληθήσῃ : προπορεύσῃ γὰρ πρὸ προσώπου Κυρίου ἑτοιμάσαι ὁδοὺς αὐτοῦ·

Τοῦ δοῦναι γνῶσιν σωτηρίας τῷ λαῷ αὐτοῦ : ἐν ἀφέσει ἁμαρτιῶν ἡμῶν,

Διὰ σπλάγχνα ἐλέους Θεοῦ ἡμῶν : ἐν οἷς ἐπεσκέψατο ἡμᾶς Ἀνατολὴ ἐξ ὕψους·

Ἐπιφᾶναι τοῖς ἐν σκότει καὶ σκιᾷ θανάτου καθημένοις : τοῦ κατευθῦναι τοὺς πόδας ἡμῶν εἰς ὁδὸν εἰρήνης.

Δόξα τῷ Πατρί, καὶ τῷ Υἱῷ : καὶ τῷ ἁγίῳ Πνεύματι.

Ὥσπερ ἐν ἀρχῇ, καὶ νῦν, καὶ ἀεί : καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

¶ Ἢ οὗτος ὁ Ψαλμός.

Jubilate Deo. Ψαλμὸς ϙθʹ.

Ἀλαλάξατε τῷ Κυρίῳ, πᾶσα ἡ γῆ : δουλεύσατε τῷ Κυρίῳ ἐν εὐφροσύνῃ, εἰσέλθατε ἐνώπιον αὐτοῦ ἐν ἀγαλλιάσει.

Γνῶτε ὅτι Κύριος αὐτός ἐστιν ὁ Θεός : αὐτὸς ἐποίησεν ἡμᾶς καὶ οὐχ ἡμεῖς, λαὸς αὐτοῦ καὶ πρόβατα τῆς νομῆς αὐτοῦ.

Εἰσέλθατε εἰς τὰς πύλας αὐτοῦ ἐν ἐξομολογήσει, τὰς αὐλὰς αὐτοῦ ἐν ὕμνοις : ἐξομολογεῖσθε αὐτῷ, αἰνεῖτε τὸ Ὄνομα αὐτοῦ.

Ὅτι χρηστὸς Κύριος, εἰς τὸν αἰῶνα τὸ ἔλεος αὐτοῦ : καὶ ἕως γενεᾶς καὶ γενεᾶς ἡ ἀλήθεια αὐτοῦ.

Δόξα τῷ Πατρί, καὶ τῷ Υἱῷ : καὶ τῷ ἁγίῳ Πνεύματι.

Ὥσπερ ἐν ἀρχῇ, καὶ νῦν, καὶ ἀεί : καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

¶ Εἶτα ψάλλεται ἢ ἀναγινώσκεται τὸ Ἀποστολικὸν Σύμβολον ὑπὸ τοῦ Λειτουργοῦ καὶ τοῦ λαοῦ, ἑστώτων· Εἰ μὴ μόνον ἐν αἷς ἡμέραις διατέτακται ἵνα ἀναγνωσθῇ τὸ Σύμβολον τοῦ ἁγίου Ἀθανασίου.

Η ΠΡΩΙΝΗ ΑΚΟΛΟΥΘΙΑ

Πιστεύω εἰς Θεὸν Πατέρα Παντοκράτορα, Ποιητὴν οὐρανοῦ καὶ γῆς.

Καὶ εἰς Ἰησοῦν Χριστὸν τὸν Υἱὸν αὐτοῦ τὸν μονογενῆ, τὸν Κύριον ἡμῶν, Συλληφθέντα ἐκ Πνεύματος ἁγίου, Γεννηθέντα ἐκ Μαρίας τῆς Παρθένου, Παθόντα ἐπὶ Ποντίου Πιλάτου, Σταυρωθέντα, θανόντα καὶ ταφέντα, Κατελθόντα εἰς ᾅδου· Τῇ τρίτῃ ἡμέρᾳ ἀναστάντα ἐκ τῶν νεκρῶν. Ἀναβάντα εἰς τοὺς οὐρανούς, Καὶ καθήμενον ἐν δεξιᾷ Θεοῦ Πατρὸς Παντοκράτορος· Ὅθεν ἔρχεται κρῖναι ζῶντας καὶ νεκρούς.

Πιστεύω εἰς τὸ Πνεῦμα τὸ ἅγιον· Ἁγίαν Καθολικὴν Ἐκκλησίαν· Ἁγίων Κοινωνίαν· Ἄφεσιν ἁμαρτιῶν· Σαρκὸς ἀνάστασιν, Καὶ ζωὴν αἰώνιον. Ἀμήν.

¶ Καὶ μετὰ τοῦτο, αὗται αἱ Εὐχαὶ αἱ ἑπόμεναι, πάντων εὐλαβῶς γονυκλινόντων, τοῦ Λειτουργοῦ πρῶτον μεγάλῃ τῇ φωνῇ ἐξειπόντος,

Ὁ Κύριος μεθ' ὑμῶν.

Ἀπόκρισις.

Καὶ μετὰ τοῦ πνεύματός σου.

Ὁ Λειτουργός.

¶ Δεηθῶμεν.

Κύριε ἐλέησον ἡμᾶς.

Χριστὲ ἐλέησον ἡμᾶς.

Κύριε ἐλέησον ἡμᾶς.

¶ Εἶτα ὁ Λειτουργός, οἱ Κληρικοί, καὶ ὁ λαὸς ἐκφωνοῦσι τὴν Κυριακὴν Προσευχήν.

Πάτερ ἡμῶν, ὁ ἐν τοῖς οὐρανοῖς, Ἁγιασθήτω τὸ Ὄνομά σου. Ἐλθέτω ἡ Βασιλεία σου. Γενηθήτω τὸ θέλημά σου, ὡς ἐν οὐρανῷ, καὶ ἐπὶ τῆς γῆς. Τὸν ἄρτον ἡμῶν τὸν ἐπιούσιον δὸς ἡμῖν σήμερον. Καὶ ἄφες ἡμῖν τὰ ὀφειλήματα ἡμῶν, Ὡς καὶ ἡμεῖς ἀφίεμεν τοῖς ὀφειλέταις ἡμῶν. Καὶ μὴ εἰσενέγκῃς ἡμᾶς εἰς πειρασμόν· Ἀλλὰ ῥῦσαι ἡμᾶς ἀπὸ τοῦ πονηροῦ. Ἀμήν.

¶ Εἶτα ἀνιστάμενος λέγει ὁ Ἱερεύς,

Δεῖξον ἡμῖν, Κύριε, τὸ ἔλεός σου.

Ἀπόκρισις.

Καὶ τὸ σωτήριόν σου δῴης ἡμῖν.

Ὁ Ἱερεύς.

Κύριε, σῶσον τὸν Βασιλέα.

Ἀπόκρισις.

Καὶ ἐπάκουσον ἡμῶν ἐν ᾗ ἂν ἡμέρᾳ ἐπικαλεσώμεθά σε.

Ὁ Ἱερεύς.

Οἱ Ὑπηρέται σου ἐνδύσωνται δικαιοσύνην.

Ἀπόκρισις.

Καὶ οἱ ἐκλεκτοί σου ἀγαλλιάσωνται.

Ὁ Ἱερεύς.

Σῶσον τὸν λαόν σου, Κύριε.

Ἀπόκρισις.

Καὶ εὐλόγησον τὴν κληρονομίαν σου.

Ὁ Ἱερεύς.

Δὸς εἰρήνην ἐν ταῖς ἡμέραις ἡμῶν, Κύριε.

Ἀπόκρισις.

Διότι οὐκ ἔστιν ἄλλος ὁ ὑπερμαχῶν ἡμῶν, εἰ μὴ σὺ μόνος, ὁ Θεός.

Ὁ Ἱερεύς.

Καρδίαν καθαρὰν κτίσον ἐν ἡμῖν, Θεέ.

Ἀπόκρισις.

Καὶ τὸ Πνεῦμα τὸ ἅγιόν σου μὴ ἀντανέλῃς ἀφ' ἡμῶν.

¶ Εἶτα ἐπισυνάπτονται Εὐχαὶ τρεῖς· Ἡ πρώτη τῆς ἡμέρας, ἥτις ἐστὶν ἡ κατὰ τὴν Κοινωνίαν ἐνδιάτακτος· Ἡ δευτέρα ὑπὲρ Εἰρήνης· Ἡ τρίτη ὑπὲρ τῆς εἰς τὸ εὖ ζῆν χάριτος. Καὶ αὗται αἱ δύο τελευταῖαι Εὐχαὶ οὔποτε ἀλλοιοῦνται, ἀλλὰ ἀναγινώσκονται καθ' ἑκάστην ἡμέραν κατὰ τὴν Πρωινὴν Ἀκολουθίαν δι' ὅλου τοῦ ἐνιαυτοῦ, κατὰ τὸ ἐφεξῆς· πάντων γονυκλινόντων.

¶ Ἡ δευτέρα Εὐχὴ ὑπὲρ τῆς Εἰρήνης.

Ὁ Θεός, ὁ ἀρχηγὸς τῆς εἰρήνης καὶ ἐραστὴς τῆς ὁμονοίας, ὃν τὸ γνῶναί ἐστι ζωὴ αἰώνιος, ᾧ τὸ δουλεύειν τελεία ἐστὶν ἐλευθερία· ὑπεράσπισον ἡμᾶς τοὺς ταπεινούς σου δούλους ἐν πάσῃ προσβολῇ τῶν ἐχθρῶν ἡμῶν, ἵνα τῇ ὑπερασπίσει σου πεποιθότες μηδενὸς ἀντικειμένου τὴν δύναμιν φοβηθῶμεν, διὰ τοῦ κράτους Ἰησοῦ Χριστοῦ τοῦ Κυρίου ἡμῶν. Ἀμήν.

¶ Ἡ τρίτη Εὐχὴ ὑπὲρ τῆς Χαρίτος.

ΚΥριε, ὁ ἐπουράνιος Πατὴρ ἡμῶν, ὁ Παντοκράτωρ καὶ αἰώνιος Θεός, ὁ ἀσφαλεῖς ἡμᾶς παραγαγὼν εἰς ἀρχὴν ταύτης τῆς ἡμέρας· ὑπεράσπισον ἡμᾶς ἐν ταύτῃ διὰ τῆς κραταιᾶς σου δυνάμεως, καὶ παράσχου ἵνα σήμερον εἰς μηδεμίαν παρεκκλίνωμεν ἁμαρτίαν, καὶ εἰς μηδένα ἐμπέσωμεν κίνδυνον· ἀλλ' ἵνα εἰς τὸ ποιῆσαι πάντοτε τὸ ἐνώπιόν σου δίκαιον πᾶσα ἡμῶν διευθύνηται πρᾶξις, διὰ Ἰησοῦ Χριστοῦ τοῦ Κυρίου ἡμῶν. Ἀμήν.

¶ Ἐν Χοροῖς καὶ ἐάν που ψάλληται, ἐνταῦθα ἕπεται τὸ λεγόμενον Ἀντίφωνον.

¶ Εἶτα ἀναγινώσκονται ἐνταῦθα αἱ πέντε αὗται Προσευχαί, εἰ μὴ ὅταν ἀναγνωσθῇ ἡ Λιτανεία· ὅτε ἀναγινώσκονται μόναι αἱ τελευταῖαι δύο, καθὼς ἐκεῖ κεῖνται.

¶ Εὐχὴ ὑπὲρ τῆς Βασιλικῆς Μεγαλειότητος.

ΚΥριε, ὁ Πατὴρ ἡμῶν ὁ ἐπουράνιος, ὕψιστε καὶ κραταιέ, Βασιλεῦ τῶν βασιλευόντων, Κύριε τῶν κυριευόντων, ὁ μόνος Δυνάστης ἀρχόντων, ὁ ἀπὸ τοῦ θρόνου σου ἐπιβλέπων ἐπὶ πάντας τοὺς κατοικοῦντας τὴν γῆν· προθυμότατα παρακαλοῦμέν σε, ἵλεως ἐπίβλεψον ἐπὶ τὸν εὐμενέστατον Κυρίαρχον Δεσπότην ἡμῶν τὸν Βασιλέα ΓΕΩΡΓΙΟΝ, καὶ οὕτως αὐτὸν ἔμπλησον τῆς χάριτος τοῦ ἁγίου σου Πνεύματος, ὥστε διαπαντὸς τῷ θελήματί σου ὑποκλίνειν αὐτόν, καὶ ἐν τῇ ὁδῷ σου

περιπατεῖν· Ἔνδυσον αὐτὸν ἀφθόνως δῶρα οὐράνια, χάρισαι αὐτῷ ἐν ὑγείᾳ καὶ εὐθηνίᾳ μακροημερεύειν, κατίσχυσον αὐτὸν εἰς τὸ κατανικῆσαι καὶ καταβαλεῖν πάντας τοὺς ἐχθροὺς αὐτοῦ· καὶ ἐπὶ τέλους μετὰ τοῦτον τὸν βίον αἰωνίου ἐφικέσθαι χαρᾶς καὶ μακαριότητος, διὰ Ἰησοῦ Χριστοῦ τοῦ Κυρίου ἡμῶν. Ἀμήν.

¶ Εὐχὴ ὑπὲρ τῆς Βασιλικῆς Οἰκογενείας.

Ὁ Θεὸς ὁ Παντοκράτωρ, ἡ πηγὴ πάσης τῆς ἀγαθωσύνης, ταπεινῶς δεόμεθά σου, εὐλόγησον τὴν εὐμενῆ Βασίλισσαν ἡμῶν ΜΑΡΙΑΝ, τὴν Χήραν Βασίλισσαν Ἀλεξάνδραν, Ἐδουάρδον τὸν Πρίγκιπα τῆς Οὐαλλίας, καὶ ἅπασαν τὴν Βασιλικὴν Οἰκογένειαν· Ἔνδυσον αὐτοὺς τὸ ἅγιόν σου Πνεῦμα, πλούτισον αὐτοὺς τῇ οὐρανίῳ σου χάριτι, εὐόδωσον αὐτοὺς πάσῃ εὐδαιμονίᾳ, καὶ ἐπάγαγε αὐτοὺς ἐπὶ τὴν ἀπέραντόν σου βασιλείαν, διὰ Ἰησοῦ Χριστοῦ τοῦ Κυρίου ἡμῶν. Ἀμήν.

¶ Εὐχὴ ὑπὲρ τοῦ Κλήρου καὶ τοῦ Λαοῦ.

Ὁ Θεὸς ὁ Παντοκράτωρ καὶ αἰώνιος, ὁ ποιῶν θαυμάσια μεγάλα μόνος· κατάπεμψον ἐπὶ τοὺς Ἐπισκόπους καὶ τοὺς Ἐφημερίους ἡμῶν, καὶ ἐπὶ πάντα τὰ αὐτοῖς ἐμπεπιστευμένα Ποίμνια, τὸ σωτήριον Πνεῦμα τῆς χάριτός σου· καὶ ἵνα σοι ἀληθινῶς εὐαρεστήσωσιν, ἐπίχεον αὐτοῖς συνεχῶς τὴν δρόσον τῆς εὐλογίας σου. Τοῦτο παράσχου, Κύριε, εἰς τιμὴν τοῦ Παρακλήτου καὶ Μεσίτου ἡμῶν Ἰησοῦ Χριστοῦ. Ἀμήν.

¶ Εὐχὴ τοῦ Ἁγίου Χρυσοστόμου.

Ὁ Θεὸς ὁ Παντοκράτωρ, ὁ τὰς κοινὰς ταύτας καὶ συμφώνους ἡμῖν χαρισάμενος προσευχάς, ὁ καὶ δυσὶ καὶ τρισὶ συμφωνοῦσιν ἐπὶ τῷ Ὀνόματί σου, τὰς αἰτήσεις παρέχειν ἐπαγγειλάμενος· Αὐτὸς καὶ νῦν, Κύριε, τῶν δούλων σου τὰ αἰτήματα πρὸς τὸ συμφέρον πλήρωσον, χορηγῶν

ἡμῖν ἐν τῷ παρόντι αἰῶνι τὴν ἐπίγνωσιν τῆς σῆς ἀληθείας, καὶ ἐν τῷ μέλλοντι ζωὴν αἰωνίαν χαριζόμενος. Ἀμήν.

Β′ πρὸς Κορινθίους ΙΓ′.

Ἡ Χάρις τοῦ Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ, καὶ ἡ ἀγάπη τοῦ Θεοῦ, καὶ ἡ κοινωνία τοῦ Ἁγίου Πνεύματος, μετὰ πάντων ἡμῶν εἰς τοὺς αἰῶνας. Ἀμήν.

Ἐνταῦθα τελευτᾷ ἡ Πρωινὴ Ἀκολουθία δι᾽ ὅλου τοῦ ἐνιαυτοῦ.

ΑΚΟΛΟΥΘΙΑ

ΕΣΠΕΡΙΝΗΣ ΠΡΟΣΕΥΧΗΣ

ΚΑΘ' ΕΚΑΣΤΗΝ ΗΜΕΡΑΝ ΤΟΥ ΕΝΙΑΥΤΟΥ

¶ Ἐν ἀρχῇ τῆς Ἑσπερινῆς Ἀκολουθίας ὁ Λειτουργὸς ἀναγινώσκει ἐκφώνως ἓν ἢ πλείω τῶν ἐφεξῆς χωρίων τῆς Γραφῆς. Εἶτα λέγει τὸ μετὰ τὰ δηλωθέντα χωρία ἑπόμενον.

Ἰεζεκ. ιη΄ 27. ἘΝ τῷ ἀποστρέψαι ἄνομον ἀπὸ τῆς ἀνομίας αὐτοῦ ἧς ἐποίησε, καὶ ποιήσει κρῖμα καὶ δικαιοσύνην, οὗτος τὴν ψυχὴν αὐτοῦ ἐφύλαξε.

Ψαλ. ν΄ 3. Τὴν ἀνομίαν μου ἐγὼ γινώσκω, καὶ ἡ ἁμαρτία μου ἐνώπιόν μού ἐστι διαπαντός.

Ψαλ. ν΄ 9. Ἀπόστρεψον τὸ πρόσωπόν σου ἀπὸ τῶν ἁμαρτιῶν μου, καὶ πάσας τὰς ἀνομίας μου ἐξάλειψον.

Ψαλ. ν΄ 17. Θυσία τῷ Θεῷ πνεῦμα συντετριμμένον· καρδίαν συντετριμμένην καὶ τεταπεινωμένην ὁ Θεὸς οὐκ ἐξουδενώσει.

Ἰωὴλ β΄ 13. Διαρρήξατε τὰς καρδίας ὑμῶν, καὶ μὴ τὰ ἱμάτια ὑμῶν, καὶ ἐπιστράφητε πρὸς Κύριον τὸν Θεὸν ὑμῶν· ὅτι ἐλεήμων, καὶ οἰκτίρμων ἐστί, μακρόθυμος, καὶ πολυέλεος, καὶ μετανοῶν ἐπὶ ταῖς κακίαις.

Δαν. θ΄ 9, 10. Τῷ Κυρίῳ ἡ δικαιοσύνη καὶ τὸ ἔλεος, ὅτι ἀπέστημεν ἀπ' αὐτοῦ· καὶ οὐκ ἠκούσαμεν τῆς φωνῆς Κυρίου τοῦ Θεοῦ ἡμῶν, κατακολουθῆσαι τῷ νόμῳ αὐτοῦ, ᾧ ἔδωκεν ἐνώπιον ἡμῶν.

Ἰερ. ι΄ 24. Παίδευσόν με, Κύριε, πλὴν ἐν κρίσει· μὴ ἐν θυμῷ σου,
Ψαλ. ϛ΄ 1. ἵνα μὴ ὀλίγον με ποιήσῃς.

Ματθ. γ΄ 2. Μετανοεῖτε· ἤγγικε γὰρ ἡ Βασιλεία τῶν Οὐρανῶν.

Λουκ. ιε΄ 18, 19. Ἀναστὰς πορεύσομαι πρὸς τὸν Πατέρα μου, καὶ ἐρῶ αὐτῷ· Πάτερ, ἥμαρτον εἰς τὸν Οὐρανόν, καὶ ἐνώπιόν σου, καὶ οὐκέτι εἰμὶ ἄξιος κληθῆναι υἱός σου.

Μὴ εἰσέλθῃς εἰς κρίσιν μετὰ τοῦ δούλου σου, Κύριε· ὅτι οὐ δικαιωθήσεται ἐνώπιόν σου πᾶς ζῶν. Ψαλ. ρμβ' 2.

Ἐὰν εἴπωμεν ὅτι ἁμαρτίαν οὐκ ἔχομεν, ἑαυτοὺς πλανῶμεν, καὶ ἡ ἀλήθεια οὐκ ἔστιν ἐν ἡμῖν. Ἐὰν ὁμολογῶμεν τὰς ἁμαρτίας ἡμῶν, πιστός ἐστι καὶ δίκαιος ἵνα ἀφῇ ἡμῖν τὰς ἁμαρτίας, καὶ καθαρίσῃ ἡμᾶς ἀπὸ πάσης ἀδικίας. α' Ἰωάν. α' 8, 9.

ἈΔελφοὶ ἀγαπητοί, ἐν πολλοῖς χωρίοις παρακαλεῖ ἡμᾶς ἡ Γραφὴ ἵνα ὁμολογήσωμεν καὶ ἐξαγορεύσωμεν τὰς πολυειδεῖς ἡμῶν ἁμαρτίας καὶ κακίας, καὶ μὴ ἀποκρυψώμεθα μηδὲ καλύψωμεν αὐτὰς ἐνώπιον τοῦ Παντοκράτορος Θεοῦ τοῦ ἐπουρανίου Πατρὸς ἡμῶν, ἀλλ' ἐν καρδίᾳ ταπεινῇ, πρᾳείᾳ, μετανοούσῃ, καὶ ὑπηκόῳ ἐξαγορεύσωμεν αὐτάς, εἰς τὸ τυχεῖν τῆς ἀφέσεως αὐτῶν διὰ τῆς ἀπείρου αὐτοῦ ἀγαθότητος καὶ εὐσπλαγχνίας. Εἰ δὲ καὶ ἐν παντὶ καιρῷ δεῖ ἡμᾶς τὰς ἁμαρτίας ἡμῶν ταπεινοφρόνως ὁμολογῆσαι ἐνώπιον τοῦ Θεοῦ, ἀλλὰ πρὸ πάντων τοῦτο δεῖ ἡμᾶς ποιῆσαι, ὅταν συνερχώμεθα ἐπὶ τὸ αὐτό, καὶ συναγώμεθα, εἰς τὸ εὐχαριστῆσαι ὑπὲρ τῶν μεγάλων εὐεργεσιῶν τῶν παρ' αὐτοῦ ἀποληφθεισῶν, καὶ τὸ ἐξαγγεῖλαι αὐτοῦ τὴν ἀξιοπρεπεστάτην αἴνεσιν, καὶ τὸ ἀκοῦσαι τὸν πανάγιον λόγον αὐτοῦ, καὶ τὸ αἰτήσασθαι τὰ συμφέροντα καὶ ἀναγκαῖα σώματί τε καὶ ψυχῇ. Διὸ παρακαλῶ ὑμᾶς καὶ ἱκετεύω, τοὺς περιεστῶτας, ἵνα μετὰ καθαρᾶς καρδίας καὶ ταπεινῆς φωνῆς προσέλθητε σὺν ἐμοὶ τῷ θρόνῳ τῆς οὐρανίου χάριτος, ἐπαναλέγοντες μετ' ἐμέ.

¶ Ἐξομολόγησις γενικὴ ἀπαγγελλομένη μετὰ τὸν Λειτουργὸν ὑπὸ παντὸς τοῦ Ἐκκλησιάσματος, πάντων γονυκλινόντων.

ΠΑντοκράτορ καὶ πολυέλεε Πάτερ· Ἐπλανήθημεν, καὶ παρεξετράπημεν τῶν ὁδῶν σου ὡσεὶ πρόβατα ἀπολωλότα. Ἠκολουθήσαμεν καθ' ὑπερβολὴν ταῖς ἐπινοίαις καὶ ἐπιθυμίαις τῶν καρδιῶν ἡμῶν. Παρέβημεν τὰς ἁγίας ἐντολάς σου. Οὐκ ἐποιήσαμεν ἃ ἔδει ποιῆσαι· Καὶ ἐποιήσαμεν

ἃ οὐκ ἔδει ποιῆσαι· Καὶ ἐν ἡμῖν οὐκ ἔστι σωτηρία. Ἀλλὰ σύ, Κύριε, ἐλέησον ἡμᾶς τοὺς ἀθλίους ἁμαρτωλούς. Φεῖσαι, ὁ Θεός, τῶν τὰ οἰκεῖα πταίσματα ἐξομολογουμένων. Κατάρτισον τοὺς μετανοοῦντας· Κατὰ τὰς ἐπαγγελίας σου τὰς ἐξαγγελθείσας τῷ γένει τῶν ἀνθρώπων ἐν Χριστῷ Ἰησοῦ τῷ Κυρίῳ ἡμῶν. Καὶ δι' αὐτὸν παράσχου, πολυέλεε Πάτερ· Ἵνα τοῦ λοιποῦ εὐσεβῶς, δικαίως, καὶ σωφρόνως ζήσωμεν, Εἰς δόξαν τοῦ ἁγίου σου Ὀνόματος. Ἀμήν.

¶ *Ἄφεσις ἁμαρτιῶν ἀπαγγελλομένη ὑπὸ μόνου τοῦ Ἱερέως, ἑστῶτος, γονυκλίνοντος ἔτι τοῦ λαοῦ.*

Ὁ Θεὸς ὁ Παντοκράτωρ, ὁ Πατὴρ τοῦ Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ, ὁ μὴ θέλων τὸν θάνατον τοῦ ἁμαρτωλοῦ, ὡς τὸ ἀποστρέψαι αὐτὸν ἐκ τῆς πονηρίας, καὶ ζῆν αὐτόν· ὁ καὶ τοῖς Λειτουργοῖς αὐτοῦ ἐξουσίαν δοὺς καὶ ἐντειλάμενος, ἵνα τῷ λαῷ αὐτοῦ μετανοοῦντι, τὴν συγχώρησιν καὶ ἄφεσιν τῶν ἁμαρτιῶν αὐτῶν διακηρύξωσι καὶ ἀπαγγείλωσιν· Αὐτὸς συγχωρεῖ καὶ ἀφίησι τὰς ἁμαρτίας πάντων τῶν ἀληθῶς μετανοούντων, καὶ τῷ ἁγίῳ αὐτοῦ Εὐαγγελίῳ εἰλικρινῶς πιστευόντων. Διὸ δεηθῶμεν αὐτοῦ ἵνα χαρίσηται ἡμῖν ἀληθινὴν μετάνοιαν, καὶ τὸ ἅγιον αὐτοῦ Πνεῦμα, ἵνα πάντα ὅσα πράττομεν ἐν τῷ παρόντι, εὐαρεστῶσιν αὐτῷ, καὶ ἵνα ὁ λοιπὸς ἡμῶν βίος εἰς τὸ ἑξῆς ἁγνὸς καὶ ἅγιος ᾖ, ὥστε ἐν τέλει εἰς τὴν αἰωνίαν αὐτοῦ καταντήσωμεν εὐφροσύνην, διὰ Ἰησοῦ Χριστοῦ τοῦ Κυρίου ἡμῶν. Ἀμήν.

¶ *Εἶτα γονυκλίνας ὁ Λειτουργὸς λέγει ἐκφώνως τὴν Κυριακὴν Προσευχήν· γονυκλίνοντος καὶ τοῦ λαοῦ, καὶ μετ' αὐτοῦ λέγοντος αὐτήν.*

Πάτερ ἡμῶν, ὁ ἐν τοῖς οὐρανοῖς, Ἁγιασθήτω τὸ ὄνομά σου. Ἐλθέτω ἡ βασιλεία σου. Γενηθήτω τὸ θέλημά σου, ὡς ἐν οὐρανῷ, καὶ ἐπὶ τῆς γῆς. Τὸν ἄρτον ἡμῶν

τὸν ἐπιούσιον δὸς ἡμῖν σήμερον. Καὶ ἄφες ἡμῖν τὰ ὀφειλήματα ἡμῶν, Ὡς καὶ ἡμεῖς ἀφίεμεν τοῖς ὀφειλέταις ἡμῶν. Καὶ μὴ εἰσενέγκῃς ἡμᾶς εἰς πειρασμόν· Ἀλλὰ ῥῦσαι ἡμᾶς ἀπὸ τοῦ πονηροῦ· Ὅτι σοῦ ἐστιν ἡ βασιλεία, Ἡ δύναμις, καὶ ἡ Δόξα, Εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

¶ Εἶτα ὡσαύτως λέγει,

Κύριε, τὰ χείλη ἡμῶν ἄνοιξον.

Ἀπόκρισις.

Καὶ τὸ στόμα ἡμῶν ἀναγγελεῖ τὴν αἴνεσίν σου.

Ὁ Ἱερεύς.

Ὁ Θεός, εἰς τὴν βοήθειαν ἡμῶν πρόσχες.

Ἀπόκρισις.

Κύριε, εἰς τὸ βοηθῆσαι ἡμῖν σπεῦσον.

¶ Ἐνταῦθα, πάντων ἀνισταμένων, ὁ Ἱερεὺς λέγει,

Δόξα τῷ Πατρί, καὶ τῷ Υἱῷ : καὶ τῷ ἁγίῳ Πνεύματι·

Ἀπόκρισις.

Ὥσπερ ἐν ἀρχῇ, καὶ νῦν, καὶ ἀεί : καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

Ὁ Ἱερεύς.

Αἰνεῖτε τὸν Κύριον.

Ἀπόκρισις.

Εἴη τὸ ὄνομα Κυρίου εὐλογημένον.

¶ Εἶτα ἀναγινώσκονται ἢ ψάλλονται οἱ Ψαλμοὶ καθὼς διατεταγμένοι εἰσίν. Εἶτα Ἀνάγνωσμα τῆς Παλαιᾶς Διαθήκης, καθὼς ἐνδιατέτακται· Καὶ μετὰ τοῦτο, τὸ *Magnificat* (ἤτοι ἡ Ὠδὴ τῆς μακαρίας Παρθένου Μαρίας) ὡς ἕπεται.

ΜΕγαλύνει ἡ ψυχή μου τὸν Κύριον : καὶ ἠγαλλίασε τὸ πνεῦμά μου ἐπὶ τῷ Θεῷ τῷ Σωτῆρί μου. *Magnificat.* Λουκ. α΄ 46.

Ὅτι ἐπέβλεψεν : ἐπὶ τὴν ταπείνωσιν τῆς δούλης αὐτοῦ.

Ἰδοὺ γάρ, ἀπὸ τοῦ νῦν : μακαριοῦσί με πᾶσαι αἱ γενεαί.

Ὅτι ἐποίησέ μοι μεγαλεῖα ὁ δυνατός : καὶ ἅγιον τὸ Ὄνομα αὐτοῦ.

Καὶ τὸ ἔλεος αὐτοῦ εἰς γενεὰν καὶ γενεάν : τοῖς φοβουμένοις αὐτόν.

Ἐποίησε κράτος ἐν βραχίονι αὐτοῦ : διεσκόρπισεν ὑπερηφάνους διανοίᾳ καρδίας αὐτῶν.

Καθεῖλε δυνάστας ἀπὸ θρόνων : καὶ ὕψωσε ταπεινούς.

Πεινῶντας ἐνέπλησεν ἀγαθῶν : καὶ πλουτοῦντας ἐξαπέστειλε κενούς.

Ἀντελάβετο Ἰσραὴλ παιδὸς αὐτοῦ, μνησθῆναι ἐλέους : καθὼς ἐλάλησε πρὸς τοὺς πατέρας ἡμῶν, τῷ Ἀβραὰμ καὶ τῷ σπέρματι αὐτοῦ ἕως αἰῶνος.

Δόξα τῷ Πατρί, καὶ τῷ Υἱῷ : καὶ τῷ ἁγίῳ Πνεύματι.

Ὥσπερ ἐν ἀρχῇ, καὶ νῦν, καὶ ἀεί : καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

¶ Ἢ ὁ Ψαλμὸς οὗτος, ἐκτὸς τῆς ἐννεακαιδεκάτης ἑκάστου μηνός, ὅτε ἀναγινώσκεται ἐν τῇ συνήθει τάξει τῶν Ψαλμῶν.

Cantate Domino. Ψαλ. ϙζ΄.

Ἄσατε τῷ Κυρίῳ ᾆσμα καινόν : ὅτι θαυμαστὰ ἐποίησεν Κύριος.

Ἔσωσεν αὐτῷ ἡ δεξιὰ αὐτοῦ : καὶ ὁ βραχίων ὁ ἅγιος αὐτοῦ.

Ἐγνώρισεν Κύριος τὸ σωτήριον αὐτοῦ : ἐναντίον τῶν ἐθνῶν ἀπεκάλυψεν τὴν δικαιοσύνην αὐτοῦ.

Ἐμνήσθη τοῦ ἐλέους αὐτοῦ καὶ τῆς ἀληθείας αὐτοῦ τῷ οἴκῳ Ἰσραήλ : εἴδοσαν πάντα τὰ πέρατα τῆς γῆς τὸ σωτήριον τοῦ Θεοῦ ἡμῶν.

Ἀλαλάξατε τῷ Κυρίῳ πᾶσα ἡ γῆ : ᾄσατε, καὶ ἀγαλλιᾶσθε, καὶ ψάλατε.

Ψάλατε τῷ Κυρίῳ ἐν κιθάρᾳ : ἐν κιθάρᾳ καὶ φωνῇ ψαλμοῦ.

Ἐν σάλπιγξιν ἐλαταῖς καὶ φωνῇ σάλπιγγος κερατίνης : ἀλαλάξατε ἐνώπιον τοῦ Βασιλέως Κυρίου.

Σαλευθήτω ἡ θάλασσα, καὶ τὸ πλήρωμα αὐτῆς : ἡ οἰκουμένη, καὶ οἱ κατοικοῦντες αὐτήν.

Ποταμοὶ κροτήσουσιν χειρί, ἐπὶ τὸ αὐτὸ τὰ ὄρη ἀγαλλιάσονται ἀπὸ προσώπου Κυρίου : ὅτι ἥκει κρῖναι τὴν γῆν.

Κρινεῖ τὴν οἰκουμένην ἐν δικαιοσύνῃ : καὶ λαοὺς ἐν εὐθύτητι.

Δόξα τῷ Πατρί, καὶ τῷ Υἱῷ : καὶ τῷ ἁγίῳ Πνεύματι.

Ὥσπερ ἐν ἀρχῇ, καὶ νῦν, καὶ ἀεί : καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

¶ Εἶτα τὸ Ἀνάγνωσμα τῆς Καινῆς Διαθήκης, καθὼς ἐνδιατέτακται. Καὶ μετὰ τοῦτο, τὸ *Nunc dimittis* (ἤτοι ἡ Ὠδὴ τοῦ Συμεῶνος), ὡς ἕπεται.

Nunc dimittis. Λουκ. β′ 29.

ΝΥν ἀπολύεις τὸν δοῦλόν σου, Δέσποτα : κατὰ τὸ ῥῆμά σου ἐν εἰρήνῃ.

Ὅτι εἶδον οἱ ὀφθαλμοί μου : τὸ σωτήριόν σου,

Ὃ ἡτοίμασας : κατὰ πρόσωπον πάντων τῶν λαῶν·

Φῶς εἰς ἀποκάλυψιν Ἐθνῶν : καὶ δόξαν λαοῦ σου Ἰσραήλ.

Δόξα τῷ Πατρί, καὶ τῷ Υἱῷ : καὶ τῷ ἁγίῳ Πνεύματι.

Ὥσπερ ἐν ἀρχῇ, καὶ νῦν, καὶ ἀεί : καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

¶ Ἢ οὗτος ὁ Ψαλμός (ἐκτὸς τῆς δωδεκάτης ἑκάστου μηνός).

Deus misereatur. Ψαλ. ξς′.

Ὁ Θεὸς οἰκτειρήσαι ἡμᾶς, καὶ εὐλογήσαι ἡμᾶς : ἐπιφάναι τὸ πρόσωπον αὐτοῦ ἐφ᾽ ἡμᾶς, καὶ ἐλεήσαι ἡμᾶς.

Τοῦ γνῶναι ἐν τῇ γῇ τὴν ὁδόν σου : ἐν πᾶσιν ἔθνεσι τὸ σωτήριόν σου.

Ἐξομολογησάσθωσάν σοι λαοί, ὁ Θεός : ἐξομολογησάσθωσάν σοι λαοὶ πάντες.

Εὐφρανθήτωσαν καὶ ἀγαλλιάσθωσαν ἔθνη : ὅτι κρινεῖς λαοὺς ἐν εὐθύτητι, καὶ ἔθνη ἐν τῇ γῇ ὁδηγήσεις.

Ἐξομολογησάσθωσάν σοι λαοί, ὁ Θεός : ἐξομολογησάσθωσάν σοι λαοὶ πάντες.

Γῆ ἔδωκε τὸν καρπὸν αὐτῆς : εὐλογήσαι ἡμᾶς ὁ Θεός, ὁ Θεὸς ἡμῶν.

Εὐλογήσαι ἡμᾶς ὁ Θεός: *καὶ φοβηθήτωσαν αὐτὸν πάντα τὰ πέρατα τῆς γῆς.*

Δόξα τῷ Πατρί, *καὶ τῷ* Υἱῷ: *καὶ τῷ ἁγίῳ* Πνεύματι·

Ὥσπερ ἐν ἀρχῇ, καὶ νῦν, καὶ ἀεί: καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμην.

¶ Εἶτα ἀναγινώσκεται ἢ ψάλλεται τὸ Ἀποστολικὸν Σύμβολον ὑπὸ τοῦ Λειτουργοῦ καὶ τοῦ λαοῦ, ἑστώτων.

ΠΙστεύω εἰς Θεὸν Πατέρα Παντοκράτορα, Ποιητὴν οὐρανοῦ καὶ γῆς.

Καὶ εἰς Ἰησοῦν Χριστὸν τὸν Υἱὸν αὐτοῦ τὸν μονογενῆ, τὸν Κύριον ἡμῶν, Συλληφθέντα ἐκ Πνεύματος ἁγίου, Γεννηθέντα ἐκ Μαρίας τῆς Παρθένου, Παθόντα ἐπὶ Ποντίου Πιλάτου, Σταυρωθέντα, θανόντα καὶ ταφέντα, Κατελθόντα εἰς ᾅδου· Τῇ τρίτῃ ἡμέρᾳ ἀναστάντα ἐκ τῶν νεκρῶν. Ἀναβάντα εἰς τοὺς οὐρανούς, Καὶ καθήμενον ἐν δεξιᾷ Θεοῦ Πατρὸς Παντοκράτορος· Ὅθεν ἔρχεται κρῖναι ζῶντας καὶ νεκρούς.

Πιστεύω εἰς τὸ Πνεῦμα τὸ ἅγιον· Ἁγίαν Καθολικὴν Ἐκκλησίαν· Ἁγίων Κοινωνίαν· Ἄφεσιν ἁμαρτιῶν· Σαρκὸς ἀνάστασιν, Καὶ ζωὴν αἰώνιον. Ἀμήν.

¶ Καὶ μετὰ τοῦτο, αὗται αἱ Εὐχαὶ αἱ ἑπόμεναι, πάντων εὐλαβῶς γονυκλινόντων, τοῦ Λειτουργοῦ πρῶτον μεγάλῃ τῇ φωνῇ ἐξειπόντος,

Ὁ Κύριος μεθ' ὑμῶν.

Ἀπόκρισις.

Καὶ μετὰ τοῦ πνεύματός σου.

Ὁ Λειτουργός.

¶ Δεηθῶμεν.

Κύριε ἐλέησον ἡμᾶς.

Χριστὲ ἐλέησον ἡμᾶς.

Κύριε ἐλέησον ἡμᾶς.

¶ Εἶτα ὁ Λειτουργός, οἱ Κληρικοί, καὶ ὁ λαὸς ἐκφωνοῦσι τὴν Κυριακὴν Προσευχήν.

ΠΑτερ ἡμῶν, ὁ ἐν τοῖς οὐρανοῖς, Ἁγιασθήτω τὸ Ὄνομά σου. Ἐλθέτω ἡ Βασιλεία σου. Γενηθήτω τὸ θέλημά σου, ὡ ἐν οὐρανῷ, καὶ ἐπὶ τῆς γῆς. Τὸν ἄρτον ἡμῶν τὸν ἐπιούσιον δὸς ἡμῖν σήμερον. Καὶ ἄφες ἡμῖν τὰ ὀφειλήματα ἡμῶν, Ὡς καὶ ἡμεῖς ἀφίεμεν τοῖς ὀφειλέταις ἡμῶν. Καὶ μὴ εἰσενέγκῃς ἡμᾶς εἰς πειρασμόν· Ἀλλὰ ῥῦσαι ἡμᾶς ἀπὸ τοῦ πονηροῦ. Ἀμήν.

¶ Εἶτα ἀνιστάμενος λέγει ὁ Ἱερεύς,

Δεῖξον ἡμῖν, Κύριε, τὸ ἔλεός σου.

Ἀπόκρισις.

Καὶ τὸ σωτήριόν σου δῴης ἡμῖν.

Ὁ Ἱερεύς.

Κύριε σῶσον τὸν Βασιλέα.

Ἀπόκρισις.

Καὶ ἐπάκουσον ἡμῶν ἐν ᾗ ἂν ἡμέρᾳ ἐπικαλεσώμεθά σε.

Ὁ Ἱερεύς.

Οἱ Ὑπηρέται σου ἐνδύσωνται δικαιοσύνην.

Ἀπόκρισις.

Καὶ οἱ ἐκλεκτοί σου ἀγαλλιάσωνται.

Ὁ Ἱερεύς.

Σῶσον τὸν λαόν σου, Κύριε.

Ἀπόκρισις.

Καὶ εὐλόγησον τὴν κληρονομίαν σου.

Ὁ Ἱερεύς.

Δὸς εἰρήνην ἐν ταῖς ἡμέραις ἡμῶν, Κύριε.

Ἀπόκρισις.

Διότι οὐκ ἔστιν ἄλλος ὁ ὑπερμαχῶν ἡμῶν, εἰ μὴ σὺ μόνος, ὁ Θεός.

Η ΕΣΠΕΡΙΝΗ ΑΚΟΛΟΥΘΙΑ

Ὁ Ἱερεύς.

Καρδίαν καθαρὰν κτίσον ἐν ἡμῖν, Θεέ.

Ἀπόκρισις.

Καὶ τὸ Πνεῦμα τὸ ἅγιόν σου μὴ ἀντανέλῃς ἀφ' ἡμῶν.

¶ Εἶτα ἐπισυνάπτονται Εὐχαὶ τρεῖς· Ἡ πρώτη τῆς ἡμέρας· Ἡ δευτέρα ὑπὲρ Εἰρήνης· Ἡ τρίτη ὑπὲρ βοηθείας κατὰ παντὸς κινδύνου, ὡς ἀμέσως ἕπονται· Ἐξ ὧν αἱ δύο τελευταῖαι Εὐχαὶ ἀναγινώσκονται καθ' ἑκάστην ἡμέραν κατὰ τὴν Ἑσπερινὴν Ἀκολουθίαν ἄνευ μεταβολῆς τινός.

¶ Εὐχὴ δευτέρα κατὰ τὴν Ἑσπερινὴν Ἀκολουθίαν.

Ὁ Θεός, παρ' οὗ πᾶσαι αἱ ἀγαθαὶ ἐπιθυμίαι, πάντα τὰ ὀρθὰ διανοήματα, καὶ πάντα τὰ δίκαια ἔργα· Δὸς τοῖς δούλοις σου τὴν εἰρήνην ἣν ἀδυνατεῖ ὁ κόσμος δοῦναι, ἵνα αἱ καρδίαι ἡμῶν ταῖς ἐντολαῖς σου ὦσι προσκείμεναι, καί, ἀρθέντος τοῦ φόβου τῶν ἐχθρῶν ἡμῶν, διὰ τῆς σῆς ὑπερασπίσεως τὸν βίον ἡμῶν ἐν ἠρεμίᾳ καὶ ἡσυχίᾳ διάγωμεν, διὰ τὴν ἀξιομισθίαν τοῦ Σωτῆρος ἡμῶν Ἰησοῦ Χριστοῦ. Ἀμήν.

¶ Εὐχὴ τρίτη ὑπὲρ Βοηθείας κατὰ παντὸς κινδύνου.

ΦΩτισον τὴν σκοτίαν ἡμῶν, δεόμεθά σου, Κύριε, καὶ διὰ τὸ πολὺ ἔλεός σου διαφύλαξον ἡμᾶς ἀπὸ παντὸς κινδύνου καὶ περιστάσεως τῆς νυκτὸς ταύτης, διὰ τὴν ἀγάπην τοῦ μονογενοῦς σου Υἱοῦ, τοῦ Σωτῆρος ἡμῶν Ἰησοῦ Χριστοῦ. Ἀμήν.

¶ Ἐν Χοροῖς καὶ ἐάν που ψάλληται, ἐνταῦθα ἕπεται τὸ λεγόμενον Ἀντίφωνον.

¶ Εὐχὴ ὑπὲρ τῆς Βασιλικῆς Μεγαλειότητος.

ΚΥριε, ὁ Πατὴρ ἡμῶν ὁ ἐπουράνιος, ὕψιστε καὶ κραταιέ, Βασιλεῦ τῶν βασιλευόντων, Κύριε τῶν κυριευόντων, ὁ μόνος Δυνάστης ἀρχόντων, ὁ ἀπὸ τοῦ θρόνου σου ἐπιβλέπων ἐπὶ πάντας τοὺς κατοικοῦντας τὴν γῆν· προθυμότατα παρακα-

λοῦμέν σε, ἵλεως ἐπίβλεψον ἐπὶ τὸν εὐμενέστατον Κυρίαρχον Δεσπότην ἡμῶν τὸν Βασιλέα ΓΕΩΡΓΙΟΝ, καὶ οὕτως αὐτὸν ἔμπλησον τῆς χάριτος τοῦ ἁγίου σου Πνεύματος, ὥστε διαπαντὸς τῷ θελήματί σου ὑποκλίνειν αὐτόν, καὶ ἐν τῇ ὁδῷ σου περιπατεῖν· Ἔνδυσον αὐτὸν ἀφθόνως δῶρα οὐράνια, χάρισαι αὐτῷ ἐν ὑγείᾳ καὶ εὐθηνίᾳ μακροημερεύειν, κατίσχυσον αὐτὸν εἰς τὸ κατανικῆσαι καὶ καταβαλεῖν πάντας τοὺς ἐχθροὺς αὐτοῦ· καὶ ἐπὶ τέλους μετὰ τοῦτον τὸν βίον, αἰωνίου ἐφικέσθαι χαρᾶς καὶ μακαριότητος, διὰ Ἰησοῦ Χριστοῦ τοῦ Κυρίου ἡμῶν. Ἀμήν.

¶ Εὐχὴ ὑπὲρ τῆς Βασιλικῆς Οἰκογενείας.

ὉΘεὸς ὁ Παντοκράτωρ, ἡ πηγὴ πάσης τῆς ἀγαθωσύνης, ταπεινῶς δεόμεθά σου, εὐλόγησον τὴν εὐμενῆ Βασίλισσαν ἡμῶν ΜΑΡΙΑΝ, τὴν Χήραν Βασίλισσαν Ἀλεξάνδραν, Ἐδουάρδον τὸν Πρίγκιπα τῆς Οὐαλλίας, καὶ ἅπασαν τὴν Βασιλικὴν Οἰκογένειαν· Ἔνδυσον αὐτοὺς τὸ ἅγιόν σου Πνεῦμα· πλούτισον αὐτοὺς τῇ οὐρανίῳ σου χάριτι· εὐόδωσον αὐτοὺς πάσῃ εὐδαιμονίᾳ· καὶ ἐπάγαγε αὐτοὺς ἐπὶ τὴν ἀπέραντόν σου βασιλείαν, διὰ Ἰησοῦ Χριστοῦ τοῦ Κυρίου ἡμῶν. Ἀμήν.

¶ Εὐχὴ ὑπὲρ τοῦ Κλήρου καὶ τοῦ Λαοῦ.

ὉΘεὸς ὁ Παντοκράτωρ καὶ αἰώνιος, ὁ ποιῶν θαυμάσια μεγάλα μόνος, κατάπεμψον ἐπὶ τοὺς Ἐπισκόπους καὶ τοὺς Ἐφημερίους ἡμῶν, καὶ ἐπὶ πάντα τὰ αὐτοῖς ἐμπεπιστευμένα Ποίμνια, τὸ σωτήριον Πνεῦμα τῆς χάριτός σου· καὶ ἵνα σοι ἀληθινῶς εὐαρεστήσωσιν, ἐπίχεον αὐτοῖς συνεχῶς τὴν δρόσον τῆς εὐλογίας σου. Τοῦτο παράσχου, Κύριε, εἰς τιμὴν τοῦ Παρακλήτου καὶ Μεσίτου ἡμῶν Ἰησοῦ Χριστοῦ. Ἀμήν.

¶ Εὐχὴ τοῦ Ἁγίου Χρυσοστόμου.

Ὁ Θεὸς ὁ Παντοκράτωρ, ὁ τὰς κοινὰς ταύτας καὶ συμφώνους ἡμῖν χαρισάμενος προσευχάς, ὁ καὶ δυσὶ καὶ τρισὶ συμφωνοῦσιν ἐπὶ τῷ Ὀνόματί σου, τὰς αἰτήσεις παρέχειν ἐπαγγειλάμενος· Αὐτὸς καὶ νῦν, Κύριε, τῶν δούλων σου τὰ αἰτήματα πρὸς τὸ συμφέρον πλήρωσον, χορηγῶν ἡμῖν ἐν τῷ παρόντι αἰῶνι τὴν ἐπίγνωσιν τῆς σῆς ἀληθείας, καὶ ἐν τῷ μέλλοντι ζωὴν αἰωνίαν χαριζόμενος. Ἀμήν.

Β′ πρὸς Κορινθίους ΙΓ′.

Ἡ Χάρις τοῦ Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ, καὶ ἡ ἀγάπη τοῦ Θεοῦ, καὶ ἡ κοινωνία τοῦ Ἁγίου Πνεύματος, μετὰ πάντων ἡμῶν εἰς τοὺς αἰῶνας. Ἀμήν.

Ἐνταῦθα τελευτᾷ ἡ Ἑσπερινὴ Ἀκολουθία δι' ὅλου τοῦ ἐνιαυτοῦ.

¶ *Κατὰ ταύτας τὰς Ἑορτάς· τὰς τῶν Χριστουγέννων, τῶν Θεοφανείων, τοῦ ἁγίου Ἀποστόλου Ματθίου, τοῦ Πάσχα, τῆς Ἀναλήψεως, τῆς Πεντηκοστῆς, τοῦ ἁγίου Βαπτιστοῦ Ἰωάννου, τοῦ ἁγίου Ἀποστόλου Ἰακώβου, τοῦ ἁγίου Ἀποστόλου Βαρθολομαίου, τοῦ ἁγίου Ἀποστόλου Ματθαίου, τῶν ἁγίων Ἀποστόλων Σίμωνος καὶ Ἰούδα, τοῦ ἁγίου Ἀποστόλου Ἀνδρέου, καὶ κατὰ τὴν Κυριακὴν τῆς ἁγίας Τριάδος, κατὰ τὴν Πρωινὴν Ἀκολουθίαν ἀντὶ τοῦ Ἀποστολικοῦ Συμβόλου ψάλλεται ἢ ἀναγινώσκεται παρὰ τοῦ Λειτουργοῦ καὶ τοῦ Λαοῦ, ἱσταμένων, ἡ ἐφεξῆς Ὁμολογία τῆς Χριστιανικῆς ἡμῶν Πίστεως, τὸ κοινῶς λεγόμενον Σύμβολον τοῦ ἁγίου Ἀθανασίου.*

ὍΣτις θέλει σωθῆναι : πρὸ πάντων χρὴ αὐτῷ τὴν Καθολικὴν κρατῆσαι Πίστιν. *Quicunque vult.*

Ἣν εἰ μή τις σῴαν καὶ ἄμωμον τηρήσειεν : ἄνευ δισταγμοῦ εἰς τὸν αἰῶνα ἀπολεῖται.

Πίστις δὲ Καθολικὴ αὕτη ἐστίν : ἵνα ἕνα Θεὸν σεβώμεθα ἐν Τριάδι, καὶ Τριάδα ἐν Μονάδι·

Μήτε συγχέοντες τὰς ὑποστάσεις : μήτε τὴν οὐσίαν μερίζοντες.

Ἄλλη γάρ ἐστιν ὑπόστασις τοῦ Πατρός, ἄλλη τοῦ Υἱοῦ : καὶ ἄλλη τοῦ Ἁγίου Πνεύματος.

Ἀλλὰ τοῦ Πατρός, καὶ τοῦ Υἱοῦ, καὶ τοῦ Ἁγίου Πνεύματος μία ἐστὶν ἡ Θεότης : ἴση ἡ Δόξα, συναΐδιος ἡ Μεγαλειότης.

Οἷος ὁ Πατήρ, τοιοῦτος ὁ Υἱός : τοιοῦτο καὶ τὸ Πνεῦμα τὸ Ἅγιον.

Ἄκτιστος ὁ Πατήρ, ἄκτιστος ὁ Υἱός : ἄκτιστον καὶ τὸ Πνεῦμα τὸ Ἅγιον.

Ἀκατάληπτος ὁ Πατήρ, ἀκατάληπτος ὁ Υἱός : ἀκατάληπτον καὶ τὸ Πνεῦμα τὸ Ἅγιον.

Αἰώνιος ὁ Πατήρ, αἰώνιος ὁ Υἱός : αἰώνιον καὶ τὸ Πνεῦμα τὸ Ἅγιον.

Πλὴν οὐ τρεῖς αἰώνιοι : ἀλλ' εἷς αἰώνιος.

Ὥσπερ οὐ τρεῖς ἀκατάληπτοι, οὐδὲ τρεῖς ἄκτιστοι : ἀλλ' εἷς ἄκτιστος, καὶ εἷς ἀκατάληπτος.

Ὁμοίως Παντοκράτωρ ὁ Πατήρ, Παντοκράτωρ ὁ Υἱός : Παντοκράτορ καὶ τὸ Πνεῦμα τὸ Ἅγιον.

Πλὴν οὐ τρεῖς Παντοκράτορες : ἀλλ' εἷς Παντοκράτωρ.

Οὕτως Θεὸς ὁ Πατήρ, Θεὸς ὁ Υἱός : Θεὸς τὸ Πνεῦμα τὸ Ἅγιον.

Πλὴν οὐ τρεῖς Θεοί : ἀλλ' εἷς Θεός.

Ὡσαύτως Κύριος ὁ Πατήρ, Κύριος ὁ Υἱός : Κύριον καὶ τὸ Πνεῦμα τὸ Ἅγιον·

Πλὴν οὐ τρεῖς Κύριοι : ἀλλ' εἷς Κύριος.

Ὅτι ὥσπερ μοναδικῶς ἑκάστην ὑπόστασιν Θεὸν καὶ Κύριον ὁμολογεῖν : Χριστιανικῇ ἀληθείᾳ ἀναγκαζόμεθα·

Οὕτω τρεῖς Θεούς, ἢ τρεῖς Κυρίους λέγειν : Καθολικῇ Εὐσεβείᾳ κωλυόμεθα.

Ὁ Πατὴρ ἀπ' οὐδενός ἐστι πεποιημένος : οὔτε δεδημιουργημένος, οὔτε γεγεννημένος.

Ὁ Υἱὸς ἀπὸ μόνου τοῦ Πατρός ἐστιν : οὐ πεποιημένος, οὐδὲ δεδημιουργημένος, ἀλλὰ γεγεννημένος.

Τὸ Πνεῦμα τὸ Ἅγιον ἀπὸ τοῦ Πατρὸς καὶ τοῦ Υἱοῦ : οὐ πεποιημένον, οὔτε δεδημιουργημένον, οὔτε γεγεννημένον, ἀλλ' ἐκπορευτόν.

Εἷς οὖν ἐστὶ Πατήρ, οὐ τρεῖς Πατέρες· εἷς Υἱός, οὐ τρεῖς Υἱοί : ἓν Πνεῦμα Ἅγιον, οὐ τρία Πνεύματα Ἅγια.

Καὶ ἐν ταύτῃ τῇ Τριάδι οὐδὲν πρότερον, ἢ ὕστερον : οὐδὲν μεῖζον, ἢ ἔλαττον·

Ἀλλ' ὅλαι αἱ τρεῖς ὑποστάσεις συνδιαιωνίζουσαι ἑαυταῖς εἰσί : καὶ ἴσαι.

Ὥστε κατὰ πάντα, ὡς προείρηται : καὶ Μονὰς λατρευτέα ἐστὶν ἐν Τριάδι,καὶ Τριὰς ἐν Μονάδι.

Ὁ θέλων οὖν σωθῆναι : οὕτω περὶ τῆς Τριάδος φρονείτω.

Πλήν, ἀναγκαῖον ἔτι ἐστὶ πρὸς αἰωνίαν σωτηρίαν : ὅπως καὶ τὴν Ἐνανθρώπησιν τοῦ Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ ὀρθῶς πιστεύῃ.

Ἔστιν οὖν Πίστις ὀρθὴ ἵνα πιστεύωμεν καὶ ὁμολογῶμεν : ὅτι ὁ Κύριος ἡμῶν Ἰησοῦς Χριστός, ὁ τοῦ Θεοῦ Υἱός, καὶ Θεὸς καὶ Ἄνθρωπός ἐστι·

Θεὸς ἐκ τῆς οὐσίας τοῦ Πατρός, πρὸ αἰώνων γεννηθείς : καὶ Ἄνθρωπος ἐκ τῆς οὐσίας τῆς Μητρός, ἐν αἰῶνι γεννηθείς·

Τέλειος Θεός, καὶ τέλειος Ἄνθρωπος : ἐκ ψυχῆς λογικῆς καὶ ἀνθρωπίνης σαρκὸς ὑποστάς·

Ἴσος τῷ Πατρί, κατὰ τὴν Θεότητα : ἐλάττων τοῦ Πατρός, κατὰ τὴν Ἀνθρωπότητα.

Ὃς εἰ καὶ Θεὸς ὑπάρχει, καὶ Ἄνθρωπος : ὅμως οὐ δύο, ἀλλ' εἷς ἐστὶ Χριστός·

Εἷς δέ, οὐ τροπῇ Θεότητος εἰς σάρκα : ἀλλὰ προσλήψει Ἀνθρωπότητος εἰς Θεότητα·

Εἷς πάντως, οὐ συγχύσει οὐσίας : ἀλλ' ἑνότητι ὑποστάσεως.

Ὥσπερ γὰρ ψυχὴ λογικὴ καὶ σὰρξ εἷς ἐστὶν ἄνθρωπος : οὕτω Θεὸς καὶ Ἄνθρωπος εἷς ἐστὶ Χριστός.

Ὁ παθὼν διὰ τὴν ἡμετέραν σωτηρίαν : κατελθὼν εἰς τὸν ᾅδην, τῇ τρίτῃ ἡμέρᾳ ἀναστὰς ἐκ τῶν νεκρῶν.

Ἀνελθὼν εἰς τοὺς οὐρανούς, καθήμενος ἐκ δεξιῶν τοῦ Θεοῦ καὶ Πατρὸς τοῦ Παντοκράτορος : ὅθεν ἐλεύσεται κρῖναι ζῶντας καὶ νεκρούς.

Οὗ τῇ παρουσίᾳ πάντες ἄνθρωποι ἀναστήσονται σὺν τοῖς σώμασιν αὐτῶν : καὶ περὶ τῶν ἰδίων ἔργων ἀποδώσουσι λόγον.

Καὶ οἱ μὲν τὰ ἀγαθὰ πράξαντες πορεύσονται εἰς ζωὴν αἰώνιον : οἱ δὲ τὰ φαῦλα εἰς πῦρ αἰώνιον.

Αὕτη ἐστὶν ἡ Καθολικὴ Πίστις : ἣν εἰ μή τις πιστῶς πιστεύσῃ, σωθῆναι οὐ δυνήσεται.

Δόξα τῷ Πατρί, καὶ τῷ Υἱῷ : καὶ τῷ Ἁγίῳ Πνεύματι.

Ὥσπερ ἐν ἀρχῇ, καὶ νῦν, καὶ ἀεί : καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

¶ Ἐνταῦθα ἕπεται ἡ Λιτανεία, ἤτοι γενικὴ Ἱκεσία, ψαλλομένη ἢ ἀναγινωσκομένη μετὰ τὴν Πρωινὴν Ἀκολουθίαν καθ' ἑκάστην Κυριακὴν καὶ Τετάρτην καὶ Παρασκευήν, καὶ ἄλλοτε ὁπόταν κελεύσῃ ὁ Ὀρδινάριος.

ΠΑτερ ἐξ οὐρανῶν Θεέ : ἐλέησον ἡμᾶς τοὺς ἐλεεινοὺς ἁμαρτωλούς.

Πάτερ ἐξ οὐρανῶν Θεέ : ἐλέησον ἡμᾶς τοὺς ἐλεεινοὺς ἁμαρτωλούς.

Υἱέ, Λυτρωτὰ τοῦ κόσμου, Θεέ : ἐλέησον ἡμᾶς τοὺς ἐλεεινοὺς ἁμαρτωλούς.

Υἱέ, Λυτρωτὰ τοῦ κόσμου, Θεέ : ἐλέησον ἡμᾶς τοὺς ἐλεεινοὺς ἁμαρτωλούς.

Πνεῦμα Ἅγιον, τὸ παρὰ Πατρὸς καὶ Υἱοῦ ἐκπορευόμενον, Θεέ : ἐλέησον ἡμᾶς τοὺς ἐλεεινοὺς ἁμαρτωλούς.

Πνεῦμα Ἅγιον, τὸ παρὰ Πατρὸς καὶ Υἱοῦ ἐκπορευόμενον, Θεέ : ἐλέησον ἡμᾶς τοὺς ἐλεεινοὺς ἁμαρτωλούς.

Παναγία, μακαρία καὶ ἔνδοξε Τριάς, τρεῖς ὑποστάσεις, εἷς Θεός : ἐλέησον ἡμᾶς τοὺς ἐλεεινοὺς ἁμαρτωλούς.

Παναγία, μακαρία καὶ ἔνδοξε Τριάς, τρεῖς ὑποστάσεις, εἷς Θεός : ἐλέησον ἡμᾶς τοὺς ἐλεεινοὺς ἁμαρτωλούς.

Μὴ μνησθῇς, Κύριε, τῶν παραπτωμάτων ἡμῶν ἢ τῶν πατέρων ἡμῶν, μήτε ἐκδικήσῃς ταῖς ἁμαρτίαις ἡμῶν· φεῖσαι ἡμῶν, Κύριε, φεῖσαι τοῦ λαοῦ σου ὃν ἐλυτρώσω τῷ πολυτίμῳ σου αἵματι, καὶ μὴ ὀργίζου ἡμῖν εἰς τέλος.

Φεῖσαι ἡμῶν, Κύριε.

Ἀπὸ παντὸς κακοῦ καὶ πάσης βλάβης, ἀπὸ ἁμαρτίας, ἀπὸ τῶν παγίδων καὶ ἐφόδων τοῦ διαβόλου, ἀπὸ τῆς σῆς ὀργῆς, καὶ ἀπὸ αἰωνίου κατακρίματος,

Ῥῦσαι ἡμᾶς, Κύριε.

Ἀπὸ πάσης πωρώσεως καρδίας· ἀπὸ τύφου, κενοδοξίας,

καὶ ὑποκρίσεως· ἀπὸ φθόνου, μίσους, καὶ μνησικακίας, καὶ πάσης ἀφιλανθρωπίας,

Ῥῦσαι ἡμᾶς, Κύριε.

Ἀπὸ πορνείας, καὶ ἁπάσης ἄλλης θανασίμου ἁμαρτίας· καὶ ἀπὸ πασῶν τῶν ἀπατῶν τοῦ κόσμου, τῆς σαρκός, καὶ τοῦ διαβόλου,

Ῥῦσαι ἡμᾶς, Κύριε.

Ἀπὸ ἀστραπῆς καὶ καταιγίδος· ἀπὸ πληγῆς, λιμοῦ, καὶ λοιμοῦ· ἀπὸ πολέμου, καὶ φόνου, καὶ ἀπὸ αἰφνιδίου θανάτου,

Ῥῦσαι ἡμᾶς, Κύριε.

Ἀπὸ πάσης στάσεως, συνωμοσίας, καὶ ἀνταρσίας· ἀπὸ πάσης ἑτεροδιδασκαλίας, αἱρέσεως, καὶ σχίσματος· ἀπὸ σκληροκαρδίας, καὶ καταφρονήσεως τοῦ Λόγου σου καὶ τῶν Ἐντολῶν σου,

Ῥῦσαι ἡμᾶς, Κύριε.

Διὰ τοῦ μυστηρίου τῆς θείας σου Ἐνσαρκώσεως· διὰ τῆς ἁγίας σου Γεννήσεως καὶ Περιτομῆς· διὰ τῆς Βαπτίσεως, τῆς Νηστείας, καὶ τοῦ Πειρασμοῦ σου,

Ῥῦσαι ἡμᾶς, Κύριε.

Διὰ τῆς Ἀγωνίας καὶ τοῦ αἱματώδους Ἱδρῶτός σου· διὰ τοῦ Σταυροῦ καὶ τοῦ Πάθους σου· διὰ τοῦ τιμίου σου Θανάτου καὶ τῆς Ταφῆς· διὰ τῆς ἐνδόξου σου Ἀναστάσεως καὶ Ἀναλήψεως· καὶ διὰ τῆς ἐλεύσεως τοῦ Ἁγίου Πνεύματος,

Ῥῦσαι ἡμᾶς, Κύριε.

Ἐν τῷ καιρῷ τῆς θλίψεως ἡμῶν· ἐν τῷ καιρῷ τῆς εὐπραγίας ἡμῶν· ἐν τῇ ὥρᾳ τοῦ θανάτου, καὶ ἐν τῇ ἡμέρᾳ τῆς κρίσεως,

Ῥῦσαι ἡμᾶς, Κύριε.

Κύριε ὁ Θεός, δεόμεθά σου οἱ ἁμαρτωλοί, ἐπάκουσον

ἡμῶν, καὶ εὐδόκησον διοικῆσαι καὶ κυβερνῆσαι τὴν ἁγίαν σου καθόλου Ἐκκλησίαν ἐν ὁδῷ εὐθείᾳ·

Δεόμεθά σου, ἐπάκουσον ἡμῶν, Κύριε.

Εὐδόκησον διαφυλάξαι καὶ ἐνισχύσαι ἐν τῇ ἀληθινῇ σου εὐσεβείᾳ, καὶ ἐν δικαιοσύνῃ καὶ ὁσιότητι τοῦ βίου, τὸν δοῦλόν σου ΓΕΩΡΓΙΟΝ, τὸν εὐμενέστατον ἡμῶν Βασιλέα καὶ Κυβερνήτην·

Δεόμεθά σου, ἐπάκουσον ἡμῶν, Κύριε.

Εὐδόκησον κυβερνῆσαι τὴν καρδίαν αὐτοῦ ἐν τῇ σῇ πίστει, εὐλαβείᾳ, καὶ ἀγάπῃ, καὶ ἵνα πεποιθὼς ᾖ ἐπὶ σοὶ διαπαντός, καὶ πάντοτε ἐπιζητῇ τὴν τιμὴν καὶ δόξαν σου·

Δεόμεθά σου, ἐπάκουσον ἡμῶν, Κύριε.

Εὐδόκησον αὐτοῦ εἶναι ὑπερασπιστὴς καὶ φύλαξ, χαριζόμενος αὐτῷ νίκην κατὰ πάντων τῶν ἐχθρῶν αὐτοῦ·

Δεόμεθά σου, ἐπάκουσον ἡμῶν, Κύριε.

Εὐδόκησον εὐλογῆσαι καὶ διαφυλάξαι τὴν εὐμενῆ ἡμῶν Βασίλισσαν ΜΑΡΙΑΝ, τὴν Χήραν Βασίλισσαν Ἀλεξάνδραν, Ἐδουάρδον τὸν Πρίγκιπα τῆς Οὐαλλίας, καὶ ἅπασαν τὴν Βασιλικὴν Οἰκογένειαν·

Δεόμεθά σου, ἐπάκουσον ἡμῶν, Κύριε.

Εὐδόκησον φωτίσαι πάντας τοὺς Ἐπισκόπους, τοὺς Πρεσβυτέρους, καὶ τοὺς Διακόνους ἀληθινῇ τῇ ἐπιγνώσει καὶ τῇ συνέσει τοῦ Λόγου σου· καὶ ἵνα διὰ τῆς διδαχῆς καὶ τῆς ἀναστροφῆς αὐτῶν καταγγέλλωσιν αὐτόν, καὶ δείξωσιν αὐτὸν καταλλήλως·

Δεόμεθά σου, ἐπάκουσον ἡμῶν, Κύριε.

Εὐδόκησον τοὺς βασιλικοὺς Συμβούλους, καὶ τοὺς Εὐγενεῖς πάντας, ἐνδῦσαι χάριν καὶ σοφίαν καὶ σύνεσιν·

Δεόμεθά σου, ἐπάκουσον ἡμῶν, Κύριε.

Εὐδόκησον εὐλογῆσαι καὶ διατηρῆσαι τοὺς Ἄρχοντας, παρέχων αὐτοῖς χάριν εἰς τὸ ἀπονέμειν τὸ δίκαιον, καὶ εἰς τὸ διαφυλάσσειν τὴν ἀλήθειαν·

Δεόμεθά σου, ἐπάκουσον ἡμῶν, Κύριε.

Εὐδόκησον εὐλογῆσαι καὶ διαφυλάξαι πάντα τὸν λαόν σου·

Δεόμεθά σου, ἐπάκουσον ἡμῶν, Κύριε.

Εὐδόκησον πᾶσιν ἔθνεσι χαρίσασθαι ἑνότητα, εἰρήνην, καὶ ὁμόνοιαν·

Δεόμεθά σου, ἐπάκουσον ἡμῶν, Κύριε.

Εὐδόκησον καρδίαν ἡμῖν δοῦναι τοῦ ἀγαπᾷν καὶ φοβεῖσθαι Σέ, καὶ ἀναστρέφεσθαι ἐπιμελῶς κατὰ τὰς ἐντολάς σου·

Δεόμεθά σου, ἐπάκουσον ἡμῶν, Κύριε.

Εὐδόκησον δοῦναι παντὶ τῷ λαῷ σου τὴν αὔξησιν τῆς χάριτος, εἰς τὸ ἀκούειν τὸν Λόγον σου μετὰ ταπεινοφροσύνης, καὶ ἀποδέξασθαι αὐτὸν μετὰ καθαρᾶς διαθέσεως, καὶ ἀπενεγκεῖν τοὺς καρποὺς τοῦ Πνεύματος·

Δεόμεθά σου, ἐπάκουσον ἡμῶν, Κύριε.

Εὐδόκησον πεπλανημένους καὶ ἐξηπατημένους πάντας ἐπαναγαγεῖν εἰς τὴν ὁδὸν τῆς ἀληθείας·

Δεόμεθά σου, ἐπάκουσον ἡμῶν, Κύριε.

Εὐδόκησον τοὺς ἑστῶτας βεβαιῶσαι, καὶ τοὺς ὀλιγοψύχους παραμυθήσασθαι καὶ βοηθῆσαι, καὶ τοὺς καταρασσομένους ἀνορθῶσαι, καὶ ἐν τέλει τὸν Σατανᾶν ὑπὸ τοὺς πόδας ἡμῶν συντρίψαι·

Δεόμεθά σου, ἐπάκουσον ἡμῶν, Κύριε.

Εὐδόκησον βοηθῆσαι, ἀντιλαβέσθαι καὶ παραμυθήσασθαι πάντας τοὺς ἐν κινδύνῳ, θλίψει καὶ ἀνάγκῃ ὄντας·

Δεόμεθά σου, ἐπάκουσον ἡμῶν, Κύριε.

Εὐδόκησον διασῶσαι πάντας τοὺς ὁδοιποροῦντας καὶ πλέοντας, πάσας τὰς γυναῖκας τὰς ὠδίνουσας, πάντας τοὺς νοσοῦντας καὶ τοὺς νηπίους, καὶ ἔλεος ποιῆσαι μετὰ πάντων τῶν δεσμωτῶν καὶ αἰχμαλώτων·

Δεόμεθά σου, ἐπάκουσον ἡμῶν, Κύριε.

Εὐδόκησον ἀναλήψασθαι τοὺς ὀρφανούς, καὶ τὰς χήρας, καὶ πάντας τοὺς μεμονωμένους καὶ θλιβομένους, καὶ προνοῆσαι ὑπὲρ αὐτῶν·

Δεόμεθά σου, ἐπάκουσον ἡμῶν, Κύριε.

Εὐδόκησον ἐλεῆσαι πάντας ἀνθρώπους·

Δεόμεθά σου, ἐπάκουσον ἡμῶν, Κύριε.

Εὐδόκησον συγχωρῆσαι τοῖς ἐχθροῖς, διώκταις καὶ βλασφήμοις ἡμῶν, καὶ τὰς καρδίας αὐτῶν ἐπιστρέψαι·

Δεόμεθά σου, ἐπάκουσον ἡμῶν, Κύριε.

Εὐδόκησον δοῦναι καὶ συντηρῆσαι εἰς τὴν χρῆσιν ἡμῶν τοὺς φυσικοὺς καρποὺς τῆς γῆς, ὅπως ἐν εὐκαιρίᾳ ἀπολαύσωμεν αὐτῶν·

Δεόμεθά σου, ἐπάκουσον ἡμῶν, Κύριε.

Εὐδόκησον χαρίσασθαι ἡμῖν ἀληθινὴν μετάνοιαν, καὶ πάσας ἡμῖν ἀφιέναι τὰς ἁμαρτίας, τὰς ἀμελείας καὶ τὰ ἀγνοήματα ἡμῶν, καὶ ἐνδῦσαι ἡμᾶς τὴν χάριν τοῦ ἁγίου σου Πνεύματος, εἰς τὸ ἐπανορθῶσαι τὸν βίον κατὰ τὸν ἅγιόν σου Λόγον·

Δεόμεθά σου, ἐπάκουσον ἡμῶν, Κύριε.

Υἱὲ Θεοῦ : δεόμεθά σου, ἐπάκουσον ἡμῶν.

Υἱὲ Θεοῦ : δεόμεθά σου, ἐπάκουσον ἡμῶν.

Ὁ Ἀμνὸς τοῦ Θεοῦ : ὁ αἴρων τὰς ἁμαρτίας τοῦ κόσμου·

Δὸς ἡμῖν τὴν σὴν εἰρήνην.

Ὁ Ἀμνὸς τοῦ Θεοῦ : ὁ αἴρων τὰς ἁμαρτίας τοῦ κόσμου·

Ἐλέησον ἡμᾶς.

Χριστέ, ἐπάκουσον ἡμῶν.
　Χριστέ, ἐπάκουσον ἡμῶν.
Κύριε, ἐλέησον ἡμᾶς.
　Κύριε, ἐλέησον ἡμᾶς.
Χριστέ, ἐλέησον ἡμᾶς.
　Χριστέ, ἐλέησον ἡμᾶς.
Κύριε, ἐλέησον ἡμᾶς.
　Κύριε, ἐλέησον ἡμᾶς.

¶ Εἶτα λέγει ὁ Ἱερεύς, καὶ μετ' αὐτοῦ ὁ λαός, τὴν Κυριακὴν Προσευχήν.

ΠΑτερ ἡμῶν, ὁ ἐν τοῖς οὐρανοῖς, Ἁγιασθήτω τὸ Ὄνομά σου. Ἐλθέτω ἡ Βασιλεία σου. Γενηθήτω τὸ θέλημά σου, ὡς ἐν οὐρανῷ, καὶ ἐπὶ τῆς γῆς. Τὸν ἄρτον ἡμῶν τὸν ἐπιούσιον δὸς ἡμῖν σήμερον. Καὶ ἄφες ἡμῖν τὰ ὀφειλήματα ἡμῶν, Ὡς καὶ ἡμεῖς ἀφίεμεν τοῖς ὀφειλέταις ἡμῶν. Καὶ μὴ εἰσενέγκῃς ἡμᾶς εἰς πειρασμόν· Ἀλλὰ ῥῦσαι ἡμᾶς ἀπὸ τοῦ πονηροῦ. Ἀμήν.

Ὁ Ἱερεύς.

Κύριε, μὴ κατὰ τὰς ἁμαρτίας ἡμῶν ποιήσῃς ἡμῖν.

Ἀπόκρισις.

Μηδὲ κατὰ τὰς ἀνομίας ἡμῶν ἀνταποδώῃς ἡμῖν.

¶ Δεηθῶμεν.

Ὁ Θεός, ὁ Πατὴρ ὁ οἰκτίρμων, ὁ μὴ καταφρονῶν τῶν συντετριμμένων τοὺς στεναγμούς, καὶ τῶν θλιβομένων μὴ παρορῶν τοὺς πόθους· Αὐτὸς ἵλεως παράστηθι ταῖς προσευχαῖς ἡμῶν, ἃς ποιούμεθα ἐνώπιόν σου ἐν πάσαις ταῖς ἐν ὁποιῳδήποτε καιρῷ ἐπικειμέναις ἡμῖν θλίψεσι καὶ δυστυχίαις ἡμῶν· καὶ εὐσπλάγχνως ἐπάκουσον ἡμῶν, ἵνα καταργηθῶσι τὰ ὑπὸ τῆς διαβολικῆς ἢ ἀνθρωπίνης μεθοδείας τε καὶ πανουργίας ἐνεργούμενα καθ' ἡμῶν κακά, καὶ τῇ

προνοίᾳ τῆς ἀγαθότητός σου διασκεδασθῶσιν, ὅπως ἡμεῖς οἱ δοῦλοί σου, μηδενὶ καταβλαβέντες διωγμῷ, ἐν τῇ ἁγίᾳ σου Ἐκκλησίᾳ διαπαντὸς εὐχαριστῶμεν Σοί, διὰ τοῦ Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ. [Ἀμήν.]

Ἀνάστα, Κύριε, βοήθησον ἡμῖν, καὶ λύτρωσαι ἡμᾶς ἕνεκεν τοῦ Ὀνόματός σου.

Ὁ Θεός, ἐν τοῖς ὠσὶν ἡμῶν ἠκούσαμεν, οἱ πατέρες ἡμῶν ἀνήγγειλαν ἡμῖν, ἔργον ὃ εἰργάσω ἐν ταῖς ἡμέραις αὐτῶν, ἐν ἡμέραις ἀρχαίαις.

Ἀνάστα, Κύριε, βοήθησον ἡμῖν, καὶ λύτρωσαι ἡμᾶς ἕνεκεν τῆς δόξης σου.

Δόξα τῷ Πατρί, καὶ τῷ Υἱῷ: καὶ τῷ ἁγίῳ Πνεύματι·

Ἀπόκρισις.

Ὥσπερ ἐν ἀρχῇ, καὶ νῦν, καὶ ἀεί: καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

Ἀπὸ τῶν ἐχθρῶν ἡμῶν ῥῦσαι ἡμᾶς, Χριστέ.

Τὴν ταπείνωσιν ἡμῶν μακροθύμως ἴδε.

Τὸν πόνον τῶν καρδιῶν ἡμῶν εὐσπλάγχνως ἐπίβλεψον.

Ἵλεως σύγγνωθι ταῖς ἁμαρτίαις τοῦ λαοῦ σου.

Εὐμενῶς ἐν ἱλασμῷ ἐνώτισαι τὰς προσευχὰς ἡμῶν.

Υἱὲ Δαβίδ, ἐλέησον ἡμᾶς.

Καὶ νῦν καὶ ἀεὶ εὐδόκησον ἐπακοῦσαι ἡμῶν, Χριστέ.

Οἰκτιρμόνως ἐπάκουσον ἡμῶν, Χριστέ· οἰκτιρμόνως ἐπάκουσον ἡμῶν, Δέσποτα Χριστέ.

Ὁ Ἱερεύς.

Γένοιτο, Κύριε, τὸ ἔλεός σου ἐφ' ἡμᾶς.

Ἀπόκρισις.

Καθάπερ ἠλπίσαμεν ἐπὶ Σέ.

Η ΛΙΤΑΝΕΙΑ

Δεηθῶμεν.

ΤΑπεινῶς δεόμεθά σου, Πάτερ, ἵλεως ἐπίβλεψον ἐπὶ τὴν ἀσθένειαν ἡμῶν· καὶ ἕνεκεν τῆς δόξης τοῦ Ὀνόματός σου, ἀπόστρεψον ἀφ' ἡμῶν πᾶν κακὸν οὗ ἡμεῖς δικαιότατά ἐσμεν ἄξιοι· καὶ παράσχου ἡμῖν, ἐν πάσῃ θλίψει ἡμῶν ὅλως ἐπὶ τῷ σῷ ἐλέει πεποιθέναι, καὶ διαπαντὸς λατρεύειν σοι ἐν ὁσιότητι καὶ καθαρότητι τοῦ βίου ἡμῶν, εἰς τὴν σὴν τιμὴν καὶ δόξαν, διὰ τοῦ μόνου ἡμῶν Μεσίτου καὶ Παρακλήτου, τοῦ Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ. Ἀμήν.

¶ Εὐχὴ τοῦ ἁγίου Χρυσοστόμου.

Ὁ Θεὸς ὁ Παντοκράτωρ, ὁ τὰς κοινὰς ταύτας καὶ συμφώνους ἡμῖν χαρισάμενος προσευχάς, ὁ καὶ δυσὶ καὶ τρισὶ συμφωνοῦσιν ἐπὶ τῷ Ὀνόματί σου, τὰς αἰτήσεις παρέχειν ἐπαγγειλάμενος· Αὐτὸς καὶ νῦν, Κύριε, τῶν δούλων σου τὰ αἰτήματα πρὸς τὸ συμφέρον πλήρωσον, χορηγῶν ἡμῖν ἐν τῷ παρόντι αἰῶνι τὴν ἐπίγνωσιν τῆς σῆς ἀληθείας, καὶ ἐν τῷ μέλλοντι ζωὴν αἰώνιον. Ἀμήν.

¶ Β' πρὸς Κορινθίους ΙΓ'.

Ἡ Χάρις τοῦ Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ, καὶ ἡ ἀγάπη τοῦ Θεοῦ, καὶ ἡ κοινωνία τοῦ ἁγίου Πνεύματος μετὰ πάντων ἡμῶν εἰς τοὺς αἰῶνας. Ἀμήν.

Ἐνταῦθα τελευτᾷ ἡ Λιτανεία.

ΔΙΑΦΟΡΟΙ ΕΥΧΑΙ ΚΑΙ ΕΥΧΑΡΙΣΤΙΑΙ

ἀναγινωσκόμεναι πρὸ τῶν δύο τελευταίων Εὐχῶν τῆς Λιτανείας, ἢ τῆς Πρωινῆς καὶ τῆς Ἑσπερινῆς Ἀκολουθίας.

ΕΥΧΑΙ

¶ Ἐπὶ Ἀνομβρίας.

Ὁ Θεὸς ὁ ἐπουράνιος Πατήρ, ὁ διὰ τοῦ Υἱοῦ σου Ἰησοῦ Χριστοῦ πᾶσι τοῖς ζητοῦσι τὴν Βασιλείαν σου καὶ τὴν δικαιοσύνην αὐτῆς πάντα τὰ ἀναγκαῖα τῇ σωματικῇ αὐτῶν διατροφῇ ἐπαγγειλάμενος· Αὐτὸς κατάπεμψον ἡμῖν, δεόμεθά σου, ἐν τῇ παρούσῃ ἡμῶν ἀνάγκῃ, τοιοῦτον ὑετὸν μέτριον καὶ ὄμβρους, ὥστε ἀπολαβεῖν ἡμᾶς τοὺς καρποὺς τῆς γῆς εἰς παραμυθίαν ἡμετέραν, καὶ εἰς τὴν σὴν τιμήν, διὰ Ἰησοῦ Χριστοῦ τοῦ Κυρίου ἡμῶν. Ἀμήν.

¶ Ἐπὶ Πολυομβρίας.

Παντοκράτορ Κύριε ὁ Θεός, ὁ ποτὲ διὰ τὰς ἁμαρτίας τῶν ἀνθρώπων τὸν κόσμον πάντα ἐκτὸς ὀκτὼ ψυχῶν κατακλύσας, καὶ μετέπειτα διὰ τὸ μέγα σου ἔλεος ἐπαγγειλάμενος μηδέποτε πάλιν αὐτὸν οὕτως ἀπολέσαι· Ταπεινῶς δεόμεθά σου, ἵνα εἰ καὶ διὰ τὰς ἀνομιας ἡμῶν ἄξιοί ἐσμεν ἐπιδημίας ὄμβρου καὶ ὑδάτων, ἀλλ' ἐπὶ τῇ ἀληθινῇ ἡμῶν μετανοίᾳ παράσχῃς ἡμῖν εὐκρασίαν ἀέρων, ὥστε τοὺς καρποὺς τῆς γῆς ἐν εὐκαιρίᾳ ἀπολαβεῖν, καὶ μαθεῖν διὰ τῆς σῆς τιμωρίας τὸν βίον διορθώσασθαι, καὶ ὑπὲρ τῆς χρηστότητός σου ἀποδοῦναί σοι αἶνον καὶ δόξαν, διὰ Ἰησοῦ Χριστοῦ τοῦ Κυρίου ἡμῶν. Ἀμήν.

¶ Ἐπὶ Αὐχμῷ καὶ Λιμῷ.

Ὁ Θεὸς ὁ ἐπουράνιος Πατήρ, οὗτινος δώρημά ἐστιν ὅτι καταπίπτει ὁ ὑετός, καρποφορεῖ ἡ γῆ, αὐξάνεται τὰ θηρία, καὶ πληθύνονται οἱ ἰχθύες· Αὐτὸς ἐπίβλεψον,

δυσωποῦμέν σε, ἐπὶ τὴν θλῖψιν τοῦ λαοῦ σου, καὶ παράσχου ἵνα ὁ λιμὸς καὶ αὐχμός (ὅντινα νῦν δικαιότατα διὰ τὰς ἀνομίας ἡμῶν ὑποφέρομεν) διὰ τῆς ἀγαθότητός σου εἰς εὐθηνίαν καὶ δαψίλειαν ἵλεως μεταβληθῇ, διὰ τὴν ἀγάπην τοῦ Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ, ᾧ σὺν Σοὶ καὶ τῷ ἁγίῳ Πνεύματι πᾶσα τιμὴ καὶ δόξα, νῦν καὶ εἰς τοὺς αἰῶνας. Ἀμήν.

¶ Ἡ αὕτη.

Ὁ Θεὸς ὁ Πατὴρ ὁ οἰκτίρμων, ὁ ἐπ' Ἐλισαίου τοῦ προφήτου τὸν πολὺν λιμὸν καὶ αὐχμὸν ἐν Σαμαρείᾳ αἰφνιδίως μεταβαλὼν εἰς δαψίλειαν καὶ εὐθηνίαν· Αὐτὸς ἵλεως γενοῦ ἡμῖν, ἵνα ἡμεῖς οἱ διὰ τὰς ἁμαρτίας ἡμῶν δι' ὁμοίας κολαζόμενοι νῦν δυστυχίας, παραπλησίως εὕρωμεν εὔκαιρον ἄνεσιν· Πλήθυνον τοὺς καρποὺς τῆς γῆς διὰ τῆς οὐρανίας σου εὐλογίας· καὶ παράσχου ἵνα ἡμεῖς, τὴν ἄφθονόν σου χορηγίαν δεξάμενοι, χρησώμεθα αὐτῇ εἰς τὴν σὴν δόξαν, εἰς ἀνακούφισιν τῶν δεομένων, καὶ εἰς παραμυθίαν ἡμετέραν, διὰ Ἰησοῦ Χριστοῦ τοῦ Κυρίου ἡμῶν. Ἀμήν.

¶ Ἐπὶ Πολέμῳ καὶ Ἐπαναστάσεσιν Ἐχθρῶν.

Ὁ Θεὸς ὁ Παντοκράτωρ, ὁ Βασιλεὺς πάντων τῶν βασιλευόντων, καὶ Κυβερνήτης τῶν ὅλων, οὗ τῇ δυνάμει ἀντιτάξασθαι ἀδυνατεῖ πᾶν κτίσμα, ᾧ ἀνήκει δικαίως τὸ κολάσαι τοὺς ἁμαρτωλούς, καὶ τὸ ἐλεῆσαι τοὺς ἀληθῶς μετανοοῦντας· Αὐτὸς σῶσον καὶ ῥῦσαι ἡμᾶς, ταπεινῶς δεόμεθά σου, ἐκ τῶν χειρῶν τῶν ἐχθρῶν ἡμῶν· σβέσον αὐτῶν τὴν ὑπερηφανίαν, πράϋνον τὴν μνησικακίαν, καὶ σύγχυσον τὰς ἐπιβουλάς, ἵνα ἡμεῖς, τῇ σῇ καθωπλισμένοι ὑπερασπίσει, διαφυλαχθῶμεν διαπαντὸς ἀπὸ παντὸς κινδύνου, τοῦ δοξάζειν Σὲ τὸν μόνον πάσης νίκης δοτῆρα διὰ τὴν ἀξιομισθίαν τοῦ μονογενοῦς Υἱοῦ σου, Κυρίου δὲ ἡμῶν Ἰησοῦ Χριστοῦ. Ἀμήν.

¶ Ἐπὶ κοινῷ Λοιμῷ ἢ Ἀσθενείᾳ.

Ὁ Θεὸς ὁ Παντοκράτωρ, ὁ ἐν τῇ ὀργῇ σου πληγὴν ἐξαποστείλας ἐπὶ τὸν σὸν λαὸν ἐν τῇ ἐρήμῳ διὰ τὴν κατὰ Μωσέως καὶ Ἀαρὼν αὐθάδη ἀνταρσίαν αὐτῶν, καὶ ἐπὶ Βασιλέως Δαβὶδ διὰ λοιμοῦ ἀποκτείνας ἑβδομήκοντα χιλιάδας, ἀλλὰ μνησθεὶς τοῦ ἐλέους σου τοὺς λοιποὺς διασώσας· Αὐτὸς οἰκτείρησον ἡμᾶς τοὺς ἀθλίους ἁμαρτωλοὺς τοὺς νῦν πολλῇ ἐπισκεπτομένους ἀρρωστίᾳ καὶ θανάτῳ, ἵνα καθὼς ἐν ἐκείνῳ τῷ καιρῷ ἱλασμὸν προσεδέξω, καὶ τῷ ἐξολοθρεύοντι ἐνετείλω Ἀγγέλῳ ἀπὸ κολάσεως καταπαύσασθαι, οὕτω καὶ νῦν εὐδοκήσῃς ἀφελεῖν ἀφ' ἡμῶν ταύτην τὴν πληγὴν καὶ βαρεῖαν ἀρρωστίαν, διὰ Ἰησοῦ Χριστοῦ τοῦ Κυρίου ἡμῶν. Ἀμήν.

¶ Εὐχὴ εἰς τὰς Ἑβδομάδας τῶν λεγομένων Τεσσάρων Καιρῶν καθ' ἑκάστην ἡμέραν ἀναγινωσκομένη, ὑπὲρ τῶν Χειροτονουμένων.

Θεὲ Παντοκράτορ, ὁ ἐπουράνιος Πατὴρ ἡμῶν, ὁ διὰ τοῦ τιμίου αἵματος τοῦ ἀγαπητοῦ σου Υἱοῦ Ἐκκλησίαν καθολικὴν περιποιησάμενος· αὐτὸς ἵλεως ἐπίβλεψον ἐπ' αὐτήν, καὶ οὕτως ἐν τῷ νῦν καιρῷ ὁδήγησον καὶ διεύθυνον τὰς γνώμας τῶν δούλων σου τῶν Ἐπισκόπων καὶ Ποιμένων τοῦ ποιμνίου σου, ἵνα χεῖρας ταχέως μηδενὶ ἐπιθῶσιν, ἀλλὰ πιστῶς καὶ φρονίμως ἐκλέξωσι τοὺς ἱκανοὺς λειτουργεῖν ἐν τῇ ἱερᾷ διακονίᾳ τῆς Ἐκκλησίας σου. Καὶ δὸς τὴν χάριν σου καὶ τὴν οὐρανίαν εὐλογίαν τοῖς χειροτονουμένοις εἰς πᾶν ἱερὸν ἀξίωμα, ἵνα διὰ τῆς ἀναστροφῆς καὶ τῆς διδασκαλίας αὐτῶν ἐξαγγείλωσι τὴν δόξαν σου, καὶ τὴν σωτηρίαν πάντων τῶν ἀνθρώπων προαγάγωσι, διὰ Ἰησοῦ Χριστοῦ τοῦ Κυρίου ἡμῶν. Ἀμήν.

Ἡ αὐτη.

Ὁ Θεὸς ὁ Παντοκράτωρ, ὁ πάντων τῶν ἀγαθῶν δωρεῶν χορηγός, ὁ τῇ θείᾳ σου προνοίᾳ διάφορα τάγματα ἐν

τῇ Ἐκκλησίᾳ σου καταστησάμενος· Δεόμεθά σου ταπεινῶς, δὸς τὴν χάριν σου πᾶσι τοῖς καλουμένοις εἰς ἀξίωμά τι καὶ διοίκησιν ἐν αὐτῇ· καὶ οὕτως ἔμπλησον αὐτοὺς τῆς ἀληθείας τῆς σῆς διδασκαλίας, καὶ δώρησαι αὐτοῖς βίον ἄμεμπτον, ὥστε πιστῶς ὑπηρετεῖν ἐνώπιόν σου, εἰς δόξαν τοῦ μεγάλου Ὀνόματός σου, καὶ εἰς ὠφέλειαν τῆς ἁγίας σου Ἐκκλησίας, διὰ Ἰησοῦ Χριστοῦ τοῦ Κυρίου ἡμῶν. Ἀμήν.

¶ Εὐχὴ δυναμένη ἀναγινώσκεσθαι μετὰ τὸ τέλος οἱασδήποτε τῶν προηγουμένων Εὐχῶν.

ὉΘεός, ὁ ἐκ φύσεως καὶ ἰδιότητος πάντοτε ἐλεῶν καὶ συγχωρῶν, πρόσδεξαι τὰς ταπεινὰς ἡμῶν αἰτήσεις· εἰ δὲ καὶ ἐσφιγμένοι ἐσμὲν τῇ σειρᾷ τῶν ἁμαρτιῶν ἡμῶν, ἀλλὰ δὸς ἵνα ἡ εὐσπλαγχνία τοῦ μεγάλου σου ἐλέους ἀπολύσῃ ἡμᾶς, εἰς τιμὴν τοῦ Μεσίτου καὶ Παρακλήτου ἡμῶν Ἰησοῦ Χριστοῦ. Ἀμήν.

¶ Εὐχὴ ὑπὲρ τοῦ ὑψηλοῦ Δικαστηρίου τοῦ Παρλαμέντου ἀναγινωσκομένη διαρκούσης τῆς Συνόδου αὐτῆς.

ΠΟλυέλεε Θεέ, ταπεινῶς δεόμεθά σου, ὡς ἐν γένει ὑπὲρ τοῦ Βασιλείου τούτου, οὕτως ἰδίᾳ ὑπὲρ τοῦ ὑψηλοῦ Δικαστηρίου τοῦ Παρλαμέντου, τοῦ ὑπὸ τὸν εὐσεβέστατον καὶ εὐμενέστατον Βασιλέα ἡμῶν ἐν τούτῳ τῷ καιρῷ συνελθόντος· Ἵνα εὐδοκήσῃς διευθῦναι καὶ εὐοδῶσαι πάσας τὰς διασκέψεις αὐτῶν εἰς προκοπὴν τῆς δόξης σου, εἰς ὠφέλειαν τῆς Ἐκκλησίας σου, καὶ εἰς σωτηρίαν, τιμὴν καὶ εὐημερίαν τοῦ Βασιλέως ἡμῶν καὶ τῶν Κτήσεων αὐτοῦ· ἵνα πάντα διὰ τῶν προσπαθειῶν αὐτῶν οὕτω διοικηθῶσιν καὶ καταρτισθῶσιν ἐπὶ τῶν ἀρίστων καὶ ἑδραιωτάτων θεμελίων, ὥστε εἰρήνην καὶ εὐδαιμονίαν, ἀλήθειαν καὶ δικαιοσύνην, θρησκείαν καὶ εὐσέβειαν βεβαιωθῆναι παρ' ἡμῖν εἰς πάσας τὰς γενεάς. Ταύτας καὶ τὰς λοιπὰς αὐτῶν τε καὶ ἡμῶν καὶ ὅλης τῆς Ἐκκλησίας σου ἀνάγκας ταπεινῶς

αἰτούμεθα ἐν τῷ Ὀνόματι καὶ Μεσιτείᾳ τοῦ εὐλογητοῦ Κυρίου καὶ Σωτῆρος ἡμῶν Ἰησοῦ Χριστοῦ. Ἀμήν.

¶ Εὐχὴ ὑπὲρ παντὸς εἴδους ἀνθρώπων, ἀναγινωσκομένη ὅτε οὐ διατέτακται ἵνα ἀναγνωσθῇ ἡ Λιτανεία.

Ὁ Θεός, ὁ Κτίστης καὶ Προνοητὴς παντὸς τοῦ γένους τῶν ἀνθρώπων, Ταπεινῶς δεόμεθά σου ὑπὲρ παντὸς εἴδους καὶ καταστάσεως ἀνθρώπων, ἵνα εὐδοκήσῃς γνωρίσαι ἐν αὐτοῖς τὰς ὁδούς σου, καὶ ἐν πᾶσι τοῖς ἔθνεσι τὸ σωτήριόν σου. Ἐξαιρέτως δὲ προσευχόμεθα ὑπὲρ τῆς ἀγαθῆς καταστάσεως τῆς Καθολικῆς Ἐκκλησίας· ἵνα αὐτὴ οὕτω ὁδηγηθῇ καὶ διοικηθῇ ὑπὸ τοῦ ἀγαθοῦ σου Πνεύματος, ὥστε πάντας τοὺς ἐπαγγελλομένους καὶ καλουμένους Χριστιανοὺς ἀχθῆναι εἰς τὴν ὁδὸν τῆς ἀληθείας, καὶ κατέχειν τὴν πίστιν ἐν τῇ ἑνότητι τοῦ πνεύματος, ἐν τῷ συνδέσμῳ τῆς εἰρήνης, καὶ ἐν τῇ δικαιοσύνῃ τοῦ βίου. Ἐν τέλει συνιστῶμεν τῇ πατρικῇ σου ἀγαθότητι πάντας τοὺς ὁποιωσδήποτε ταλαιπωρουμένους ἢ θλιβομένους διανοητικῶς, σωματικῶς ἢ βιωτικῶς, [*ἐν πρώτοις ὑπὲρ ὧν αἱ εὐχαὶ ἡμῶν ζητοῦνται]· ἵνα εὐδοκήσῃς παραμυθῆσαι καὶ ἀνακουφίσαι αὐτοὺς κατὰ τὰς ἰδίας αὐτῶν ἀνάγκας, χαριζόμενος αὐτοῖς ἐν τοῖς παθήμασιν αὐτῶν ὑπομονήν, καὶ ἐκ πασῶν τῶν θλίψεων αἰσίως ῥυόμενος αὐτούς. Καὶ τοῦτο αἰτούμεθα διὰ Ἰησοῦν Χριστόν. Ἀμήν.

*Τοῦτο λεκτέον ὅταν ζητήσωσί τινες τὰς τοῦ ἐκκλησιάσματος προσευχάς.

ΕΥΧΑΡΙΣΤΙΑΙ

¶ Εὐχαριστία Γενική.

Ὁ Θεὸς ὁ Παντοκράτωρ, ὁ Πατὴρ τῶν οἰκτιρμῶν, ἡμεῖς οἱ ἀνάξιοι δοῦλοί σου ἀποδίδομέν σοι ταπεινοτάτας καὶ ἐγκαρδίους εὐχαριστίας ὑπὲρ πάσης τῆς ἀγαθότητος καὶ φιλοστοργίας σου τῆς πρὸς ἡμᾶς καὶ πάντας τοὺς ἀνθρώπους γενομένης· [*ἐν πρώτοις πρὸς τοὺς θέλοντας νῦν προσενεγκεῖν σοι τοὺς αἴνους καὶ τὰς εὐχαριστίας

*Τοῦτο λεκτέον

αὐτῶν ὑπὲρ τῶν νεωστὶ αὐτοῖς χαρισθέντων ἐλέων σου]. Εὐλογοῦμέν σε ὑπὲρ τῆς κτίσεως ἡμῶν, τῆς διατηρήσεως, καὶ πασῶν τῶν τοῦ βίου τούτου εὐλογιῶν, ἀλλὰ πρὸ πάντων ὑπὲρ τῆς ἀνεκτιμήτου σου ἀγάπης πρὸς ἀπολύτρωσιν τοῦ κόσμου διὰ τοῦ Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ, ὑπὲρ τῶν μέσων τῆς χάριτος, καὶ ὑπὲρ τῆς ἐλπίδος τῆς δόξης. Καὶ δεόμεθά σου, δὸς ἡμῖν τὴν προσήκουσαν συναίσθησιν πάντων τῶν οἰκτιρμῶν σου, ἵνα αἱ καρδίαι ἡμῶν ὦσιν ἀνυποκρίτως εὐγνώμονες, καὶ ἵνα ἡμεῖς τὴν αἴνεσίν σου ἐξαγγέλλωμεν, μὴ μόνον διὰ τῶν χειλέων ἡμῶν, ἀλλὰ καὶ διὰ τῆς πολιτείας, ἀφοσιοῦντες ἑαυτοὺς τῇ λατρείᾳ σου, καὶ περιπατοῦντες ἐνώπιόν σου ἐν ὁσιότητι καὶ δικαιοσύνῃ πάσας τὰς ἡμέρας ἡμῶν, διὰ τοῦ Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ, ᾧ σὺν Σοὶ καὶ τῷ ἁγίῳ Πνεύματι πᾶσα τιμὴ καὶ δόξα εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

ὅταν τινές, ὑπὲρ ὧν ἐποιήθησαν προσευχαί, ἐπιθυμῶσι ἀποδοῦναι αἶνον.

¶ Δι' Ὄμβρους.

Ὁ Θεὸς ὁ ἐπουράνιος Πατὴρ ἡμῶν, ὁ τῇ ἵλεῳ σου προνοίᾳ ὑετὸν καταπέμπων πρώϊμον καὶ ὄψιμον ἐπὶ τὴν γῆν, ἵνα ἐξανατείλῃ τροφὴν τῇ δουλείᾳ τῶν ἀνθρώπων· Ταπεινῶς εὐχαριστοῦμέν σοι ὅτι ἐν τῇ μεγάλῃ ἀνάγκῃ ἡμῶν βροχὴν ηὐδόκησας ἑκούσιον ἐπὶ τέλους ἐξαποστεῖλαι τῇ κληρονομίᾳ σου, καὶ αὐχμηρὰν οὖσαν καταρτίσασθαι αὐτήν, εἰς πολλὴν τὴν παραμυθίαν ἡμῶν τῶν ἀναξίων δούλων σου, καὶ εἰς τὴν δόξαν τοῦ ἁγίου σου Ὀνόματος, διὰ τὰ ἐλέη σου ἐν Ἰησοῦ Χριστῷ τῷ Κυρίῳ ἡμῶν. Ἀμήν.

¶ Δι' Εὐκρασίαν Ἀέρων.

ΚΥριε ὁ Θεός, ὁ διὰ τῆς προσφάτου ἐπιδημίας ἀκρατῶν ὄμβρων καὶ ὑδάτων δικαίως ταπεινώσας ἡμᾶς, ὁ καὶ ἐν τῷ ἐλέει σου διὰ ταύτης τῆς ἐγκαίρου καὶ αἰσίας τῶν ἀέρων μεταβολῆς τὰς ψυχὰς ἡμῶν κουφίσας καὶ παραμυθησάμενος· Αἰνοῦμεν καὶ δοξάζομεν τὸ ἅγιόν σου Ὄνομα

F 2

διὰ τοῦτο τὸ ἔλεός σου, καὶ διαπαντὸς ἐξαγγελοῦμεν τὴν εὐσπλαγχνίαν σου ἀπὸ γενεᾶς εἰς γενεάν, διὰ Ἰησοῦ Χριστοῦ τοῦ Κυρίου ἡμῶν. Ἀμήν.

¶ Δι᾽ Εὐφορίαν τῶν Καρπῶν.

ΠΟλυέλεε Πάτερ, ὁ διὰ τὴν οἰκτίρμονά σου ἀγαθότητα ἐπακούσας τῶν εὐσεβῶν προσευχῶν τῆς Ἐκκλησίας σου, καὶ τὸν αὐχμὸν καὶ σπανισμὸν ἡμῶν εἰς εὐθηνίαν καὶ δαψίλειαν μεταβαλών· Ταπεινάς σοι ἀποδίδομεν εὐχαριστίας διὰ ταύτην τὴν ἐξαίρετόν σου ἀφθονίαν, δεόμενοί σου ἵνα παρατείνῃς τὴν πρὸς ἡμᾶς φιλοστοργίαν σου, ὅπως διδῷ ἡμῖν ἡ γῆ ἡμῶν τὰ γεννήματα τῶν καρπῶν αὐτῆς, εἰς τὴν σὴν δόξαν καὶ τὴν ἡμετέραν παραμυθίαν, διὰ Ἰησοῦ Χριστοῦ τοῦ Κυρίου ἡμῶν. Ἀμήν.

¶ Δι᾽ Εἰρήνην καὶ Ἀπαλλαγὴν ἀπ᾽ Ἐχθρῶν.

Ὁ Θεὸς ὁ Παντοκράτωρ, ὁ ὢν πύργος ἰσχύος καὶ ὑπερασπίσεως τοῖς δούλοις σου κατὰ τοῦ προσώπου τῶν ἐχθρῶν αὐτῶν· Αἶνον καὶ εὐχαριστίαν ἀποδίδομέν σοι ὑπὲρ τῆς ἀπαλλαγῆς ἡμῶν ἀπὸ τῶν μεγάλων καὶ προφανῶν κινδύνων δι᾽ ὧν περιεβαλλόμεθα. Ὁμολογοῦμεν ὅτι ἕνεκα τῆς σῆς ἀγαθωσύνης οὐκ ἐδόθημεν εἰς θήραν αὐτοῖς· καὶ δεόμεθά σου, ἔτι τοιαῦτα πρὸς ἡμᾶς τὰ ἐλέη σου παράτεινον, ἵνα ἡ οἰκουμένη πᾶσα γινώσκῃ ὅτι Σὺ εἶ ὁ Σωτὴρ καὶ ὁ κραταιὸς ἐλευθερωτὴς ἡμῶν, διὰ Ἰησοῦ Χριστοῦ τοῦ Κυρίου ἡμῶν. Ἀμήν.

¶ Δι᾽ ἀποκατάστὰσιν Ἐγχωρίου Δημοσίας Τάξεως.

Ὁ Θεὸς ὁ αἰώνιος, ὁ Πατὴρ ἡμῶν ὁ ἐπουράνιος, ὁ μόνος κατοικίζων μονοτρόπους ἐν οἴκῳ, καὶ ταραχὴν καταπραΰνων λαοῦ βιαίου καὶ ἀνυποτάκτου· Εὐλογοῦμεν τὸ ἅγιόν σου Ὄνομα, ὅτι ηὐδόκησας τοὺς στασιαστικοὺς κατευνάσαι θορύβους τοὺς παρ᾽ ἡμῖν προσφάτως διεγερθέντας· ταπεινότατα δυσωποῦντές σε, ἵνα

πᾶσιν ἡμῖν παράσχῃς χάριν, ὥστε εἰς τὸ ἑξῆς πιστῶς περιπατῆσαι ἐν ταῖς ἁγίαις σου ἐντολαῖς, καὶ βίον διάγοντας ἤρεμον καὶ ἡσύχιον ἐν πάσῃ εὐσεβείᾳ καὶ σεμνότητι, συνεχῶς προσφέρειν σοι τὴν θυσίαν ἡμῶν αἰνέσεως καὶ εὐχαριστίας διὰ τοὺς πρὸς ἡμᾶς οἰκτιρμούς σου, διὰ Ἰησοῦ Χριστοῦ τοῦ Κυρίου ἡμῶν. Ἀμήν.

¶ Δι' ἀπαλλαγὴν ἀπὸ Λοιμοῦ, ἢ ἑτέρας γενικῆς Ἀσθενείας.

ΚΥριε ὁ Θεός, ὁ διὰ τῆς προσφάτου βαρείας καὶ φοβερᾶς σου ἐπισκοπῆς τραυματίσας ἡμᾶς διὰ τὰς ἁμαρτίας ἡμῶν, καὶ καταναλώσας ἡμᾶς διὰ τὰς ἀνομίας ἡμῶν, καὶ νῦν, ἐν τῷ μέσῳ τῆς κρίσεως ἐλέους μεμνημένος, τὰς ψυχὰς ἡμῶν ἐκ τοῦ στόματος τοῦ θανάτου λυτρωσάμενος· Τῇ πατρικῇ σου ἀγαθότητι ἡμᾶς αὐτούς, τὰς ψυχὰς καὶ τὰ σώματα ἡμῶν, ἃ Σὺ ἐρρύσω, εἰς θυσίαν σοι ζῶσαν προσάγομεν, ἐν μέσῳ τῆς σῆς Ἐκκλησίας τὰ ἐλέη σου πάντοτε ὑμνοῦντες καὶ μεγαλύνοντες, διὰ τοῦ Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ. Ἀμήν.

¶ Ἡ αὐτη.

ὉΜολογοῦμεν ταπεινῶς κατενώπιόν σου, πολυέλεε Πάτερ, ὅτι πᾶσαι αἱ ἐν τῷ νόμῳ σου ἀπειλούμεναι κολάσεις δικαίως ἐφ' ἡμᾶς ἐδύναντο καταπεσεῖν διὰ τὰ πολλὰ ἡμῶν παραπτώματα καὶ τὴν σκληροκαρδίαν ἡμῶν. Ἀλλ' ἐπειδὴ διὰ σπλάγχνα ἐλέους σου ηὐδόκησας, ἐπὶ τῇ ἀσθενεῖ ἡμῶν καὶ ἀναξίᾳ ταπεινώσει, τὸ λοιμικὸν νόσημα δι' οὗ ἐπ' ἐσχάτων κατετρυχόμεθα κατηρεμῶσαι, καὶ φωνὴν ἀγαλλιάσεως καὶ σωτηρίας ἐν σκηναῖς ἡμῶν ἀποδοῦναι· προσφέρομεν τῇ θείᾳ σου Μεγαλωσύνῃ τὴν θυσίαν αἰνέσεως καὶ εὐχαριστίας, ἐπαινοῦντες καὶ μεγαλύνοντες τὸ Ὄνομα τῆς δόξης σου διὰ ταύτην τὴν διαφύλαξίν σου καὶ τὴν ὑπὲρ ἡμῶν πρόνοιαν, διὰ τοῦ Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ. Ἀμήν.

ΕΥΧΑΙ, ΑΠΟΣΤΟΛΟΙ, ΚΑΙ ΕΥΑΓΓΕΛΙΑ,

ΑΝΑΓΙΝΩΣΚΟΜΕΝΑ ΔΙ' ΟΛΟΥ ΤΟΥ ΕΝΙΑΥΤΟΥ.

¶ Ἰστέον, ὅτι ἡ διατεταγμένη Εὐχὴ δι' ἑκάστην Κυριακήν, ἢ δι' Ἑορτήν τινα ἔχουσαν Ἀγρυπνίαν ἢ Παραμονήν, ἀναγινώσκεται κατὰ τὴν προτεραίαν Ἑσπερινὴν Ἀκολουθίαν.

ΚΥΡΙΑΚΗ ΠΡΩΤΗ ΤΗΣ ΕΛΕΥΣΕΩΣ ΤΟΥ ΚΥΡΙΟΥ.

Εὐχή.

Ὁ Θεὸς ὁ Παντοκράτωρ, δὸς ἡμῖν χάριν τοῦ ἀποθέσθαι τὰ ἔργα τοῦ σκότους, καὶ ἐνδύσασθαι τὰ ὅπλα τοῦ φωτός, ἐν τῷ νῦν καιρῷ τῆς φθαρτῆς ταύτης ζωῆς (ἐν ᾗ καὶ ὁ Υἱός σου Ἰησοῦς Χριστὸς ἦλθεν ἐπισκέψασθαι ἡμᾶς μετὰ πολλῆς ταπεινότητος)· ἵνα ἐν τῇ ἐσχάτῃ ἡμέρᾳ, ἐν ᾗ πάλιν μέλλει ἔρχεσθαι ἐν τῇ ἐνδόξῳ αὐτοῦ Μεγαλειότητι, κρῖναι ζῶντας καὶ νεκρούς, ἀναστῶμεν εἰς τὴν ζωὴν τὴν ἄφθαρτον, δι' αὐτοῦ τοῦ σὺν Σοὶ καὶ τῷ Ἁγίῳ Πνεύματι συζῶντος καὶ συμβασιλεύοντος, νῦν καὶ εἰς τοὺς αἰῶνας. Ἀμήν.

¶ Ταύτην τὴν Εὐχὴν χρὴ ἀναλαμβάνειν καθ' ἑκάστην ἡμέραν, μετὰ τῶν ἄλλων Εὐχῶν τῆς Ἐλεύσεως τοῦ Κυρίου, μέχρι τῆς Παραμονῆς τῶν Χριστουγέννων.

Ἀπόστολος.

Ῥωμ. ΙΓ' 8. ΜΗδενὶ μηδὲν ὀφείλετε, εἰ μὴ τὸ ἀγαπᾷν ἀλλήλους· ὁ γὰρ ἀγαπῶν τὸν ἕτερον, νόμον πεπλήρωκε. Τὸ γάρ, Οὐ μοιχεύσεις, Οὐ φονεύσεις, Οὐ κλέψεις, Οὐ ψευδομαρτυρήσεις, Οὐκ ἐπιθυμήσεις, καὶ εἴ τις ἑτέρα ἐντολή, ἐν τούτῳ τῷ λόγῳ ἀνακεφαλαιοῦται, ἐν τῷ, Ἀγαπήσεις τὸν πλησίον σου ὡς ἑαυτόν. Ἡ ἀγάπη τῷ πλησίον κακὸν οὐκ ἐργάζεται· πλήρωμα οὖν νόμου ἡ ἀγάπη. Καὶ τοῦτο,

εἰδότες τὸν καιρόν, ὅτι ὥρα ἡμᾶς ἤδη ἐξ ὕπνου ἐγερθῆναι· νῦν γὰρ ἐγγύτερον ἡμῶν ἡ σωτηρία ἢ ὅτε ἐπιστεύσαμεν. Ἡ νὺξ προέκοψεν, ἡ δὲ ἡμέρα ἤγγικεν· ἀποθώμεθα οὖν τὰ ἔργα τοῦ σκότους, καὶ ἐνδυσώμεθα τὰ ὅπλα τοῦ φωτός. Ὡς ἐν ἡμέρᾳ εὐσχημόνως περιπατήσωμεν, μὴ κώμοις καὶ μέθαις, μὴ κοίταις καὶ ἀσελγείαις, μὴ ἔριδι καὶ ζήλῳ. Ἀλλ' ἐνδύσασθε τὸν Κύριον Ἰησοῦν Χριστόν, καὶ τῆς σαρκὸς πρόνοιαν μὴ ποιεῖσθε εἰς ἐπιθυμίας.

Εὐαγγέλιον.

Ὅτε ἤγγισαν εἰς Ἱεροσόλυμα, καὶ ἦλθον εἰς Βηθφαγῆ, πρὸς τὸ ὄρος τῶν Ἐλαιῶν, τότε ὁ Ἰησοῦς ἀπέστειλε δύο μαθητάς, λέγων αὐτοῖς, Πορεύθητε εἰς τὴν κώμην τὴν ἀπέναντι ὑμῶν, καὶ εὐθέως εὑρήσετε ὄνον δεδεμένην, καὶ πῶλον μετ' αὐτῆς· λύσαντες ἀγάγετέ μοι. Καὶ ἐάν τις ὑμῖν εἴπῃ τί, ἐρεῖτε, ὅτι Ὁ Κύριος αὐτῶν χρείαν ἔχει· εὐθέως δὲ ἀποστελεῖ αὐτούς. Τοῦτο δὲ ὅλον γέγονεν, ἵνα πληρωθῇ τὸ ῥηθὲν διὰ τοῦ Προφήτου, λέγοντος, Εἴπατε τῇ θυγατρὶ Σιών, Ἰδού, ὁ Βασιλεύς σου ἔρχεταί σοι, πραΰς, καὶ ἐπιβεβηκὼς ἐπὶ ὄνον καὶ πῶλον υἱὸν ὑποζυγίου. Πορευθέντες δὲ οἱ μαθηταί, καὶ ποιήσαντες καθὼς προσέταξεν αὐτοῖς ὁ Ἰησοῦς, ἤγαγον τὴν ὄνον, καὶ τὸν πῶλον, καὶ ἐπέθηκαν ἐπάνω αὐτῶν τὰ ἱμάτια αὐτῶν, καὶ ἐπεκάθισεν ἐπάνω αὐτῶν. Ὁ δὲ πλεῖστος ὄχλος ἔστρωσαν ἑαυτῶν τὰ ἱμάτια ἐν τῇ ὁδῷ, ἄλλοι δὲ ἔκοπτον κλάδους ἀπὸ τῶν δένδρων καὶ ἐστρώννυον ἐν τῇ ὁδῷ. Οἱ δὲ ὄχλοι οἱ προάγοντες, καὶ οἱ ἀκολουθοῦντες, ἔκραζον, λέγοντες, Ὡσαννὰ τῷ Υἱῷ Δαβίδ· εὐλογημένος ὁ ἐρχόμενος ἐν ὀνόματι Κυρίου, Ὡσαννὰ ἐν τοῖς ὑψίστοις. Καὶ εἰσελθόντος αὐτοῦ εἰς Ἱεροσόλυμα, ἐσείσθη πᾶσα ἡ πόλις, λέγουσα, Τίς ἐστιν οὗτος; Οἱ δὲ ὄχλοι ελεγον, Οὗτός ἐστιν Ἰησοῦς ὁ Προφήτης ὁ ἀπὸ Ναζαρὲτ τῆς Γαλιλαίας. Καὶ εἰσῆλθεν

Ματθ. ΚΑ′ 1.

ὁ Ἰησοῦς εἰς τὸ ἱερὸν τοῦ Θεοῦ· καὶ ἐξέβαλε πάντας τοὺς πωλοῦντας καὶ ἀγοράζοντας ἐν τῷ ἱερῷ, καὶ τὰς τραπέζας τῶν κολλυβιστῶν κατέστρεψε, καὶ τὰς καθέδρας τῶν πωλούντων τὰς περιστεράς, καὶ λέγει αὐτοῖς, Γέγραπται, Ὁ οἶκός μου, οἶκος προσευχῆς κληθήσεται, ὑμεῖς δὲ αὐτὸν ἐποιήσατε σπήλαιον λῃστῶν.

ΚΥΡΙΑΚΗ ΔΕΥΤΕΡΑ ΤΗΣ ΕΛΕΥΣΕΩΣ ΤΟΥ ΚΥΡΙΟΥ.

Εὐχή.

ΕΥλογητὲ Κύριε, ὁ ποιήσας πάσας τὰς θείας Γραφὰς εἰς τὴν ἡμετέραν γραφῆναι διδασκαλίαν· Αὐτὸς δὸς ἡμῖν οὕτως ἀκούειν αὐτῶν, ἀναγινώσκειν, προσέχειν, μανθάνειν, καὶ ἔσωθεν αὐτὰς ἰδιοποιεῖσθαι, ὥστε διὰ τῆς ὑπομονῆς καὶ τῆς παρακλήσεως τοῦ ἁγίου σου Λόγου καταλαβεῖν καὶ ἀντέχεσθαι διαπαντὸς τῆς μακαρίας ἐλπίδος τῆς αἰωνίου ζωῆς, ἣν ἔδωκας ἡμῖν ἐν τῷ Σωτῆρι ἡμῶν Ἰησοῦ Χριστῷ. Ἀμήν.

Ἀπόστολος.

Ῥωμ. ΙΕ′ 4. ὍΣα προεγράφη, εἰς τὴν ἡμετέραν διδασκαλίαν προεγράφη· ἵνα διὰ τῆς ὑπομονῆς καὶ τῆς παρακλήσεως τῶν Γραφῶν τὴν ἐλπίδα ἔχωμεν. Ὁ δὲ Θεὸς τῆς ὑπομονῆς καὶ τῆς παρακλήσεως δῴη ὑμῖν τὸ αὐτὸ φρονεῖν ἐν ἀλλήλοις, κατὰ Χριστὸν Ἰησοῦν· Ἵνα ὁμοθυμαδὸν ἐν ἑνὶ στόματι δοξάζητε τὸν Θεὸν καὶ Πατέρα τοῦ Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ. Διὸ προσλαμβάνεσθε ἀλλήλους, καθὼς καὶ ὁ Χριστὸς προσελάβετο ἡμᾶς, εἰς δόξαν Θεοῦ. Λέγω δὲ Ἰησοῦν Χριστὸν διάκονον γεγενῆσθαι περιτομῆς, ὑπὲρ ἀληθείας Θεοῦ, εἰς τὸ βεβαιῶσαι τὰς ἐπαγγελίας τῶν πατέρων· Τὰ δὲ ἔθνη ὑπὲρ ἐλέους δοξάσαι τὸν Θεόν, καθὼς γέγραπται, Διὰ τοῦτο ἐξομολογήσομαί σοι ἐν Ἔθνεσι, καὶ τῷ ὀνόματί σου ψαλῶ. Καὶ πάλιν λέγει,

Εὐφράνθητε, Ἔθνη, μετὰ τοῦ λαοῦ αὐτοῦ. Καὶ πάλιν, Αἰνεῖτε τὸν Κύριον, πάντα τὰ Ἔθνη, καὶ ἐπαινέσατε αὐτόν, πάντες οἱ λαοί. Καὶ πάλιν Ἡσαΐας λέγει, Ἔσται ἡ ῥίζα τοῦ Ἰεσσαί, καὶ ὁ ἀνιστάμενος ἄρχειν Ἐθνῶν, ἐπ' αὐτῷ Ἔθνη ἐλπιοῦσιν. Ὁ δὲ Θεὸς τῆς ἐλπίδος πληρώσαι ὑμᾶς πάσης χαρᾶς καὶ εἰρήνης ἐν τῷ πιστεύειν, εἰς τὸ περισσεύειν ὑμᾶς ἐν τῇ ἐλπίδι, ἐν δυνάμει Πνεύματος ἁγίου.

Εὐαγγέλιον.

ΚΑὶ ἔσται σημεῖα ἐν ἡλίῳ, καὶ σελήνῃ, καὶ ἄστροις· καὶ ἐπὶ τῆς γῆς συνοχὴ ἐθνῶν, ἐν ἀπορίᾳ, ἠχούσης θαλάσσης καὶ σάλου· ἀποψυχόντων ἀνθρώπων ἀπὸ φόβου, καὶ προσδοκίας τῶν ἐπερχομένων τῇ οἰκουμένῃ· αἱ γὰρ δυνάμεις τῶν οὐρανῶν σαλευθήσονται. Καὶ τότε ὄψονται τὸν Υἱὸν τοῦ ἀνθρώπου ἐρχόμενον ἐν νεφέλῃ μετὰ δυνάμεως καὶ δόξης πολλῆς. Ἀρχομένων δὲ τούτων γίνεσθαι, ἀνακύψατε, καὶ ἐπάρατε τὰς κεφαλὰς ὑμῶν· διότι ἐγγίζει ἡ ἀπολύτρωσις ὑμῶν. Καὶ εἶπε παραβολὴν αὐτοῖς, Ἴδετε τὴν συκῆν, καὶ πάντα τὰ δένδρα· ὅταν προβάλωσιν ἤδη, βλέποντες ἀφ' ἑαυτῶν γινώσκετε ὅτι ἤδη ἐγγὺς τὸ θέρος ἐστίν. Οὕτω καὶ ὑμεῖς, ὅταν ἴδητε ταῦτα γινόμενα, γινώσκετε ὅτι ἐγγύς ἐστιν ἡ βασιλεία τοῦ Θεοῦ. Ἀμήν, λέγω ὑμῖν, ὅτι οὐ μὴ παρέλθῃ ἡ γενεὰ αὕτη ἕως ἂν πάντα γένηται· Ὁ οὐρανὸς καὶ ἡ γῆ παρελεύσονται, οἱ δὲ λόγοι μου οὐ μὴ παρέλθωσι.

Λουκ. ΚΑ′ 25.

ΚΥΡΙΑΚΗ ΤΡΙΤΗ ΤΗΣ ΕΛΕΥΣΕΩΣ ΤΟΥ ΚΥΡΙΟΥ.

Εὐχή.

ΚΥριε Ἰησοῦ Χριστέ, ὁ ἐν τῇ πρώτῃ σου ἐλεύσει τὸν ἄγγελόν σου ἀποστειλας πρὸ προσώπου σου κατασκευάσαι τὴν ὁδόν σου· Χάρισαι ἵνα ὡσαύτως οἱ ὑπηρέται

καὶ οἰκονόμοι τῶν μυστηρίων σου, ἐπιστρέψαντες καρδίας ἀπειθῶν ἐν φρονήσει δικαίων, οὕτω κατασκευάσωσι καὶ ἑτοιμάσωσι τὴν ὁδόν σου, ὥστε καὶ ἡμᾶς, ἐν τῇ δευτέρᾳ σου παρουσίᾳ τοῦ κρῖναι τὸν κόσμον, εὑρεθῆναι λαὸν εὐπρόσδεκτον ἐνώπιον Σοῦ, τοῦ σὺν τῷ Πατρὶ καὶ τῷ ἁγίῳ Πνεύματι συζῶντος καὶ συμβασιλεύοντος ἑνὸς ἀεὶ Θεοῦ, εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

Ἀπόστολος.

Α′ Κορ. Δ′ 1. ΟΥτως ἡμᾶς λογιζέσθω ἄνθρωπος, ὡς ὑπηρέτας Χριστοῦ, καὶ οἰκονόμους μυστηρίων Θεοῦ. Ὃ δὲ λοιπὸν ζητεῖται ἐν τοῖς οἰκονόμοις, ἵνα πιστός τις εὑρεθῇ. Ἐμοὶ δὲ εἰς ἐλάχιστόν ἐστιν, ἵνα ὑφ᾽ ὑμῶν ἀνακριθῶ, ἢ ὑπὸ ἀνθρωπίνης ἡμέρας· ἀλλ᾽ οὐδὲ ἐμαυτὸν ἀνακρίνω. Οὐδὲν γὰρ ἐμαυτῷ σύνοιδα, ἀλλ᾽ οὐκ ἐν τούτῳ δεδικαίωμαι· ὁ δὲ ἀνακρίνων με Κύριός ἐστιν. Ὥστε μὴ πρὸ καιροῦ τι κρίνετε, ἕως ἂν ἔλθῃ ὁ Κύριος, ὃς καὶ φωτίσει τὰ κρυπτὰ τοῦ σκότους, καὶ φανερώσει τὰς βουλὰς τῶν καρδιῶν· καὶ τότε ὁ ἔπαινος γενήσεται ἑκάστῳ ἀπὸ τοῦ Θεοῦ.

Εὐαγγέλιον.

Ματθ. ΙΑ′ 2. Ὁ Δὲ Ἰωάννης ἀκούσας ἐν τῷ δεσμωτηρίῳ τὰ ἔργα τοῦ Χριστοῦ, πέμψας δύο τῶν μαθητῶν αὐτοῦ, εἶπεν αὐτῷ, Σὺ εἶ ὁ ἐρχόμενος, ἢ ἕτερον προσδοκῶμεν; Καὶ ἀποκριθεὶς ὁ Ἰησοῦς εἶπεν αὐτοῖς, Πορευθέντες ἀπαγγείλατε Ἰωάννῃ ἃ ἀκούετε καὶ βλέπετε· Τυφλοὶ ἀναβλέπουσι, καὶ χωλοὶ περιπατοῦσι, λεπροὶ καθαρίζονται, καὶ κωφοὶ ἀκούουσι, νεκροὶ ἐγείρονται, καὶ πτωχοὶ εὐαγγελίζονται. Καὶ μακάριός ἐστιν ὃς ἐὰν μὴ σκανδαλισθῇ ἐν ἐμοί. Τούτων δὲ πορευομένων, ἤρξατο ὁ Ἰησοῦς λέγειν τοῖς ὄχλοις περὶ Ἰωάννου, Τί ἐξήλθετε εἰς τὴν ἔρημον θεάσασθαι; Κάλαμον ὑπὸ ἀνέμου σαλευό-

μενον; Ἀλλὰ τί ἐξήλθετε ἰδεῖν; Ἄνθρωπον ἐν μαλακοῖς ἱματίοις ἠμφιεσμένον; ἰδού, οἱ τὰ μαλακὰ φοροῦντες ἐν τοῖς οἴκοις τῶν βασιλέων εἰσίν. Ἀλλὰ τί ἐξήλθετε ἰδεῖν; Προφήτην; ναὶ λέγω ὑμῖν, καὶ περισσότερον προφήτου. Οὗτος γάρ ἐστι περὶ οὗ γέγραπται, Ἰδού, ἐγὼ ἀποστέλλω τὸν ἄγγελόν μου πρὸ προσώπου σου, ὃς κατασκευάσει τὴν ὁδόν σου ἔμπροσθέν σου.

ΚΥΡΙΑΚΗ ΤΕΤΑΡΤΗ ΤΗΣ ΕΛΕΥΣΕΩΣ ΤΟΥ ΚΥΡΙΟΥ.

Εὐχή.

Ἐξέγειρον, Κύριε, (δεόμεθά σου) τὴν δυναστείαν σου, καὶ ἐλθὲ πρὸς ἡμᾶς, καὶ ἐν πολλῇ ἰσχύϊ βοήθησον ἡμῖν· ἵνα ἐπειδὴ ἐκ τῶν ἁμαρτιῶν καὶ ἀνομιῶν ἡμῶν ἐμποδιζόμεθα καὶ κωλυόμεθα σφόδρα ἐν τῷ τρέχειν τὸν προκείμενον ἡμῖν ἀγῶνα, ἡ ἄφθονός σου χάρις καὶ εὐσπλαγχνία ἐν τάχει ἡμῶν ἀντιλάβηται καὶ ῥύσηται ἡμᾶς, διὰ τὴν ἱκανοποίησιν τοῦ σοῦ Υἱοῦ τοῦ Κυρίου ἡμῶν· ᾧ σὺν Σοὶ καὶ τῷ ἁγίῳ Πνεύματι τιμὴ καὶ δόξα εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

Ἀπόστολος.

Χαίρετε ἐν Κυρίῳ πάντοτε, πάλιν ἐρῶ, Χαίρετε. Τὸ ἐπιεικὲς ὑμῶν γνωσθήτω πᾶσιν ἀνθρώποις. Ὁ Κύριος ἐγγύς. Μηδὲν μεριμνᾶτε· ἀλλ' ἐν παντὶ τῇ προσευχῇ καὶ τῇ δεήσει μετὰ εὐχαριστίας, τὰ αἰτήματα ὑμῶν γνωριζέσθω πρὸς τὸν Θεόν. Καὶ ἡ εἰρήνη τοῦ Θεοῦ ἡ ὑπερέχουσα πάντα νοῦν φρουρήσει τὰς καρδίας ὑμῶν καὶ τὰ νοήματα ὑμῶν ἐν Χριστῷ Ἰησοῦ. Φιλιπ. Δ' 4.

Εὐαγγέλιον.

Αὕτη ἐστὶν ἡ μαρτυρία τοῦ Ἰωάννου, ὅτε ἀπέστειλαν οἱ Ἰουδαῖοι ἐξ Ἱεροσολύμων Ἱερεῖς καὶ Λευΐτας ἵνα Ἰωάν. Α' 19.

ἐρωτήσωσιν αὐτόν, Σὺ τίς εἶ; Καὶ ὡμολόγησε, καὶ οὐκ ἠρνήσατο· καὶ ὡμολόγησεν ὅτι Οὐκ εἰμὶ ἐγὼ ὁ Χριστός. Καὶ ἠρώτησαν αὐτόν, Τί οὖν; Ἠλίας εἶ σύ; Καὶ λέγει, Οὐκ εἰμί. Ὁ προφήτης εἶ σύ; Καὶ ἀπεκρίθη, Οὔ. Εἶπον οὖν αὐτῷ, Τίς εἶ; ἵνα ἀπόκρισιν δῶμεν τοῖς πέμψασιν ἡμᾶς. Τί λέγεις περὶ σεαυτοῦ; Ἔφη, Ἐγὼ φωνὴ βοῶντος ἐν τῇ ἐρήμῳ, Εὐθύνατε τὴν ὁδὸν Κυρίου, καθὼς εἶπεν Ἠσαΐας ὁ προφήτης. Καὶ οἱ ἀπεσταλμένοι, ἦσαν ἐκ τῶν Φαρισαίων. Καὶ ἠρώτησαν αὐτόν, καὶ εἶπον αὐτῷ, Τί οὖν βαπτίζεις, εἰ σὺ οὐκ εἶ ὁ Χριστός, οὔτε Ἠλίας, οὔτε ὁ προφήτης; Ἀπεκρίθη αὐτοῖς ὁ Ἰωάννης λέγων, Ἐγὼ βαπτίζω ἐν ὕδατι· μέσος δὲ ὑμῶν ἕστηκεν, ὃν ὑμεῖς οὐκ οἴδατε. Αὐτός ἐστιν ὁ ὀπίσω μου ἐρχόμενος, ὃς ἔμπροσθέν μου γέγονεν, οὗ ἐγὼ οὐκ εἰμὶ ἄξιος ἵνα λύσω αὐτοῦ τὸν ἱμάντα τοῦ ὑποδήματος. Ταῦτα ἐν Βηθαβαρᾷ ἐγένετο πέραν τοῦ Ἰορδάνου, ὅπου ἦν Ἰωάννης βαπτίζων.

Η ΓΕΝΝΗΣΙΣ ΤΟΥ ΚΥΡΙΟΥ ΗΜΩΝ

ΗΤΟΙ ΤΑ ΓΕΝΕΘΛΙΑ ΤΟΥ ΧΡΙΣΤΟΥ, ΤΑ ΚΟΙΝΩΣ ΚΑΛΟΥΜΕΝΑ ΧΡΙΣΤΟΥΓΕΝΝΑ.

Εὐχή.

Ὁ Θεὸς ὁ Παντοκράτωρ, ὁ δεδωκὼς ἡμῖν τὸν Υἱόν σου τὸν μονογενῆ τὴν ἡμετέραν προσλήψασθαι φύσιν, καὶ ὡσεὶ ἐν τῷ καιρῷ τούτῳ ἐξ ἁγνῆς τεχθῆναι Παρθένου· Αὐτὸς παράσχου ἵνα ἡμεῖς ἀναγεγεννημένοι, καὶ τέκνα σου θέσει καὶ χάριτι γεγονότες, καθ' ἑκάστην ἡμέραν διὰ τοῦ ἁγίου σου Πνεύματος ἀνακαινώμεθα, διὰ τοῦ αὐτοῦ τοῦ Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ, τοῦ σὺν Σοὶ καὶ τῷ αὐτῷ Πνεύματι συζῶντος καὶ συμβασιλεύοντος ἑνὸς ἀεὶ Θεοῦ εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

ΤΑ ΧΡΙΣΤΟΥΓΕΝΝΑ

Ἀπόστολος.

ΠΟλυμερῶς καὶ πολυτρόπως πάλαι ὁ Θεὸς λαλήσας Ἑβρ. Α΄ 1.
τοῖς πατράσιν ἐν τοῖς προφήταις, ἐπ᾿ ἐσχάτων τῶν
ἡμερῶν τούτων ἐλάλησεν ἡμῖν ἐν Υἱῷ, ὃν ἔθηκε κληρονόμον
πάντων, δι᾿ οὗ καὶ τοὺς αἰῶνας ἐποίησεν. Ὃς ὢν ἀπαύγασμα
τῆς δόξης καὶ χαρακτὴρ τῆς ὑποστάσεως αὐτοῦ, φέρων
τε τὰ πάντα τῷ ῥήματι τῆς δυνάμεως αὐτοῦ, δι᾿ ἑαυτοῦ
καθαρισμὸν ποιησάμενος τῶν ἁμαρτιῶν ἡμῶν, ἐκάθισεν ἐν
δεξιᾷ τῆς Μεγαλωσύνης ἐν ὑψηλοῖς· Τοσούτῳ κρείττων
γενόμενος τῶν ἀγγέλων, ὅσῳ διαφορώτερον παρ᾿ αὐτοὺς
κεκληρονόμηκεν ὄνομα. Τίνι γὰρ εἶπέ ποτε τῶν ἀγγέλων,
Υἱός μου εἶ σύ, ἐγὼ σήμερον γεγέννηκά σε; Καὶ πάλιν,
Ἐγὼ ἔσομαι αὐτῷ εἰς Πατέρα, καὶ αὐτὸς ἔσται μοι εἰς
Υἱόν; Ὅταν δὲ πάλιν εἰσαγάγῃ τὸν πρωτότοκον εἰς τὴν
οἰκουμένην, λέγει, Καὶ προσκυνησάτωσαν αὐτῷ πάντες
ἄγγελοι Θεοῦ. Καὶ πρὸς μὲν τοὺς ἀγγέλους λέγει,
Ὁ ποιῶν τοὺς ἀγγέλους αὐτοῦ πνεύματα, καὶ τοὺς
λειτουργοὺς αὐτοῦ πυρὸς φλόγα. Πρὸς δὲ τὸν Υἱόν,
Ὁ θρόνος σου, ὁ Θεός, εἰς τὸν αἰῶνα τοῦ αἰῶνος, ῥάβδος
εὐθύτητος ἡ ῥάβδος τῆς βασιλείας σου. Ἠγάπησας
δικαιοσύνην, καὶ ἐμίσησας ἀνομίαν· διὰ τοῦτο ἔχρισέ σε
ὁ Θεός, ὁ Θεός σου, ἔλαιον ἀγαλλιάσεως παρὰ τοὺς
μετόχους σου. Καί, Σὺ κατ᾿ ἀρχάς, Κύριε, τὴν γῆν
ἐθεμελίωσας· καὶ ἔργα τῶν χειρῶν σου εἰσὶν οἱ οὐρανοί·
Αὐτοὶ ἀπολοῦνται, σὺ δὲ διαμένεις· καὶ πάντες ὡς ἱμάτιον
παλαιωθήσονται· καὶ ὡσεὶ περιβόλαιον ἑλίξεις αὐτούς,
καὶ ἀλλαγήσονται· σὺ δὲ ὁ αὐτὸς εἶ, καὶ τὰ ἔτη σου οὐκ
ἐκλείψουσι.

Εὐαγγέλιον.

ἘΝ ἀρχῇ ἦν ὁ Λόγος, καὶ ὁ Λόγος ἦν πρὸς τὸν Θεόν, Ἰωάν. Α΄ 1.
καὶ Θεὸς ἦν ὁ Λόγος. Οὗτος ἦν ἐν ἀρχῇ πρὸς τὸν
Θεόν. Πάντα δι᾿ αὐτοῦ ἐγένετο, καὶ χωρὶς αὐτοῦ ἐγένετο

οὐδὲ ἕν, ὃ γέγονεν. Ἐν αὐτῷ ζωὴ ἦν, καὶ ἡ ζωὴ ἦν τὸ φῶς τῶν ἀνθρώπων. Καὶ τὸ φῶς ἐν τῇ σκοτίᾳ φαίνει, καὶ ἡ σκοτία αὐτὸ οὐ κατέλαβεν. Ἐγένετο ἄνθρωπος ἀπεσταλμένος παρὰ Θεοῦ, ὄνομα αὐτῷ Ἰωάννης. Οὗτος ἦλθεν εἰς μαρτυρίαν ἵνα μαρτυρήσῃ περὶ τοῦ φωτός, ἵνα πάντες πιστεύσωσι δι' αὐτοῦ. Οὐκ ἦν ἐκεῖνος τὸ φῶς, ἀλλ' ἵνα μαρτυρήσῃ περὶ τοῦ φωτός. Ἦν τὸ φῶς τὸ ἀληθινόν, ὃ φωτίζει πάντα ἄνθρωπον ἐρχόμενον εἰς τὸν κόσμον. Ἐν τῷ κόσμῳ ἦν, καὶ ὁ κόσμος δι' αὐτοῦ ἐγένετο, καὶ ὁ κόσμος αὐτὸν οὐκ ἔγνω. Εἰς τὰ ἴδια ἦλθε, καὶ οἱ ἴδιοι αὐτὸν οὐ παρέλαβον. Ὅσοι δὲ ἔλαβον αὐτόν, ἔδωκεν αὐτοῖς ἐξουσίαν τέκνα Θεοῦ γενέσθαι, τοῖς πιστεύουσιν εἰς τὸ ὄνομα αὐτοῦ· Οἳ οὐκ ἐξ αἱμάτων, οὐδὲ ἐκ θελήματος σαρκός, οὐδὲ ἐκ θελήματος ἀνδρός, ἀλλ' ἐκ Θεοῦ ἐγεννήθησαν. Καὶ ὁ Λόγος σὰρξ ἐγένετο καὶ ἐσκήνωσεν ἐν ἡμῖν (καὶ ἐθεασάμεθα τὴν δόξαν αὐτοῦ, δόξαν ὡς μονογενοῦς παρὰ Πατρός) πλήρης χάριτος καὶ ἀληθείας.

ΤΟΥ ΑΓΙΟΥ ΣΤΕΦΑΝΟΥ.

Εὐχή.

ΧΑρισαι ἡμῖν, Κύριε, ἵνα ἐν πᾶσι τοῖς ἐπὶ τῆς γῆς παθήμασιν ἡμῶν, ὑπὲρ τῆς μαρτυρίας τῆς σῆς ἀληθείας, εἰς τὸν οὐρανὸν ἀτενίσωμεν, καὶ διὰ τῆς πίστεως θεωρήσωμεν τὴν μέλλουσαν ἀποκαλυφθῆναι δόξαν· καὶ πλήρεις γενόμενοι Πνεύματος Ἁγίου, μάθωμεν τοὺς διώκτας ἡμῶν ἀγαπᾷν καὶ εὐλογεῖν κατὰ τὸ ὑπόδειγμα τοῦ ἁγίου σου Πρωτομάρτυρος Στεφάνου, τοῦ ὑπὲρ τῶν φονέων αὐτοῦ προσευξαμένου πρὸς Σέ, εὐλογητὲ Ἰησοῦ, ὁ ἐκ δεξιῶν ἑστὼς τοῦ Θεοῦ, τοῦ βοηθῆσαι πᾶσι τοῖς ὑπέρ σου πάσχουσιν, ὁ μόνος ἡμῶν Μεσίτης καὶ Παράκλητος. Ἀμήν.

¶ Εἶτα ἀκολουθεῖ ἡ Εὐχὴ τῆς Γεννήσεως, ἥτις καθ' ἑκάστην ἡμέραν ἀναγινώσκεται μέχρι τῆς Παραμονῆς τοῦ Νέου Ἔτους.

ΤΟΥ ΑΓΙΟΥ ΣΤΕΦΑΝΟΥ

Ἀντὶ τοῦ Ἀποστόλου.

ΥΠάρχων ὁ Στέφανος πλήρης Πνεύματος ἁγίου, ἀτενίσας εἰς τὸν οὐρανόν, εἶδε δόξαν Θεοῦ, καὶ Ἰησοῦν ἑστῶτα ἐκ δεξιῶν τοῦ Θεοῦ, καὶ εἶπεν, Ἰδού, θεωρῶ τοὺς οὐρανοὺς ἀνεῳγμένους, καὶ τὸν Υἱὸν τοῦ ἀνθρώπου ἐκ δεξιῶν ἑστῶτα τοῦ Θεοῦ. Κράξαντες δὲ φωνῇ μεγάλῃ, συνέσχον τὰ ὦτα αὐτῶν, καὶ ὥρμησαν ὁμοθυμαδὸν ἐπ' αὐτόν, καὶ ἐκβαλόντες ἔξω τῆς πόλεως, ἐλιθοβόλουν· καὶ οἱ μάρτυρες ἀπέθεντο τὰ ἱμάτια αὐτῶν παρὰ τοὺς πόδας νεανίου, καλουμένου Σαύλου. Καὶ ἐλιθοβόλουν τὸν Στέφανον ἐπικαλούμενον, καὶ λέγοντα, Κύριε Ἰησοῦ δέξαι τὸ πνεῦμά μου. Θεὶς δὲ τὰ γόνατα ἔκραξε φωνῇ μεγάλῃ, Κύριε, μὴ στήσῃς αὐτοῖς τὴν ἁμαρτίαν ταύτην. Καὶ τοῦτο εἰπὼν ἐκοιμήθη. Πράξ. Ζ' 55.

Εὐαγγέλιον.

Ἰδού, ἐγὼ ἀποστέλλω πρὸς ὑμᾶς προφήτας, καὶ σοφούς, καὶ γραμματεῖς· καὶ ἐξ αὐτῶν ἀποκτενεῖτε καὶ σταυρώσετε· καὶ ἐξ αὐτῶν μαστιγώσετε ἐν ταῖς συναγωγαῖς ὑμῶν, καὶ διώξετε ἀπὸ πόλεως εἰς πόλιν· ὅπως ἔλθῃ ἐφ' ὑμᾶς πᾶν αἷμα δίκαιον ἐκχυνόμενον ἐπὶ τῆς γῆς, ἀπὸ τοῦ αἵματος Ἄβελ τοῦ δικαίου, ἕως τοῦ αἵματος Ζαχαρίου, υἱοῦ Βαραχίου, ὃν ἐφονεύσατε μεταξὺ τοῦ ναοῦ καὶ τοῦ θυσιαστηρίου. Ἀμὴν λέγω ὑμῖν, ἥξει ταῦτα πάντα ἐπὶ τὴν γενεὰν ταύτην. Ἱερουσαλήμ, Ἱερουσαλήμ, ἡ ἀποκτείνουσα τοὺς προφήτας, καὶ λιθοβολοῦσα τοὺς ἀπεσταλμένους πρὸς αὐτήν· ποσάκις ἠθέλησα ἐπισυναγαγεῖν τὰ τέκνα σου, ὃν τρόπον ἐπισυνάγει ὄρνις τὰ νοσσία ἑαυτῆς ὑπὸ τὰς πτέρυγας, καὶ οὐκ ἠθελήσατε. Ἰδοὺ ἀφίεται ὑμῖν ὁ οἶκος ὑμῶν ἔρημος. Λέγω γὰρ ὑμῖν, οὐ μή με ἴδητε ἀπ' ἄρτι, ἕως ἂν εἴπητε, Εὐλογημένος ὁ ἐρχόμενος ἐν ὀνόματι Κυρίου. Ματθ. ΚΓ' 34.

ΤΟΥ ΑΓΙΟΥ ΕΥΑΓΓΕΛΙΣΤΟΥ ΙΩΑΝΝΟΥ.

Εὐχή.

ΟΙκτίρμον Κύριε, δεόμεθά σου, καταύγασον λαμπραῖς ταῖς ἀκτῖσί σου τὴν σὴν Ἐκκλησίαν, ἵνα αὐτὴ διὰ τῆς τοῦ μακαρίου σου Ἀποστόλου καὶ Εὐαγγελιστοῦ Ἰωάννου πεφωτισμένη διδασκαλίας, οὕτω ἐν τῷ φωτὶ περιπατήσῃ τῆς σῆς ἀληθείας, ὥστε ἐπὶ τέλους καταντῆσαι εἰς τὸ φῶς τῆς αἰωνίου ζωῆς, διὰ Ἰησοῦ Χριστοῦ τοῦ Κυρίου ἡμῶν. Ἀμήν.

Ἐπιστολή.

Α΄ Ἰωάν. Α΄ 1. [a]Ο Ἦν ἀπ᾽ ἀρχῆς, ὃ ἀκηκόαμεν, ὃ ἑωράκαμεν τοῖς ὀφθαλμοῖς ἡμῶν, ὃ ἐθεασάμεθα, καὶ αἱ χεῖρες ἡμῶν ἐψηλάφησαν περὶ τοῦ λόγου τῆς ζωῆς. (Καὶ ἡ ζωὴ ἐφανερώθη, καὶ ἑωράκαμεν, καὶ μαρτυροῦμεν, καὶ ἀπαγγέλλομεν ὑμῖν τὴν ζωὴν τὴν αἰώνιον, ἥτις ἦν πρὸς τὸν Πατέρα, καὶ ἐφανερώθη ἡμῖν·) [a]Ο ἑωράκαμεν καὶ ἀκηκόαμεν, ἀπαγγέλλομεν ὑμῖν, ἵνα καὶ ὑμεῖς κοινωνίαν ἔχητε μεθ᾽ ἡμῶν· καὶ ἡ κοινωνία δὲ ἡ ἡμετέρα μετὰ τοῦ Πατρός, καὶ μετὰ τοῦ Υἱοῦ αὐτοῦ Ἰησοῦ Χριστοῦ. Καὶ ταῦτα γράφομεν ὑμῖν, ἵνα ἡ χαρὰ ὑμῶν ᾖ πεπληρωμένη. Καὶ αὕτη ἐστὶν ἡ ἐπαγγελία ἣν ἀκηκόαμεν ἀπ᾽ αὐτοῦ, καὶ ἀναγγέλλομεν ὑμῖν, ὅτι ὁ Θεὸς φῶς ἐστι, καὶ σκοτία ἐν αὐτῷ οὐκ ἔστιν οὐδεμία. Ἐὰν εἴπωμεν ὅτι κοινωνίαν ἔχομεν μετ᾽ αὐτοῦ, καὶ ἐν τῷ σκότει περιπατῶμεν, ψευδόμεθα, καὶ οὐ ποιοῦμεν τὴν ἀλήθειαν· Ἐὰν δὲ ἐν τῷ φωτὶ περιπατῶμεν, ὡς αὐτός ἐστιν ἐν τῷ φωτί, κοινωνίαν ἔχομεν μετ᾽ ἀλλήλων, καὶ τὸ αἷμα Ἰησοῦ Χριστοῦ τοῦ Υἱοῦ αὐτοῦ καθαρίζει ἡμᾶς ἀπὸ πάσης ἁμαρτίας. Ἐὰν εἴπωμεν ὅτι ἁμαρτίαν οὐκ ἔχομεν, ἑαυτοὺς πλανῶμεν, καὶ ἡ ἀλήθεια οὐκ ἔστιν ἐν ἡμῖν. Ἐὰν ὁμολογῶμεν τὰς

ἁμαρτίας ἡμῶν, πιστός ἐστι καὶ δίκαιος ἵνα ἀφῇ ἡμῖν τὰς ἁμαρτίας, καὶ καθαρίσῃ ἡμᾶς ἀπὸ πάσης ἀδικίας. Ἐὰν εἴπωμεν ὅτι οὐχ ἡμαρτήκαμεν, ψεύστην ποιοῦμεν αὐτόν, καὶ ὁ λόγος αὐτοῦ οὐκ ἔστιν ἐν ἡμῖν.

Εὐαγγέλιον.

Ὁ Ἰησοῦς εἶπε τῷ Πέτρῳ, Ἀκολούθει μοι. Ἐπιστραφεὶς δὲ ὁ Πέτρος βλέπει τὸν μαθητὴν ὃν ἠγάπα ὁ Ἰησοῦς, *ἀκολουθοῦντα, ὃς καὶ ἀνέπεσεν ἐν τῷ δείπνῳ ἐπὶ τὸ στῆθος αὐτοῦ, καὶ εἶπε,* Κύριε, *τίς ἐστιν ὁ παραδιδούς σε;* Τοῦτον *ἰδὼν ὁ* Πέτρος *λέγει τῷ* Ἰησοῦ, Κύριε, *οὗτος δὲ τί;* Λέγει *αὐτῷ ὁ* Ἰησοῦς, Ἐὰν *αὐτὸν θέλω μένειν ἕως ἔρχομαι, τί πρός σε;* Σὺ *ἀκολούθει μοι.* Ἐξῆλθεν *οὖν ὁ λόγος οὗτος εἰς τοὺς ἀδελφούς, ὅτι ὁ μαθητὴς ἐκεῖνος οὐκ ἀποθνήσκει· καὶ οὐκ εἶπεν αὐτῷ ὁ* Ἰησοῦς, *ὅτι* Οὐκ *ἀποθνήσκει· ἀλλ',* Ἐὰν *αὐτὸν θέλω μένειν ἕως ἔρχομαι, τί πρός σε;* Οὗτός *ἐστιν ὁ μαθητὴς ὁ μαρτυρῶν περὶ τούτων, καὶ γράψας ταῦτα, καὶ οἴδαμεν ὅτι ἀληθής ἐστιν ἡ μαρτυρία αὐτοῦ.* Ἔστι *δὲ καὶ ἄλλα πολλὰ ὅσα ἐποίησεν ὁ* Ἰησοῦς, *ἅτινα ἐὰν γράφηται καθ' ἕν, οὐδὲ αὐτὸν οἶμαι τὸν κόσμον χωρῆσαι τὰ γραφόμενα βιβλία.* Ἰωάν. ΚΑ΄ 19.

ΤΩΝ ΑΘΩΩΝ ΝΗΠΙΩΝ.

Εὐχή.

Ὁ Θεὸς ὁ Παντοκράτωρ, *ὁ ἐκ στόματος νηπίων καὶ θηλαζόντων καταρτισάμενος αἶνον, καὶ βρέφη ποιήσας δοξάσαι σὲ διὰ τοῦ θανάτου αὐτῶν·* Αὐτὸς *νέκρωσον καὶ θανάτωσον πᾶσαν ἐν ἡμῖν κακίαν, καὶ οὕτω τῇ χάριτί σου ἐνδυνάμωσον ἡμᾶς, ὥστε διὰ τῆς ἀκεραιότητος τοῦ βίου, καὶ τῆς μέχρι θανάτου προσκαρτερήσεως τῆς πίστεως ἡμῶν, δοξάσαι τὸ ἅγιόν σου* Ὄνομα, *διὰ* Ἰησοῦ Χριστοῦ *τοῦ* Κυρίου *ἡμῶν.* Ἀμήν.

ΤΩΝ ΑΘΩΩΝ ΝΗΠΙΩΝ

'Αντὶ τοῦ 'Αποστόλου.

'Αποκ. ΕΙδον, καὶ ἰδού, 'Αρνίον ἑστηκὸς ἐπὶ τὸ ὄρος Σιών, καὶ
ΙΔ' 1. μετ' αὐτοῦ ἑκατὸν τεσσαρακοντατέσσαρες χιλιάδες,
ἔχουσαι τὸ ὄνομα τοῦ Πατρὸς αὐτοῦ γεγραμμένον ἐπὶ τῶν
μετώπων αὐτῶν. Καὶ ἤκουσα φωνὴν ἐκ τοῦ οὐρανοῦ, ὡς
φωνὴν ὑδάτων πολλῶν, καὶ ὡς φωνὴν βροντῆς μεγάλης·
καὶ φωνὴν ἤκουσα κιθαρῳδῶν κιθαριζόντων ἐν ταῖς κιθάραις
αὐτῶν· Καὶ ᾄδουσιν ὡς ᾠδὴν καινὴν ἐνώπιον τοῦ θρόνου,
καὶ ἐνώπιον τῶν τεσσάρων ζώων, καὶ τῶν πρεσβυτέρων·
καὶ οὐδεὶς ἠδύνατο μαθεῖν τὴν ᾠδήν, εἰ μὴ αἱ ἑκατὸν
τεσσαρακοντατέσσαρες χιλιάδες, οἱ ἠγορασμένοι ἀπὸ τῆς
γῆς. Οὗτοί εἰσιν οἳ μετὰ γυναικῶν οὐκ ἐμολύνθησαν,
παρθένοι γάρ εἰσιν· οὗτοί εἰσιν οἱ ἀκολουθοῦντες τῷ 'Αρνίῳ
ὅπου ἂν ὑπάγῃ· οὗτοι ἠγοράσθησαν ἀπὸ τῶν ἀνθρώπων,
ἀπαρχὴ τῷ Θεῷ, καὶ τῷ 'Αρνίῳ. Καὶ ἐν τῷ στόματι
αὐτῶν οὐχ εὑρέθη δόλος· ἄμωμοι γάρ εἰσιν ἐνώπιον τοῦ
θρόνου τοῦ Θεοῦ.

Εὐαγγέλιον.

Ματθ. Ἄγγελος Κυρίου φαίνεται κατ' ὄναρ τῷ 'Ιωσήφ, λέγων,
Β' 13. 'Εγερθεὶς παράλαβε τὸ παιδίον, καὶ τὴν μητέρα αὐτοῦ,
καὶ φεῦγε εἰς Αἴγυπτον, καὶ ἴσθι ἐκεῖ ἕως ἂν εἴπω σοί·
μέλλει γὰρ 'Ηρῴδης ζητεῖν τὸ παιδίον τοῦ ἀπολέσαι αὐτό.
'Ο δὲ ἐγερθεὶς παρέλαβε τὸ παιδίον καὶ τὴν μητέρα αὐτοῦ
νυκτός, καὶ ἀνεχώρησεν εἰς Αἴγυπτον, καὶ ἦν ἐκεῖ ἕως τῆς
τελευτῆς 'Ηρῴδου· ἵνα πληρωθῇ τὸ ῥηθὲν ὑπὸ τοῦ Κυρίου
διὰ τοῦ προφήτου, λέγοντος, 'Εξ Αἰγύπτου ἐκάλεσα τὸν
Υἱόν μου. Τότε 'Ηρῴδης ἰδὼν ὅτι ἐνεπαίχθη ὑπὸ τῶν
μάγων, ἐθυμώθη λίαν, καὶ ἀποστείλας ἀνεῖλε πάντας τοὺς
παῖδας τοὺς ἐν Βηθλεέμ, καὶ ἐν πᾶσι τοῖς ὁρίοις αὐτῆς,
ἀπὸ διετοῦς καὶ κατωτέρω, κατὰ τὸν χρόνον ὃν ἠκρίβωσε
παρὰ τῶν μάγων. Τότε ἐπληρώθη τὸ ῥηθὲν ὑπὸ 'Ιερεμίου
τοῦ προφήτου, λέγοντος, Φωνὴ ἐν 'Ραμᾷ ἠκούσθη, θρῆνος,

καὶ κλαυθμός, καὶ ὀδυρμὸς πολύς, Ῥαχὴλ κλαίουσα τὰ τέκνα αὐτῆς, καὶ οὐκ ἤθελε παρακληθῆναι, ὅτι οὐκ εἰσί.

Η ΚΥΡΙΑΚΗ ΜΕΤΑ ΤΑ ΧΡΙΣΤΟΥΓΕΝΝΑ.

Εὐχή.

Ὁ Θεὸς ὁ Παντοκράτωρ, ὁ δεδωκὼς ἡμῖν τὸν Υἱόν σου τὸν μονογενῆ τὴν ἡμετέραν προσλήψασθαι φύσιν, καὶ ὡσεὶ ἐν τῷ καιρῷ τούτῳ ἐξ ἁγνῆς τεχθῆναι Παρθένου· Αὐτὸς παράσχου ἵνα ἡμεῖς ἀναγεγεννημένοι, καὶ τέκνα σου θέσει καὶ χάριτι γεγονότες, καθ' ἑκάστην ἡμέραν διὰ τοῦ ἁγίου σου Πνεύματος ἀνακαινώμεθα, διὰ τοῦ αὐτοῦ τοῦ Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ, τοῦ σὺν Σοὶ καὶ τῷ αὐτῷ Πνεύματι συζῶντος καὶ συμβασιλεύοντος, ἑνὸς ἀεὶ Θεοῦ, εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

Ἀπόστολος.

Λέγω δέ, ἐφ' ὅσον χρόνον ὁ κληρονόμος νήπιός ἐστιν, Γαλ. Δ' 1.
οὐδὲν διαφέρει δούλου, κύριος πάντων ὤν· ἀλλὰ ὑπὸ ἐπιτρόπους ἐστὶ καὶ οἰκονόμους, ἄχρι τῆς προθεσμίας τοῦ πατρός. Οὕτω καὶ ἡμεῖς, ὅτε ἦμεν νήπιοι, ὑπὸ τὰ στοιχεῖα τοῦ κόσμου ἦμεν δεδουλωμένοι· Ὅτε δὲ ἦλθε τὸ πλήρωμα τοῦ χρόνου, ἐξαπέστειλεν ὁ Θεὸς τὸν Υἱὸν αὐτοῦ, γενόμενον ἐκ γυναικός, γενόμενον ὑπὸ νόμον, ἵνα τοὺς ὑπὸ νόμον ἐξαγοράσῃ, ἵνα τὴν υἱοθεσίαν ἀπολάβωμεν. Ὅτι δέ ἐστε υἱοί, ἐξαπέστειλεν ὁ Θεὸς τὸ Πνεῦμα τοῦ Υἱοῦ αὐτοῦ εἰς τὰς καρδίας ὑμῶν, κρᾶζον, Ἀββᾶ, ὁ Πατήρ. Ὥστε οὐκ ἔτι εἶ δοῦλος, ἀλλ' υἱός· εἰ δὲ υἱός, καὶ κληρονόμος Θεοῦ διὰ Χριστοῦ.

Εὐαγγέλιον.

Ἰησοῦ Χριστοῦ ἡ γέννησις οὕτως ἦν· Μνηστευθείσης Ματθ.
γὰρ τῆς μητρὸς αὐτοῦ Μαρίας τῷ Ἰωσήφ, (πρὶν ἢ Α' 18.
συνελθεῖν αὐτούς) εὑρέθη ἐν γαστρὶ ἔχουσα ἐκ Πνεύματος

Ἁγίου. Ἰωσὴφ δὲ ὁ ἀνὴρ αὐτῆς, δίκαιος ὢν, καὶ μὴ θέλων αὐτὴν παραδειγματίσαι, ἐβουλήθη λάθρα ἀπολῦσαι αὐτήν. Ταῦτα δὲ αὐτοῦ ἐνθυμηθέντος, ἰδού, ἄγγελος Κυρίου κατ' ὄναρ ἐφάνη αὐτῷ, λέγων, Ἰωσήφ, υἱὸς Δαβίδ, μὴ φοβηθῇς παραλαβεῖν Μαριὰμ τὴν γυναῖκά σου· τὸ γὰρ ἐν αὐτῇ γεννηθὲν ἐκ Πνεύματός ἐστιν Ἁγίου. Τέξεται δὲ Υἱόν, καὶ καλέσεις τὸ ὄνομα αὐτοῦ Ἰησοῦν· αὐτὸς γὰρ σώσει τὸν λαὸν αὐτοῦ ἀπὸ τῶν ἁμαρτιῶν αὐτῶν. (Τοῦτο δὲ ὅλον γέγονεν, ἵνα πληρωθῇ τὸ ῥηθὲν ὑπὸ τοῦ Κυρίου διὰ τοῦ προφήτου, λέγοντος, Ἰδού, ἡ Παρθένος ἐν γαστρὶ ἕξει, καὶ τέξεται Υἱόν, καὶ καλέσουσι τὸ ὄνομα αὐτοῦ Ἐμμανουήλ, ὅ ἐστι, μεθερμηνευόμενον, Μεθ' ἡμῶν ὁ Θεός.) Διεγερθεὶς δὲ ὁ Ἰωσὴφ ἀπὸ τοῦ ὕπνου, ἐποίησεν ὡς προσέταξεν αὐτῷ ὁ ἄγγελος Κυρίου, καὶ παρέλαβε τὴν γυναῖκα αὐτοῦ· Καὶ οὐκ ἐγίνωσκεν αὐτὴν ἕως οὗ ἔτεκεν τὸν Υἱὸν αὐτῆς τὸν πρωτότοκον, καὶ ἐκάλεσε τὸ ὄνομα αὐτοῦ Ἰησοῦν.

Η ΠΕΡΙΤΟΜΗ ΤΟΥ ΧΡΙΣΤΟΥ.

Εὐχή.

Ὁ Θεὸς ὁ Παντοκράτωρ, ὁ ποιήσας τὸν εὐλογητόν σου Υἱὸν ὑπὲρ ἀνθρώπων περιτμηθῆναι, καὶ ὑπήκοον γενέσθαι τῷ νόμῳ· Χάρισαι ἡμῖν τὴν τοῦ Πνεύματος ἀληθινὴν περιτομήν, ἵνα τῶν καρδιῶν καὶ πάντων τῶν μελῶν ἡμῶν πρὸς πᾶσαν κοσμικὴν καὶ σαρκικὴν νεκρωθέντων ἐπιθυμίαν, τῷ εὐλογητῷ σου θελήματι ἐν πᾶσιν ὑπακούωμεν, διὰ τοῦ αὐτοῦ τοῦ Υἱοῦ σου Ἰησοῦ Χριστοῦ τοῦ Κυρίου ἡμῶν. Ἀμήν.

Ἀπόστολος.

Ῥωμ. Δ' 8. ΜΑκάριος ἀνὴρ ᾧ οὐ μὴ λογίσηται Κύριος ἁμαρτίαν. Ὁ μακαρισμὸς οὖν οὗτος ἐπὶ τὴν περιτομὴν μόνον ἢ καὶ ἐπὶ τὴν ἀκροβυστίαν; Λέγομεν γάρ, ὅτι ἐλογίσθη

τῷ Ἀβραὰμ ἡ πίστις εἰς δικαιοσύνην. Πῶς οὖν ἐλογίσθη; ἐν περιτομῇ ὄντι, ἢ ἐν ἀκροβυστίᾳ; οὐκ ἐν περιτομῇ, ἀλλ' ἐν ἀκροβυστίᾳ. Καὶ σημεῖον ἔλαβε περιτομῆς, σφραγῖδα τῆς δικαιοσύνης τῆς πίστεως τῆς ἐν τῇ ἀκροβυστίᾳ· εἰς τὸ εἶναι αὐτὸν πατέρα πάντων τῶν πιστευόντων δι' ἀκροβυστίας· εἰς τὸ λογισθῆναι καὶ αὐτοῖς τὴν δικαιοσύνην· Καὶ πατέρα περιτομῆς, τοῖς οὐκ ἐκ περιτομῆς μόνον, ἀλλὰ καὶ τοῖς στοιχοῦσι τοῖς ἴχνεσι τῆς ἐν τῇ ἀκροβυστίᾳ πίστεως τοῦ πατρὸς ἡμῶν Ἀβραάμ. Οὐ γὰρ διὰ νόμου ἡ ἐπαγγελία τῷ Ἀβραὰμ ἢ τῷ σπέρματι αὐτοῦ, τὸ κληρονόμον αὐτὸν εἶναι τοῦ κόσμου, ἀλλὰ διὰ δικαιοσύνης πίστεως. Εἰ γὰρ οἱ ἐκ νόμου κληρονόμοι, κεκένωται ἡ πίστις, καὶ κατήργηται ἡ ἐπαγγελία.

Εὐαγγέλιον.

ΚΑὶ ἐγένετο, ὡς ἀπῆλθον ἀπ' αὐτῶν εἰς τὸν οὐρανὸν οἱ ἄγγελοι, καὶ οἱ ἄνθρωποι οἱ ποιμένες εἶπον πρὸς ἀλλήλους, Διέλθωμεν δὴ ἕως Βηθλεέμ, καὶ ἴδωμεν τὸ ῥῆμα τοῦτο τὸ γεγονός, ὃ ὁ Κύριος ἐγνώρισεν ἡμῖν. Καὶ ἦλθον σπεύσαντες, καὶ ἀνεῦρον τήν τε Μαριὰμ καὶ τὸν Ἰωσήφ, καὶ τὸ βρέφος κείμενον ἐν τῇ φάτνῃ. Ἰδόντες δέ, διεγνώρισαν περὶ τοῦ ῥήματος τοῦ λαληθέντος αὐτοῖς περὶ τοῦ παιδίου τούτου. Καὶ πάντες οἱ ἀκούσαντες ἐθαύμασαν περὶ τῶν λαληθέντων ὑπὸ τῶν ποιμένων πρὸς αὐτούς. Ἡ δὲ Μαριὰμ πάντα συνετήρει τὰ ῥήματα ταῦτα, συμβάλλουσα ἐν τῇ καρδίᾳ αὐτῆς. Καὶ ἐπέστρεψαν οἱ ποιμένες, δοξάζοντες καὶ αἰνοῦντες τὸν Θεὸν ἐπὶ πᾶσιν οἷς ἤκουσαν καὶ εἶδον, καθὼς ἐλαλήθη πρὸς αὐτούς. Καὶ ὅτε ἐπλήσθησαν ἡμέραι ὀκτὼ τοῦ περιτεμεῖν τὸ παιδίον, καὶ ἐκλήθη τὸ ὄνομα αὐτοῦ ἸΗΣΟΥΣ, τὸ κληθὲν ὑπὸ τοῦ ἀγγέλου πρὸ τοῦ συλληφθῆναι αὐτὸν ἐν τῇ κοιλίᾳ.

Λουκᾶ Β' 15.

¶ Ἡ αὐτὴ Εὐχή, Ἀπόστολος, καὶ Εὐαγγέλιον χρησιμεύει δι' ἑκάστην ἑπομένην ἡμέραν μέχρι τῶν Θεοφανείων.

ΤΑ ΘΕΟΦΑΝΕΙΑ

ΤΑ ΘΕΟΦΑΝΕΙΑ, ΗΤΟΙ Η ΦΑΝΕΡΩΣΙΣ ΤΟΥ ΧΡΙΣΤΟΥ ΕΙΣ ΤΑ ΕΘΝΗ.

Εὐχή.

Ὁ Θεός, ὁ δι' ἀστέρος ὁδηγοῦντος τὸν Υἱόν σου τὸν μονογενῆ τοῖς Ἔθνεσι φανερώσας· Ἵλεως παράσχου, ἵνα ἡμεῖς οἱ νῦν διὰ πίστεώς Σε ἐγνωκότες, μετὰ ταύτην τὴν ζωὴν εἰς τὴν τῆς ἐνδόξου σου θεότητος φθάσωμεν ἀπόλαυσιν, διὰ Ἰησοῦ Χριστοῦ τοῦ Κυρίου ἡμῶν. Ἀμήν.

Ἀπόστολος.

Ἐφεσ. Γ΄ 1. Τούτου χάριν, ἐγὼ Παῦλος, ὁ δέσμιος τοῦ Ἰησοῦ Χριστοῦ ὑπὲρ ὑμῶν τῶν Ἐθνῶν· εἴγε ἠκούσατε τὴν οἰκονομίαν τῆς χάριτος τοῦ Θεοῦ, τῆς δοθείσης μοι εἰς ὑμᾶς· Ὅτι κατὰ ἀποκάλυψιν ἐγνώρισέ μοι τὸ μυστήριον (καθὼς προέγραψα ἐν ὀλίγῳ, πρὸς ὃ δύνασθε ἀναγινώσκοντες νοῆσαι τὴν σύνεσίν μου ἐν τῷ μυστηρίῳ τοῦ Χριστοῦ) ὃ ἐν ἑτέραις γενεαῖς οὐκ ἐγνωρίσθη τοῖς υἱοῖς τῶν ἀνθρώπων, ὡς νῦν ἀπεκαλύφθη τοῖς ἁγίοις Ἀποστόλοις αὐτοῦ καὶ Προφήταις ἐν Πνεύματι· Εἶναι τὰ Ἔθνη συγκληρονόμα, καὶ σύσσωμα, καὶ συμμέτοχα τῆς ἐπαγγελίας αὐτοῦ ἐν τῷ Χριστῷ, διὰ τοῦ Εὐαγγελίου· οὗ ἐγενόμην διάκονος, κατὰ τὴν δωρεὰν τῆς χάριτος τοῦ Θεοῦ τὴν δοθεῖσάν μοι κατὰ τὴν ἐνέργειαν τῆς δυνάμεως αὐτοῦ. Ἐμοί, τῷ ἐλαχιστοτέρῳ πάντων τῶν ἁγίων, ἐδόθη ἡ χάρις αὕτη, ἐν τοῖς Ἔθνεσιν εὐαγγελίσασθαι τὸν ἀνεξιχνίαστον πλοῦτον τοῦ Χριστοῦ· καὶ φωτίσαι πάντας, τίς ἡ κοινωνία τοῦ μυστηρίου, τοῦ ἀποκεκρυμμένου ἀπὸ τῶν αἰώνων ἐν τῷ Θεῷ, τῷ τὰ πάντα κτίσαντι διὰ Ἰησοῦ Χριστοῦ· Ἵνα γνωρισθῇ νῦν ταῖς ἀρχαῖς καὶ ταῖς ἐξουσίαις ἐν τοῖς ἐπουρανίοις, διὰ τῆς Ἐκκλησίας, ἡ πολυποίκιλος σοφία τοῦ Θεοῦ, κατὰ πρόθεσιν τῶν αἰώνων ἣν ἐποίησεν ἐν Χριστῷ Ἰησοῦ τῷ Κυρίῳ ἡμῶν. Ἐν ᾧ ἔχομεν τὴν παρρη-

σίαν καὶ τὴν προσαγωγὴν ἐν πεποιθήσει διὰ τῆς πίστεως αὐτοῦ.

Εὐαγγέλιον.

Ἰησοῦ γεννηθέντος ἐν Βηθλεὲμ τῆς Ἰουδαίας, ἐν ἡμέραις Ματθ.
Ἡρώδου τοῦ βασιλέως, ἰδού, μάγοι ἀπὸ ἀνατολῶν Β΄ 1.
παρεγένοντο εἰς Ἱεροσόλυμα, λέγοντες, Ποῦ ἐστιν ὁ τεχθεὶς Βασιλεὺς τῶν Ἰουδαίων; εἴδομεν γὰρ αὐτοῦ τὸν ἀστέρα ἐν τῇ ἀνατολῇ, καὶ ἤλθομεν προσκυνῆσαι αὐτῷ. Ἀκούσας δὲ Ἡρώδης ὁ βασιλεὺς ἐταράχθη, καὶ πᾶσα Ἱεροσόλυμα μετ᾽ αὐτοῦ. Καὶ συναγαγὼν πάντας τοὺς ἀρχιερεῖς καὶ γραμματεῖς τοῦ λαοῦ, ἐπυνθάνετο παρ᾽ αὐτῶν, ποῦ ὁ Χριστὸς γεννᾶται. Οἱ δὲ εἶπον αὐτῷ, Ἐν Βηθλεὲμ τῆς Ἰουδαίας· Οὕτω γὰρ γέγραπται διὰ τοῦ Προφήτου, Καὶ σὺ Βηθλεὲμ γῆ Ἰούδα, οὐδαμῶς ἐλαχίστη εἶ ἐν τοῖς ἡγεμόσιν Ἰούδα· Ἐκ σοῦ γὰρ ἐξελεύσεται Ἡγούμενος ὅστις ποιμανεῖ τὸν λαόν μου τὸν Ἰσραήλ. Τότε Ἡρώδης λάθρα καλέσας τοὺς μάγους, ἠκρίβωσε παρ᾽ αὐτῶν τὸν χρόνον τοῦ φαινομένου ἀστέρος. Καὶ πέμψας αὐτοὺς εἰς Βηθλεὲμ εἶπε, Πορευθέντες ἀκριβῶς ἐξετάσατε περὶ τοῦ παιδίου, ἐπὰν δὲ εὕρητε, ἀπαγγείλατέ μοι, ὅπως κἀγὼ ἐλθὼν προσκυνήσω αὐτῷ. Οἱ δὲ ἀκούσαντες τοῦ βασιλέως ἐπορεύθησαν· καὶ ἰδού, ὁ ἀστὴρ ὃν εἶδον ἐν τῇ ἀνατολῇ προῆγεν αὐτούς, ἕως ἐλθὼν ἔστη ἐπάνω οὗ ἦν τὸ παιδίον. Ἰδόντες δὲ τὸν ἀστέρα, ἐχάρησαν χαρὰν μεγάλην σφόδρα. Καὶ ἐλθόντες εἰς τὴν οἰκίαν, εἶδον τὸ παιδίον μετὰ Μαρίας τῆς μητρὸς αὐτοῦ, καὶ πεσόντες προσεκύνησαν αὐτῷ· Καὶ ἀνοίξαντες τοὺς θησαυροὺς αὐτῶν προσήνεγκαν αὐτῷ δῶρα, χρυσόν, καὶ λίβανον, καὶ σμύρναν. Καὶ χρηματισθέντες κατ᾽ ὄναρ μὴ ἀνακάμψαι πρὸς Ἡρώδην, δι᾽ ἄλλης ὁδοῦ ἀνεχώρησαν εἰς τὴν χώραν αὐτῶν.

ΚΥΡΙΑΚΗ Α΄ ΜΕΤΑ ΤΑ ΘΕΟΦΑΝΕΙΑ

ΚΥΡΙΑΚΗ ΠΡΩΤΗ ΜΕΤΑ ΤΑ ΘΕΟΦΑΝΕΙΑ.

Εὐχή.

ΔΕόμεθά σου, Κύριε, πρόσδεξαι ἵλεως τὰς προσευχὰς τοῦ ἱκετεύοντός σου λαοῦ, καὶ παράσχου ἵνα νοήσωσι καὶ ἐπιγνῶσιν ὅσα δεῖ ποιεῖν αὐτούς, καὶ λάβωσι χάριν καὶ δύναμιν εἰς τὸ πιστῶς πληρῶσαι αὐτά, διὰ Ἰησοῦ Χριστοῦ τοῦ Κυρίου ἡμῶν. Ἀμήν.

Ἀπόστολος.

Ῥωμ. ΙΒ΄ 1. ΠΑρακαλῶ οὖν ὑμᾶς, ἀδελφοί, διὰ τῶν οἰκτιρμῶν τοῦ
Θεοῦ, παραστῆσαι τὰ σώματα ὑμῶν θυσίαν ζῶσαν,
ἁγίαν, εὐάρεστον τῷ Θεῷ, τὴν λογικὴν λατρείαν ὑμῶν.
Καὶ μὴ συσχηματίζεσθε τῷ αἰῶνι τούτῳ· ἀλλὰ μεταμορ-
φοῦσθε τῇ ἀνακαινώσει τοῦ νοὸς ὑμῶν, εἰς τὸ δοκιμάζειν
ὑμᾶς τί τὸ θέλημα τοῦ Θεοῦ τὸ ἀγαθόν, καὶ εὐάρεστον, καὶ
τέλειον. Λέγω γάρ, διὰ τῆς χάριτος τῆς δοθείσης μοι,
παντὶ τῷ ὄντι ἐν ὑμῖν, μὴ ὑπερφρονεῖν παρ' ὃ δεῖ φρονεῖν,
ἀλλὰ φρονεῖν εἰς τὸ σωφρονεῖν, ἑκάστῳ ὡς ὁ Θεὸς ἐμέρισε
μέτρον πίστεως. Καθάπερ γὰρ ἐν ἑνὶ σώματι μέλη πολλὰ
ἔχομεν, τὰ δὲ μέλη πάντα οὐ τὴν αὐτὴν ἔχει πρᾶξιν· οὕτως
οἱ πολλοὶ ἓν σῶμά ἐσμεν ἐν Χριστῷ, ὁ δὲ καθ' εἷς ἀλλή-
λων μέλη.

Εὐαγγέλιον.

Λουκ. Β΄ 41. ΚΑὶ ἐπορεύοντο οἱ γονεῖς αὐτοῦ κατ' ἔτος εἰς Ἱερου-
σαλὴμ τῇ ἑορτῇ τοῦ πάσχα. Καὶ ὅτε ἐγένετο ἐτῶν
δώδεκα, ἀναβάντων αὐτῶν εἰς Ἱεροσόλυμα, κατὰ τὸ ἔθος
τῆς ἑορτῆς, καὶ τελειωσάντων τὰς ἡμέρας, ἐν τῷ ὑπο-
στρέφειν αὐτούς, ὑπέμεινεν Ἰησοῦς ὁ παῖς ἐν Ἱερουσαλήμ,
καὶ οὐκ ἔγνω Ἰωσὴφ καὶ ἡ μήτηρ αὐτοῦ. Νομίσαντες
δὲ αὐτὸν ἐν τῇ συνοδίᾳ εἶναι, ἦλθον ἡμέρας ὁδόν, καὶ
ἀνεζήτουν αὐτὸν ἐν τοῖς συγγενέσι καὶ ἐν τοῖς γνωστοῖς.

Καὶ μὴ εὑρόντες αὐτόν, ὑπέστρεψαν εἰς Ἱερουσαλήμ, ζητοῦντες αὐτόν. Καὶ ἐγένετο, μεθ' ἡμέρας τρεῖς εὗρον αὐτὸν ἐν τῷ ἱερῷ, καθεζόμενον ἐν μέσῳ τῶν διδασκάλων, καὶ ἀκούοντα αὐτῶν, καὶ ἐπερωτῶντα αὐτούς. Ἐξίσταντο δὲ πάντες οἱ ἀκούοντες αὐτοῦ ἐπὶ τῇ συνέσει καὶ ταῖς ἀποκρίσεσιν αὐτοῦ. Καὶ ἰδόντες αὐτόν, ἐξεπλάγησαν· καὶ πρὸς αὐτὸν ἡ μήτηρ αὐτοῦ εἶπε, Τέκνον, τί ἐποίησας ἡμῖν οὕτως; ἰδοὺ ὁ πατήρ σου κἀγὼ ὀδυνώμενοι ἐζητουμέν σε. Καὶ εἶπε πρὸς αὐτούς, Τί ὅτι ἐζητεῖτέ με; οὐκ ᾔδειτε ὅτι ἐν τοῖς τοῦ πατρός μου δεῖ εἶναί με; Καὶ αὐτοὶ οὐ συνῆκαν τὸ ῥῆμα ὃ ἐλάλησεν αὐτοῖς. Καὶ κατέβη μετ' αὐτῶν, καὶ ἦλθεν εἰς Ναζαρέτ, καὶ ἦν ὑποτασσόμενος αὐτοῖς· καὶ ἡ μήτηρ αὐτοῦ διετήρει πάντα τὰ ῥήματα ταῦτα ἐν τῇ καρδίᾳ αὐτῆς. Καὶ Ἰησοῦς προέκοπτε σοφίᾳ καὶ ἡλικίᾳ, καὶ χάριτι παρὰ Θεῷ καὶ ἀνθρώποις.

ΚΥΡΙΑΚΗ ΔΕΥΤΕΡΑ ΜΕΤΑ ΤΑ ΘΕΟΦΑΝΕΙΑ.

Εὐχή.

Ὁ Θεὸς ὁ Παντοκράτωρ καὶ αἰώνιος, ὁ διοικῶν τὰ σύμπαντα τὰ ἐν τῷ οὐρανῷ καὶ ἐπὶ τῆς γῆς, ἐπάκουσον ἐλεημόνως τῶν δεήσεων τοῦ λαοῦ σου, καὶ τὴν σὴν εἰρήνην δὸς ἡμῖν πάσας τὰς ἡμέρας τῆς ζωῆς ἡμῶν, διὰ Ἰησοῦ Χριστοῦ τοῦ Κυρίου ἡμῶν. Ἀμήν.

Ἀπόστολος.

Ἔχοντες δὲ χαρίσματα, κατὰ τὴν χάριν τὴν δοθεῖσαν ἡμῖν διάφορα, εἴτε προφητείαν, κατὰ τὴν ἀναλογίαν τῆς πίστεως· εἴτε διακονίαν, ἐν τῇ διακονίᾳ· εἴτε ὁ διδάσκων, ἐν τῇ διδασκαλίᾳ· εἴτε ὁ παρακαλῶν, ἐν τῇ παρακλήσει· ὁ μεταδιδούς, ἐν ἁπλότητι· ὁ προϊστάμενος, ἐν σπουδῇ· ὁ ἐλεῶν, ἐν ἱλαρότητι. Ἡ ἀγάπη ἀνυπόκριτος· Ῥωμ. ΙΒ′ 6.

ἀποστυγοῦντες τὸ πονηρόν, κολλώμενοι τῷ ἀγαθῷ. Τῇ φιλαδελφίᾳ εἰς ἀλλήλους φιλόστοργοι, τῇ τιμῇ ἀλλήλους προηγούμενοι· τῇ σπουδῇ μὴ ὀκνηροί· τῷ πνεύματι ζέοντες· τῷ Κυρίῳ δουλεύοντες· τῇ ἐλπίδι χαίροντες· τῇ θλίψει ὑπομένοντες· τῇ προσευχῇ προσκαρτεροῦντες· ταῖς χρείαις τῶν ἁγίων κοινωνοῦντες· τὴν φιλοξενίαν διώκοντες. Εὐλογεῖτε τοὺς διώκοντας ὑμᾶς· εὐλογεῖτε καὶ μὴ καταρᾶσθε. Χαίρειν μετὰ χαιρόντων, καὶ κλαίειν μετὰ κλαιόντων. Τὸ αὐτὸ εἰς ἀλλήλους φρονοῦντες. Μὴ τὰ ὑψηλὰ φρονοῦντες, ἀλλὰ τοῖς ταπεινοῖς συναπαγόμενοι.

Εὐαγγέλιον.

Ἰωάν. Β′1. ΚΑὶ τῇ ἡμέρᾳ τῇ τρίτῃ γάμος ἐγένετο ἐν Κανᾷ τῆς Γαλιλαίας, καὶ ἦν ἡ μήτηρ τοῦ Ἰησοῦ ἐκεῖ. Ἐκλήθη δὲ καὶ ὁ Ἰησοῦς καὶ οἱ μαθηταὶ αὐτοῦ εἰς τὸν γάμον. Καὶ ὑστερήσαντος οἴνου, λέγει ἡ μήτηρ τοῦ Ἰησοῦ πρὸς αὐτόν, Οἶνον οὐκ ἔχουσι· λέγει αὐτῇ ὁ Ἰησοῦς, Τί ἐμοὶ καὶ σοί, γύναι; οὔπω ἥκει ἡ ὥρα μου. Λέγει ἡ μήτηρ αὐτοῦ τοῖς διακόνοις, Ὅ τι ἂν λέγῃ ὑμῖν, ποιήσατε. Ἦσαν δὲ ἐκεῖ ὑδρίαι λίθιναι ἓξ κείμεναι, κατὰ τὸν καθαρισμὸν τῶν Ἰουδαίων, χωροῦσαι ἀνὰ μετρητὰς δύο ἢ τρεῖς. Λέγει αὐτοῖς ὁ Ἰησοῦς, Γεμίσατε τὰς ὑδρίας ὕδατος. Καὶ ἐγέμισαν αὐτὰς ἕως ἄνω. Καὶ λέγει αὐτοῖς, Ἀντλήσατε νῦν, καὶ φέρετε τῷ ἀρχιτρικλίνῳ. Καὶ ἤνεγκαν. Ὡς δὲ ἐγεύσατο ὁ ἀρχιτρίκλινος τὸ ὕδωρ οἶνον γεγενημένον, καὶ οὐκ ᾔδει πόθεν ἐστίν, (οἱ δὲ διάκονοι ᾔδεισαν οἱ ἠντληκότες τὸ ὕδωρ) φωνεῖ τὸν νυμφίον ὁ ἀρχιτρίκλινος, καὶ λέγει αὐτῷ, Πᾶς ἄνθρωπος πρῶτον τὸν καλὸν οἶνον τίθησι, καὶ ὅταν μεθυσθῶσι, τότε τὸν ἐλάσσω· σὺ τετήρηκας τὸν καλὸν οἶνον ἕως ἄρτι. Ταύτην ἐποίησε τὴν ἀρχὴν τῶν σημείων ὁ Ἰησοῦς ἐν Κανᾷ τῆς Γαλιλαίας, καὶ ἐφανέρωσεν τὴν δόξαν αὐτοῦ, καὶ ἐπίστευσαν ἐπ' αὐτὸν οἱ μαθηταὶ αὐτοῦ.

ΚΥΡΙΑΚΗ Γ′ ΜΕΤΑ ΤΑ ΘΕΟΦΑΝΕΙΑ

ΚΥΡΙΑΚΗ ΤΡΙΤΗ ΜΕΤΑ ΤΑ ΘΕΟΦΑΝΕΙΑ.

Εὐχή.

Ὁ Θεὸς ὁ Παντοκράτωρ καὶ αἰώνιος, ἐπὶ τὴν ἀσθένειαν ἡμῶν ἵλεως ἐπίβλεψον, καὶ ἐν παντὶ κινδύνῳ καὶ πάσῃ ἀνάγκῃ ἡμῶν ἔκτεινον τὴν δεξιάν σου εἰς ἀντίληψιν καὶ ὑπεράσπισιν ἡμῶν, διὰ Ἰησοῦ Χριστοῦ τοῦ Κυρίου ἡμῶν. Ἀμήν.

Ἀπόστολος.

ΜΗ γίνεσθε φρόνιμοι παρ᾽ ἑαυτοῖς. Μηδενὶ κακὸν Ῥωμ.
ἀντὶ κακοῦ ἀποδιδόντες. Προνοούμενοι καλὰ ἐνώπιον ΙΒ′ 16.
πάντων ἀνθρώπων. Εἰ δυνατόν, τὸ ἐξ ὑμῶν, μετὰ πάντων ἀνθρώπων εἰρηνεύοντες. Μὴ ἑαυτοὺς ἐκδικοῦντες, ἀγαπητοί, ἀλλὰ δότε τόπον τῇ ὀργῇ· γέγραπται γάρ, Ἐμοὶ ἐκδίκησις· ἐγὼ ἀνταποδώσω, λέγει Κύριος. Ἐὰν οὖν πεινᾷ ὁ ἐχθρός σου, ψώμιζε αὐτόν· ἐὰν διψᾷ, πότιζε αὐτόν· τοῦτο γὰρ ποιῶν ἄνθρακας πυρὸς σωρεύσεις ἐπὶ τὴν κεφαλὴν αὐτοῦ. Μὴ νικῶ ὑπὸ τοῦ κακοῦ, ἀλλὰ νίκα ἐν τῷ ἀγαθῷ τὸ κακόν.

Εὐαγγέλιον.

ΚΑταβάντι αὐτῷ ἀπὸ τοῦ ὄρους, ἠκολούθησαν αὐτῷ Ματθ.
ὄχλοι πολλοί. Καὶ ἰδού, λεπρὸς ἐλθὼν προσεκύνει Η′ 1.
αὐτῷ λέγων, Κύριε, ἐὰν θέλῃς, δύνασαί με καθαρίσαι. Καὶ ἐκτείνας τὴν χεῖρα ἥψατο αὐτοῦ ὁ Ἰησοῦς, λέγων, Θέλω, καθαρίσθητι. Καὶ εὐθέως ἐκαθαρίσθη αὐτοῦ ἡ λέπρα. Καὶ λέγει αὐτῷ ὁ Ἰησοῦς, Ὅρα μηδενὶ εἴπῃς, ἀλλ᾽ ὕπαγε, σεαυτὸν δεῖξον τῷ ἱερεῖ, καὶ προσένεγκε τὸ δῶρον ὃ προσεταξε Μωσῆς εἰς μαρτύριον αὐτοῖς. Εἰσελθόντι δὲ τῷ Ἰησοῦ εἰς Καπερναούμ, προσῆλθεν αὐτῷ ἑκατόνταρχος παρακαλῶν αὐτόν, καὶ λέγων, Κύριε, ὁ παῖς μου βέβληται ἐν τῇ οἰκίᾳ παραλυτικός, δεινῶς βασανιζόμενος. Καὶ λέγει αὐτῷ ὁ Ἰησοῦς, Ἐγὼ ἐλθὼν θεραπεύσω αὐτόν. Καὶ ἀποκριθεὶς ὁ ἑκατόνταρχος ἔφη, Κύριε, οὐκ εἰμὶ ἱκανὸς ἵνα μου ὑπὸ τὴν στέγην εἰσέλθῃς·

ἀλλὰ μόνον εἰπὲ λόγον, καὶ ἰαθήσεται ὁ παῖς μου. Καὶ γὰρ ἐγὼ ἄνθρωπός εἰμι ὑπὸ ἐξουσίαν, ἔχων ὑπ᾽ ἐμαυτὸν στρατιώτας· καὶ λέγω τούτῳ, Πορεύθητι, καὶ πορεύεται· καὶ ἄλλῳ, Ἔρχου, καὶ ἔρχεται· καὶ τῷ δούλῳ μου, Ποίησον τοῦτο, καὶ ποιεῖ. Ἀκούσας δὲ ὁ Ἰησοῦς ἐθαύμασε, καὶ εἶπε τοῖς ἀκολουθοῦσιν, Ἀμὴν λέγω ὑμῖν, οὐδὲ ἐν τῷ Ἰσραὴλ τοσαύτην πίστιν εὗρον. Λέγω δὲ ὑμῖν, ὅτι πολλοὶ ἀπὸ ἀνατολῶν καὶ δυσμῶν ἥξουσι, καὶ ἀνακλιθήσονται μετὰ Ἀβραὰμ καὶ Ἰσαὰκ καὶ Ἰακὼβ ἐν τῇ βασιλείᾳ τῶν οὐρανῶν. Οἱ δὲ υἱοὶ τῆς βασιλείας ἐκβληθήσονται εἰς τὸ σκότος τὸ ἐξώτερον· ἐκεῖ ἔσται ὁ κλαυθμὸς καὶ ὁ βρυγμὸς τῶν ὀδόντων. Καὶ εἶπεν ὁ Ἰησοῦς τῷ ἑκατοντάρχῳ, Ὕπαγε, καὶ ὡς ἐπίστευσας, γενηθήτω σοι. Καὶ ἰάθη ὁ παῖς αὐτοῦ ἐν τῇ ὥρᾳ ἐκείνῃ.

ΚΥΡΙΑΚΗ ΤΕΤΑΡΤΗ ΜΕΤΑ ΤΑ ΘΕΟΦΑΝΕΙΑ.

Εὐχή.

Ὁ Θεός, ὁ ἐπιστάμενος ἡμᾶς ἐν τόσοις καὶ τοσούτοις καθεστῶτας κινδύνοις, ὥστε διὰ τὸ ἀσθενὲς τῆς ἀνθρωπίνης φύσεως μὴ πάντοτε δύνασθαι ὑποστῆναι· Αὐτὸς δὸς ἡμῖν τοιαύτην ἰσχὺν καὶ ὑπεράσπισιν, οἵα δύναται ὑποστηρίσαι ἡμᾶς ἐν παντὶ κινδύνῳ, καὶ διεξαγαγεῖν διὰ παντὸς πειρασμοῦ, διὰ Ἰησοῦ Χριστοῦ τοῦ Κυρίου ἡμῶν. Ἀμήν.

Ἀπόστολος.

Ῥωμ. ΙΓ΄ 1. Πᾶσα ψυχὴ ἐξουσίαις ὑπερεχούσαις ὑποτασσέσθω· οὐ γὰρ ἔστιν ἐξουσία εἰ μὴ ἀπὸ Θεοῦ· αἱ δὲ οὖσαι ἐξουσίαι ὑπὸ τοῦ Θεοῦ τεταγμέναι εἰσίν. Ὥστε ὁ ἀντιτασσόμενος τῇ ἐξουσίᾳ, τῇ τοῦ Θεοῦ διαταγῇ ἀνθέστηκεν· οἱ δὲ ἀνθεστηκότες, ἑαυτοῖς κρῖμα λήψονται. Οἱ γὰρ ἄρχοντες οὐκ εἰσὶ φόβος τῶν ἀγαθῶν ἔργων, ἀλλὰ τῶν κακῶν. Θέλεις δὲ μὴ φοβεῖσθαι τὴν ἐξουσίαν; τὸ ἀγαθὸν ποίει, καὶ ἕξεις ἔπαινον ἐξ αὐτῆς· Θεοῦ γὰρ διάκονός ἐστί σοι εἰς τὸ ἀγαθόν. Ἐὰν

δὲ τὸ κακὸν ποιῇς, φοβοῦ· οὐ γὰρ εἰκῇ τὴν μάχαιραν φορεῖ· Θεοῦ γὰρ διάκονός ἐστιν, ἔκδικος εἰς ὀργὴν τῷ τὸ κακὸν πράσσοντι. Διὸ ἀνάγκη ὑποτάσσεσθαι, οὐ μόνον διὰ τὴν ὀργήν, ἀλλὰ καὶ διὰ τὴν συνείδησιν. Διὰ τοῦτο γὰρ καὶ φόρους τελεῖτε· λειτουργοὶ γὰρ Θεοῦ εἰσιν, εἰς αὐτὸ τοῦτο προσκαρτεροῦντες. Ἀπόδοτε οὖν πᾶσι τὰς ὀφειλάς· τῷ τὸν φόρον, τὸν φόρον· τῷ τὸ τέλος, τὸ τέλος· τῷ τὸν φόβον, τὸν φόβον· τῷ τὴν τιμήν, τὴν τιμήν.

Εὐαγγέλιον.

ΚΑὶ ἐμβάντι αὐτῷ εἰς πλοῖον, ἠκολούθησαν αὐτῷ οἱ μαθηταὶ αὐτοῦ. Καὶ ἰδού, σεισμὸς μέγας ἐγένετο ἐν τῇ θαλάσσῃ, ὥστε τὸ πλοῖον καλύπτεσθαι ὑπὸ τῶν κυμάτων· αὐτὸς δὲ ἐκάθευδε. Καὶ προσελθόντες οἱ μαθηταὶ αὐτοῦ ἤγειραν αὐτόν, λέγοντες, Κύριε, σῶσον ἡμᾶς, ἀπολλύμεθα. Καὶ λέγει αὐτοῖς, Τί δειλοί ἐστε, ὀλιγόπιστοι; Τότε ἐγερθεὶς ἐπετίμησε τοῖς ἀνέμοις καὶ τῇ θαλάσσῃ, καὶ ἐγένετο γαλήνη μεγάλη. Οἱ δὲ ἄνθρωποι ἐθαύμασαν λέγοντες, Ποταπός ἐστιν οὗτος, ὅτι καὶ οἱ ἄνεμοι καὶ ἡ θάλασσα ὑπακούουσιν αὐτῷ; Καὶ ἐλθόντι αὐτῷ εἰς τὸ πέραν εἰς τὴν χώραν τῶν Γεργεσηνῶν, ὑπήντησαν αὐτῷ δύο δαιμονιζόμενοι, ἐκ τῶν μνημείων ἐξερχόμενοι, χαλεποὶ λίαν, ὥστε μὴ ἰσχύειν τινὰ παρελθεῖν διὰ τῆς ὁδοῦ ἐκείνης. Καὶ ἰδού, ἔκραξαν λέγοντες, Τί ἡμῖν καὶ σοί, Ἰησοῦ Υἱὲ τοῦ Θεοῦ; ἦλθες ὧδε πρὸ καιροῦ βασανίσαι ἡμᾶς; Ἦν δὲ μακρὰν ἀπ᾽ αὐτῶν ἀγέλη χοίρων πολλῶν, βοσκομένη. Οἱ δὲ δαίμονες παρεκάλουν αὐτὸν λέγοντες, Εἰ ἐκβάλλεις ἡμᾶς, ἐπίτρεψον ἡμῖν ἀπελθεῖν εἰς τὴν ἀγέλην τῶν χοίρων. Καὶ εἶπεν αὐτοῖς, Ὑπάγετε. Οἱ δὲ ἐξελθόντες ἀπῆλθον εἰς τὴν ἀγέλην τῶν χοίρων· καὶ ἰδού, ὥρμησε πᾶσα ἡ ἀγέλη τῶν χοίρων κατὰ τοῦ κρημνοῦ εἰς τὴν θάλασσαν, καὶ ἀπέθανον ἐν τοῖς ὕδασιν. Οἱ δὲ βόσκοντες ἔφυγον, καὶ ἀπελθόντες εἰς τὴν πόλιν, ἀπήγγειλαν πάντα,

Ματθ. Η′ 23.

καὶ τὰ τῶν δαιμονιζομένων. Καὶ ἰδού, πᾶσα ἡ πόλις ἐξῆλθεν εἰς συνάντησιν τῷ Ἰησοῦ· καὶ ἰδόντες αὐτὸν παρεκάλεσαν, ὅπως μεταβῇ ἀπὸ τῶν ὁρίων αὐτῶν.

ΚΥΡΙΑΚΗ ΠΕΜΠΤΗ ΜΕΤΑ ΤΑ ΘΕΟΦΑΝΕΙΑ.

Εὐχή.

ΔΕόμεθά σου, Κύριε, τὴν σὴν Ἐκκλησίαν καὶ θεραπείαν διατήρει διηνεκῶς ἐν τῇ ἀληθινῇ σου εὐσεβείᾳ, ἵνα οἱ μόνῃ τῇ ἐλπίδι τῆς οὐρανίου σου χάριτος ἐρειδόμενοι, διὰ τῆς κραταιᾶς σου δυνάμεως διαπαντὸς ὑπερασπίζωνται, διὰ Ἰησοῦ Χριστοῦ τοῦ Κυρίου ἡμῶν. Ἀμήν.

Ἀπόστολος.

Κολ. Γ′ 12. ἘΝδύσασθε οὖν (ὡς ἐκλεκτοὶ τοῦ Θεοῦ, ἅγιοι καὶ ἠγαπημένοι) σπλάγχνα οἰκτιρμῶν, χρηστότητα, ταπεινοφροσύνην, πρᾳότητα, μακροθυμίαν· Ἀνεχόμενοι ἀλλήλων, καὶ χαριζόμενοι ἑαυτοῖς, ἐάν τις πρός τινα ἔχῃ μομφήν· καθὼς καὶ ὁ Χριστὸς ἐχαρίσατο ὑμῖν, οὕτω καὶ ὑμεῖς. Ἐπὶ πᾶσι δὲ τούτοις, τὴν ἀγάπην, ἥτις ἐστὶ σύνδεσμος τῆς τελειότητος. Καὶ ἡ εἰρήνη τοῦ Θεοῦ βραβευέτω ἐν ταῖς καρδίαις ὑμῶν, εἰς ἣν καὶ ἐκλήθητε ἐν ἑνὶ σώματι· καὶ εὐχάριστοι γίνεσθε. Ὁ λόγος τοῦ Χριστοῦ ἐνοικείτω ἐν ὑμῖν πλουσίως ἐν πάσῃ σοφίᾳ, διδάσκοντες καὶ νουθετοῦντες ἑαυτοὺς ψαλμοῖς, καὶ ὕμνοις, καὶ ᾠδαῖς πνευματικαῖς, ἐν χάριτι ᾄδοντες ἐν τῇ καρδίᾳ ὑμῶν τῷ Κυρίῳ. Καὶ πᾶν ὅ,τι ἂν ποιῆτε ἐν λόγῳ ἢ ἐν ἔργῳ, πάντα ἐν ὀνόματι Κυρίου Ἰησοῦ, εὐχαριστοῦντες τῷ Θεῷ καὶ Πατρὶ δι᾽ αὐτοῦ.

Εὐαγγέλιον.

Ματθ. ΙΓ′ 24. ὩΜοιώθη ἡ βασιλεία τῶν οὐρανῶν ἀνθρώπῳ σπείροντι καλὸν σπέρμα ἐν τῷ ἀγρῷ αὐτοῦ. Ἐν δὲ τῷ καθεύδειν τοὺς ἀνθρώπους, ἦλθεν αὐτοῦ ὁ ἐχθρὸς καὶ ἔσπειρε ζιζάνια

ἀνὰ μέσον τοῦ σίτου, καὶ ἀπῆλθεν. Ὅτε δὲ ἐβλάστησεν ὁ χόρτος, καὶ καρπὸν ἐποίησε, τότε ἐφάνη καὶ τὰ ζιζάνια. Προσελθόντες δὲ οἱ δοῦλοι τοῦ οἰκοδεσπότου εἶπον αὐτῷ, Κύριε, οὐχὶ καλὸν σπέρμα ἔσπειρας ἐν τῷ σῷ ἀγρῷ; πόθεν οὖν ἔχει τὰ ζιζάνια; Ὁ δὲ ἔφη αὐτοῖς, Ἐχθρὸς ἄνθρωπος τοῦτο ἐποίησεν. Οἱ δὲ δοῦλοι εἶπον αὐτῷ, Θέλεις οὖν ἀπελθόντες συλλέξωμεν αὐτά; Ὁ δὲ ἔφη, Οὔ· μήποτε συλλέγοντες τὰ ζιζάνια, ἐκριζώσητε ἅμα αὐτοῖς τὸν σῖτον. Ἄφετε συναυξάνεσθαι ἀμφότερα μέχρι τοῦ θερισμοῦ· καὶ ἐν τῷ καιρῷ τοῦ θερισμοῦ ἐρῶ τοῖς θερισταῖς, Συλλέξατε πρῶτον τὰ ζιζάνια, καὶ δήσατε αὐτὰ εἰς δέσμας πρὸς τὸ κατακαῦσαι αὐτά· τὸν δὲ σῖτον συναγάγετε εἰς τὴν ἀποθήκην μου.

ΚΥΡΙΑΚΗ ΕΚΤΗ ΜΕΤΑ ΤΑ ΘΕΟΦΑΝΕΙΑ.

Εὐχή.

Ὁ Θεός, οὗ ἐφανερώθη ὁ εὐλογητὸς Υἱὸς ἵνα λύσῃ τὰ ἔργα τοῦ διαβόλου, καὶ ποιήσῃ ἡμᾶς τέκνα Θεοῦ καὶ κληρονόμους ζωῆς αἰωνίου· Αὐτὸς χάρισαι ἡμῖν, δεόμεθά σου, ἵνα ταύτην τὴν ἐλπίδα ἔχοντες ἁγνίζωμεν ἑαυτούς, καθὼς ἐκεῖνος ἁγνός ἐστιν· ὥστε, ὅταν πάλιν φανερωθῇ αὐτὸς μετὰ δυνάμεως καὶ δόξης πολλῆς, ὁμοίους αὐτῷ γενέσθαι ἐν τῇ αἰωνίῳ καὶ ἐνδόξῳ αὐτοῦ βασιλείᾳ, ἔνθα σὺν Σοί, Πάτερ, καὶ Σοί, Πνεῦμα Ἅγιον, συζῇ καὶ συμβασιλεύει εἷς ἀεὶ Θεός, εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

Ἐπιστολή.

Ἴδετε, ποταπὴν ἀγάπην δέδωκεν ἡμῖν ὁ Πατήρ, ἵνα Τέκνα Θεοῦ κληθῶμεν· διὰ τοῦτο ὁ κόσμος οὐ γινώσκει ἡμᾶς, ὅτι οὐκ ἔγνω αὐτόν. Ἀγαπητοί, νῦν τέκνα Θεοῦ ἐσμεν, καὶ οὔπω ἐφανερώθη τί ἐσόμεθα· οἴδαμεν δὲ ὅτι, ἐὰν φανερωθῇ, ὅμοιοι αὐτῷ ἐσόμεθα· ὅτι ὀψόμεθα αὐτὸν καθώς ἐστι. Καὶ πᾶς ὁ ἔχων τὴν ἐλπίδα ταύτην ἐπ᾽ αὐτῷ ἁγνίζει ἑαυτόν, καθὼς Αʹ Ἰωάν. Γʹ 1.

ἐκεῖνος ἁγνός ἐστι. Πᾶς ὁ ποιῶν τὴν ἁμαρτίαν καὶ τὴν ἀνομίαν ποιεῖ· καὶ ἡ ἁμαρτία ἐστὶν ἡ ἀνομία. Καὶ οἴδατε ὅτι ἐκεῖνος ἐφανερώθη ἵνα τὰς ἁμαρτίας ἡμῶν ἄρῃ· καὶ ἁμαρτία ἐν αὐτῷ οὐκ ἔστι. Πᾶς ὁ ἐν αὐτῷ μένων οὐχ ἁμαρτάνει· πᾶς ὁ ἁμαρτάνων οὐχ ἑώρακεν αὐτόν, οὐδὲ ἔγνωκεν αὐτόν. Τεκνία, μηδεὶς πλανάτω ὑμᾶς· ὁ ποιῶν τὴν δικαιοσύνην δίκαιός ἐστι, καθὼς ἐκεῖνος δίκαιός ἐστιν. Ὁ ποιῶν τὴν ἁμαρτίαν ἐκ τοῦ διαβόλου ἐστίν· ὅτι ἀπ᾽ ἀρχῆς ὁ διάβολος ἁμαρτάνει. Εἰς τοῦτο ἐφανερώθη ὁ Υἱὸς τοῦ Θεοῦ, ἵνα λύσῃ τὰ ἔργα τοῦ διαβόλου.

Εὐαγγέλιον.

Ματθ. ΚΔ΄ 23.

ΤΟτε ἐάν τις ὑμῖν εἴπῃ, Ἰδοὺ ὧδε ὁ Χριστὸς ἢ ὧδε, μὴ πιστεύσητε. Ἐγερθήσονται γὰρ ψευδόχριστοι καὶ ψευδοπροφῆται, καὶ δώσουσι σημεῖα μεγάλα καὶ τέρατα· ὥστε πλανῆσαι (εἰ δυνατόν) καὶ τοὺς ἐκλεκτούς. Ἰδού, προείρηκα ὑμῖν. Ἐὰν οὖν εἴπωσιν ὑμῖν, Ἰδού, ἐν τῇ ἐρήμῳ ἐστί, μὴ ἐξέλθητε· ἰδού, ἐν τοῖς ταμείοις, μὴ πιστεύσητε. Ὥσπερ γὰρ ἡ ἀστραπὴ ἐξέρχεται ἀπὸ ἀνατολῶν καὶ φαίνεται ἕως δυσμῶν, οὕτως ἔσται καὶ ἡ παρουσία τοῦ Υἱοῦ τοῦ ἀνθρώπου. Ὅπου γὰρ ἐὰν ᾖ τὸ πτῶμα, ἐκεῖ συναχθήσονται οἱ ἀετοί. Εὐθέως δὲ μετὰ τὴν θλῖψιν τῶν ἡμερῶν ἐκείνων, ὁ ἥλιος σκοτισθήσεται, καὶ ἡ σελήνη οὐ δώσει τὸ φέγγος αὐτῆς, καὶ οἱ ἀστέρες πεσοῦνται ἀπὸ τοῦ οὐρανοῦ, καὶ αἱ δυνάμεις τῶν οὐρανῶν σαλευθήσονται. Καὶ τότε φανήσεται τὸ σημεῖον τοῦ Υἱοῦ τοῦ ἀνθρώπου ἐν τῷ οὐρανῷ· καὶ τότε κόψονται πᾶσαι αἱ φυλαὶ τῆς γῆς, καὶ ὄψονται τὸν Υἱὸν τοῦ ἀνθρώπου ἐρχόμενον ἐπὶ τῶν νεφελῶν τοῦ οὐρανοῦ μετὰ δυνάμεως καὶ δόξης πολλῆς. Καὶ ἀποστελεῖ τοὺς ἀγγέλους αὐτοῦ μετὰ σάλπιγγος φωνῆς μεγάλης, καὶ ἐπισυνάξουσι τοὺς ἐκλεκτοὺς αὐτοῦ ἐκ τῶν τεσσάρων ἀνέμων, ἀπ᾽ ἄκρων οὐρανῶν ἕως ἄκρων αὐτῶν.

Η SEPTUAGESIMA

ΚΥΡΙΑΚΗ ΛΕΓΟΜΕΝΗ SEPTUAGESIMA, ΗΤΟΙ Η ΤΡΙΤΗ ΚΥΡΙΑΚΗ ΠΡΟ ΤΩΝ ΝΗΣΤΕΙΩΝ.

Εὐχή.

ΔΕόμεθά σου, Κύριε, τῶν προσευχῶν τοῦ λαοῦ σου ἵλεως ἐπάκουσον, ἵνα ἡμεῖς οἱ διὰ τὰς ἁμαρτίας ἡμῶν δικαίως κολαζόμενοι, διὰ τῆς χρηστότητός σου ἐλεημόνως ῥυσθῶμεν, εἰς τὴν δόξαν τοῦ Ὀνόματός σου, διὰ Ἰησοῦ Χριστοῦ τοῦ Σωτῆρος ἡμῶν, τοῦ σὺν Σοὶ καὶ τῷ ἁγίῳ Πνεύματι συζῶντος καὶ συμβασιλεύοντος, ἑνὸς ἀεὶ Θεοῦ, εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

Ἀπόστολος.

ΟΥκ οἴδατε ὅτι οἱ ἐν σταδίῳ τρέχοντες, πάντες μὲν τρέχουσιν, Α΄ Κορ.
εἷς δὲ λαμβάνει τὸ βραβεῖον; Οὕτω τρέχετε ἵνα κατα- Θ΄ 24.
λάβητε. Πᾶς δὲ ὁ ἀγωνιζόμενος, πάντα ἐγκρατεύεται· Ἐκεῖνοι μὲν οὖν ἵνα φθαρτὸν στέφανον λάβωσιν, ἡμεῖς δὲ ἄφθαρτον. Ἐγὼ τοίνυν οὕτω τρέχω, ὡς οὐκ ἀδήλως· οὕτω πυκτεύω, ὡς οὐκ ἀέρα δέρων· ἀλλ' ὑπωπιάζω μου τὸ σῶμα, καὶ δουλαγωγῶ, μήπως, ἄλλοις κηρύξας, αὐτὸς ἀδόκιμος γένωμαι.

Εὐαγγέλιον.

ὉΜοία ἐστιν ἡ βασιλεία τῶν οὐρανῶν ἀνθρώπῳ οἰκο- Ματθ.
δεσπότῃ, ὅστις ἐξῆλθεν ἅμα πρωῒ μισθώσασθαι ἐργά- Κ΄ 1.
τας εἰς τὸν ἀμπελῶνα αὐτοῦ. Συμφωνήσας δὲ μετὰ τῶν ἐργατῶν ἐκ δηναρίου τὴν ἡμέραν, ἀπέστειλεν αὐτοὺς εἰς τὸν ἀμπελῶνα αὐτοῦ. Καὶ ἐξελθὼν περὶ τὴν τρίτην ὥραν, εἶδεν ἄλλους ἑστῶτας ἐν τῇ ἀγορᾷ ἀργούς, κἀκείνοις εἶπεν, Ὑπάγετε καὶ ὑμεῖς εἰς τὸν ἀμπελῶνα, καὶ ὃ ἐὰν ᾖ δίκαιον δώσω ὑμῖν. Οἱ δὲ ἀπῆλθον. Πάλιν ἐξελθὼν περὶ ἕκτην καὶ ἐννάτην ὥραν, ἐποίησεν ὡσαύτως. Περὶ δὲ τὴν ἑνδεκάτην ὥραν ἐξελθὼν εὗρεν ἄλλους ἑστῶτας ἀργούς, καὶ λέγει αὐτοῖς, Τί ὧδε ἑστήκατε ὅλην τὴν ἡμέραν ἀργοί; Λέγουσιν αὐτῷ,

῞Οτι οὐδεὶς ἡμᾶς ἐμισθώσατο. Λέγει αὐτοῖς, Ὑπάγετε καὶ ὑμεῖς εἰς τὸν ἀμπελῶνα, καὶ ὃ ἐὰν ᾖ δίκαιον λήψεσθε. Ὀψίας δὲ γενομένης, λέγει ὁ Κύριος τοῦ ἀμπελῶνος τῷ ἐπιτρόπῳ αὐτοῦ, Κάλεσον τοὺς ἐργάτας καὶ ἀπόδος αὐτοῖς τὸν μισθόν, ἀρξάμενος ἀπὸ τῶν ἐσχάτων ἕως τῶν πρώτων. Καὶ ἐλθόντες οἱ περὶ τὴν ἑνδεκάτην ὥραν, ἔλαβον ἀνὰ δηνάριον. Ἐλθόντες δὲ οἱ πρῶτοι, ἐνόμισαν ὅτι πλείονα λήψονται, καὶ ἔλαβον καὶ αὐτοὶ ἀνὰ δηνάριον. Λαβόντες δέ, ἐγόγγυζον κατὰ τοῦ οἰκοδεσπότου, λέγοντες ὅτι Οὗτοι οἱ ἔσχατοι μίαν ὥραν ἐποίησαν, καὶ ἴσους ἡμῖν αὐτοὺς ἐποίησας, τοῖς βαστάσασι τὸ βάρος τῆς ἡμέρας καὶ τὸν καύσωνα. Ὁ δὲ ἀποκριθεὶς εἶπεν ἑνὶ αὐτῶν, Ἑταῖρε, οὐκ ἀδικῶ σε· οὐχὶ δηναρίου συνεφώνησάς μοι; Ἆρον τὸ σόν, καὶ ὕπαγε· θέλω δὲ τούτῳ τῷ ἐσχάτῳ δοῦναι ὡς καὶ σοί. Ἢ οὐκ ἔξεστί μοι ποιῆσαι ὃ θέλω ἐν τοῖς ἐμοῖς; Ἢ ὁ ὀφθαλμός σου πονηρός ἐστιν, ὅτι ἐγὼ ἀγαθός εἰμι; Οὕτως ἔσονται οἱ ἔσχατοι πρῶτοι, καὶ οἱ πρῶτοι ἔσχατοι· πολλοὶ γάρ εἰσι κλητοί, ὀλίγοι δὲ ἐκλεκτοί.

ΚΥΡΙΑΚΗ ΛΕΓΟΜΕΝΗ SEXAGESIMA, ΗΤΟΙ Η ΔΕΥΤΕΡΑ ΚΥΡΙΑΚΗ ΠΡΟ ΤΩΝ ΝΗΣΤΕΙΩΝ.

Εὐχή.

Κύριε ὁ Θεός, ὁ καθορῶν ὅτι ἐπ' οὐδενὶ ἔργῳ ἡμετέρῳ πεποιθότες ἐσμέν· Ἵλεως παράσχου ἵνα διὰ τῆς σῆς δυνάμεως κατὰ παντὸς ὑπερασπισθῶμεν ἐναντίου, διὰ Ἰησοῦ Χριστοῦ τοῦ Κυρίου ἡμῶν. Ἀμήν.

Ἀπόστολος.

Β′ Κορ. ΙΑ′ 19. Ἡδέως ἀνέχεσθε τῶν ἀφρόνων, φρόνιμοι ὄντες. Ἀνέχεσθε γὰρ εἴ τις ὑμᾶς καταδουλοῖ, εἴ τις κατεσθίει, εἴ τις λαμβάνει, εἴ τις ἐπαίρεται, εἴ τις ὑμᾶς εἰς πρόσωπον δέρει. Κατὰ ἀτιμίαν λέγω, ὡς ὅτι ἡμεῖς ἠσθενήσαμεν· ἐν ᾧ δ' ἄν τις τολμᾷ (ἐν ἀφροσύνῃ λέγω) τολμῶ κἀγώ. Ἑβραῖοί

εἰσι; κἀγώ· Ἰσραηλῖταί εἰσι; κἀγώ· σπέρμα Ἀβραάμ εἰσι; κἀγώ· διάκονοι Χριστοῦ εἰσι; (παραφρονῶν λαλῶ) ὑπὲρ ἐγώ· ἐν κόποις περισσοτέρως· ἐν πληγαῖς ὑπερβαλλόντως· ἐν φυλακαῖς περισσοτέρως· ἐν θανάτοις πολλάκις. Ὑπὸ Ἰουδαίων πεντάκις τεσσαράκοντα παρὰ μίαν ἔλαβον. Τρὶς ἐρραβδίσθην. Ἅπαξ ἐλιθάσθην. Τρὶς ἐναυάγησα. Νυχθήμερον ἐν τῷ βυθῷ πεποίηκα· ὁδοιπορίαις πολλάκις· κινδύνοις ποταμῶν· κινδύνοις λῃστῶν· κινδύνοις ἐκ γένους· κινδύνοις ἐξ ἐθνῶν· κινδύνοις ἐν πόλει· κινδύνοις ἐν ἐρημίᾳ· κινδύνοις ἐν θαλάσσῃ· κινδύνοις ἐν ψευδαδέλφοις· ἐν κόπῳ καὶ μόχθῳ· ἐν ἀγρυπνίαις πολλάκις· ἐν λιμῷ καὶ δίψει· ἐν νηστείαις πολλάκις· ἐν ψύχει καὶ γυμνότητι· χωρὶς τῶν παρεκτός, ἡ ἐπισύστασίς μου ἡ καθ' ἡμέραν, ἡ μέριμνα πασῶν τῶν Ἐκκλησιῶν. Τίς ἀσθενεῖ, καὶ οὐκ ἀσθενῶ; τίς σκανδαλίζεται, καὶ οὐκ ἐγὼ πυροῦμαι; Εἰ καυχᾶσθαι δεῖ, τὰ τῆς ἀσθενείας μου καυχήσομαι. Ὁ Θεὸς καὶ Πατὴρ τοῦ Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ οἶδεν, ὁ ὢν εὐλογητὸς εἰς τοὺς αἰῶνας, ὅτι οὐ ψεύδομαι.

Εὐαγγέλιον.

ΣΥνιόντος ὄχλου πολλοῦ, καὶ τῶν κατὰ πόλιν ἐπιπορευο- Λουκ.
μένων πρὸς αὐτόν, εἶπε διὰ παραβολῆς, Ἐξῆλθεν ὁ Η′ 4.
σπείρων τοῦ σπεῖραι τὸν σπόρον αὐτοῦ· καὶ ἐν τῷ σπείρειν αὐτόν, ὃ μὲν ἔπεσε παρὰ τὴν ὁδόν, καὶ κατεπατήθη, καὶ τὰ πετεινὰ τοῦ οὐρανοῦ κατέφαγεν αὐτό. Καὶ ἕτερον ἔπεσεν ἐπὶ τὴν πέτραν, καὶ φυὲν ἐξηράνθη, διὰ τὸ μὴ ἔχειν ἰκμάδα. Καὶ ἕτερον ἔπεσεν ἐν μέσῳ τῶν ἀκανθῶν, καὶ συμφυεῖσαι αἱ ἄκανθαι ἀπέπνιξαν αὐτό. Καὶ ἕτερον ἔπεσεν ἐπὶ τὴν γῆν τὴν ἀγαθήν, καὶ φυὲν ἐποίησε καρπὸν ἑκατονταπλασίονα. Ταῦτα λέγων ἐφώνει, Ὁ ἔχων ὦτα ἀκούειν ἀκουέτω. Ἐπηρώτων δὲ αὐτὸν οἱ μαθηταὶ αὐτοῦ, λέγοντες, Τίς εἴη ἡ παραβολὴ αὕτη; Ὁ δὲ εἶπεν, Ὑμῖν δέδοται γνῶναι τὰ μυστήρια τῆς βασιλείας τοῦ Θεοῦ· τοῖς δὲ λοιποῖς ἐν παραβολαῖς· ἵνα βλέποντες μὴ

βλέπωσι, καὶ ἀκούοντες μὴ συνιῶσιν. Ἔστι δὲ αὕτη ἡ παραβολή· Ὁ σπόρος ἐστὶν ὁ Λόγος τοῦ Θεοῦ. Οἱ δὲ παρὰ τὴν ὁδὸν εἰσὶν οἱ ἀκούοντες· εἶτα ἔρχεται ὁ διάβολος, καὶ αἴρει τὸν λόγον ἀπὸ τῆς καρδίας αὐτῶν, ἵνα μὴ πιστεύσαντες σωθῶσιν. Οἱ δὲ ἐπὶ τῆς πέτρας, οἵ, ὅταν ἀκούσωσι, μετὰ χαρᾶς δέχονται τὸν λόγον· καὶ οὗτοι ῥίζαν οὐκ ἔχουσιν, οἳ πρὸς καιρὸν πιστεύουσι, καὶ ἐν καιρῷ πειρασμοῦ ἀφίστανται. Τὸ δὲ εἰς τὰς ἀκάνθας πεσόν, οὗτοί εἰσιν οἱ ἀκούσαντες, καὶ ὑπὸ μεριμνῶν καὶ πλούτου καὶ ἡδονῶν τοῦ βίου πορευόμενοι συμπνίγονται, καὶ οὐ τελεσφοροῦσι. Τὸ δὲ ἐν τῇ καλῇ γῇ, οὗτοί εἰσιν, οἵτινες ἐν καρδίᾳ καλῇ καὶ ἀγαθῇ ἀκούσαντες τὸν λόγον κατέχουσι, καὶ καρποφοροῦσιν ἐν ὑπομονῇ.

ΚΥΡΙΑΚΗ ΛΕΓΟΜΕΝΗ QUINQUAGESIMA, ΗΤΟΙ Η ΠΡΩΤΗ ΚΥΡΙΑΚΗ ΠΡΟ ΤΩΝ ΝΗΣΤΕΙΩΝ.

Εὐχή.

Ὁ Κύριος, ὁ διδάξας ἡμᾶς ὅτι πάντα τὰ ἔργα ἡμῶν χωρὶς τῆς ἀγάπης οὐδὲν εἰσίν· Πέμψον τὸ ἅγιόν σου Πνεῦμα, καὶ ἔκχεον εἰς τὰς καρδίας ἡμῶν ἐκεῖνο τὸ καθ' ὑπερβολὴν χάρισμα τῆς ἀγάπης, αὐτὸν τὸν σύνδεσμον τῆς εἰρήνης καὶ πασῶν τῶν ἀρετῶν, χωρὶς οὗτινος πᾶς ὁ ζῶν κατενώπιόν σου νεκρὸς θεωρεῖται· Παράσχου τοῦτο διὰ τὸν μονογενῆ σου Υἱὸν Ἰησοῦν Χριστόν. Ἀμήν.

Ἀπόστολος.

Α΄ Κορ. ΙΓ΄ 1. Ἐὰν ταῖς γλώσσαις τῶν ἀνθρώπων λαλῶ καὶ τῶν ἀγγέλων, ἀγάπην δὲ μὴ ἔχω, γέγονα χαλκὸς ἠχῶν, ἢ κύμβαλον ἀλαλάζον. Καὶ ἐὰν ἔχω προφητείαν, καὶ εἰδῶ τὰ μυστήρια πάντα, καὶ πᾶσαν τὴν γνῶσιν· καὶ ἐὰν ἔχω πᾶσαν τὴν πίστιν, ὥστε ὄρη μεθιστάνειν, ἀγάπην δὲ μὴ ἔχω, οὐδέν εἰμι. Καὶ ἐὰν ψωμίσω πάντα τὰ ὑπάρχοντά μου, καὶ ἐὰν παραδῶ τὸ σῶμά μου ἵνα καυθήσομαι, ἀγάπην δὲ μὴ ἔχω, οὐδὲν ὠφε-

λοῦμαι. Ἡ ἀγάπη μακροθυμεῖ, χρηστεύεται· ἡ ἀγάπη οὐ ζηλοῖ· ἡ ἀγάπη οὐ περπερεύεται, οὐ φυσιοῦται, οὐκ ἀσχημονεῖ, οὐ ζητεῖ τὰ ἑαυτῆς, οὐ παροξύνεται, οὐ λογίζεται τὸ κακόν, οὐ χαίρει ἐπὶ τῇ ἀδικίᾳ, συγχαίρει δὲ τῇ ἀληθείᾳ· πάντα στέγει, πάντα πιστεύει, πάντα ἐλπίζει, πάντα ὑπομένει. Ἡ ἀγάπη οὐδέποτε ἐκπίπτει· εἴτε δὲ προφητεῖαι, καταργηθήσονται· εἴτε γλῶσσαι, παύσονται· εἴτε γνῶσις, καταργηθήσεται. Ἐκ μέρους γὰρ γινώσκομεν, καὶ ἐκ μέρους προφητεύομεν. Ὅταν δὲ ἔλθῃ τὸ τέλειον, τότε τὸ ἐκ μέρους καταργηθήσεται. Ὅτε ἤμην νήπιος ὡς νήπιος ἐλάλουν, ὡς νήπιος ἐφρόνουν, ὡς νήπιος ἐλογιζόμην· ὅτε δὲ γέγονα ἀνήρ, κατήργηκα τὰ τοῦ νηπίου. Βλέπομεν γὰρ ἄρτι δι' ἐσόπτρου ἐν αἰνίγματι, τότε δὲ πρόσωπον πρὸς πρόσωπον· ἄρτι γινώσκω ἐκ μέρους, τότε δὲ ἐπιγνώσομαι καθὼς καὶ ἐπεγνώσθην. Νυνὶ δὲ μένει πίστις, ἐλπίς, ἀγάπη, τὰ τρία ταῦτα· μείζων δὲ τούτων ἡ ἀγάπη.

Εὐαγγέλιον.

ΠΑραλαβὼν ὁ Ἰησοῦς τοὺς δώδεκα εἶπε πρὸς αὐτούς, Λουκ.
Ἰδού, ἀναβαίνομεν εἰς Ἱεροσόλυμα, καὶ τελεσθήσεται ΙΗ´ 31.
πάντα τὰ γεγραμμένα διὰ τῶν προφητῶν τῷ Υἱῷ τοῦ ἀνθρώπου. Παραδοθήσεται γὰρ τοῖς Ἔθνεσι, καὶ ἐμπαιχθήσεται, καὶ ὑβρισθήσεται, καὶ ἐμπτυσθήσεται. Καὶ μαστιγώσαντες, ἀποκτενοῦσιν αὐτόν· καὶ τῇ ἡμέρᾳ τῇ τρίτῃ ἀναστήσεται. Καὶ αὐτοὶ οὐδὲν τούτων συνῆκαν· καὶ ἦν τὸ ῥῆμα τοῦτο κεκρυμμένον ἀπ' αὐτῶν, καὶ οὐκ ἐγίνωσκον τὰ λεγόμενα. Ἐγένετο δέ, ἐν τῷ ἐγγίζειν αὐτὸν εἰς Ἱεριχώ, τυφλός τις ἐκάθητο παρὰ τὴν ὁδὸν προσαιτῶν· Ἀκούσας δὲ ὄχλου διαπορευομένου, ἐπυνθάνετο τί εἴη τοῦτο. Ἀπήγγειλαν δὲ αὐτῷ ὅτι Ἰησοῦς ὁ Ναζωραῖος παρέρχεται. Καὶ ἐβόησε, λέγων, Ἰησοῦ υἱὲ Δαβίδ, ἐλέησόν με. Καὶ οἱ προάγοντες ἐπετίμων αὐτῷ, ἵνα σιωπήσῃ· αὐτὸς δὲ πολλῷ μᾶλλον ἔκραζεν, Υἱὲ Δαβίδ, ἐλέησόν με. Σταθεὶς δὲ ὁ Ἰησοῦς ἐκέλευσεν αὐτὸν ἀχθῆναι

πρὸς αὐτόν· ἐγγίσαντος δὲ αὐτοῦ, ἐπηρώτησεν αὐτόν, λέγων, Τί *σοι θέλεις ποιήσω;* Ὁ *δὲ εἶπε,* Κύριε, *ἵνα ἀναβλέψω.* Καὶ ὁ Ἰησοῦς *εἶπεν αὐτῷ,* Ἀνάβλεψον· *ἡ πίστις σου σέσωκέ σε.* Καὶ *παραχρῆμα ἀνέβλεψε, καὶ ἠκολούθει αὐτῷ, δοξάζων τὸν* Θεόν· *καὶ πᾶς ὁ λαὸς ἰδών, ἔδωκεν αἶνον τῷ* Θεῷ.

Η ΠΡΩΤΗ ΗΜΕΡΑ ΤΩΝ ΝΗΣΤΕΙΩΝ, Η ΚΟΙΝΩΣ ΚΑΛΟΥΜΕΝΗ ΤΕΤΑΡΤΗ ΤΟΥ ΣΠΟΔΟΥ.

Εὐχή.

Ὁ Θεὸς *ὁ παντοκράτωρ καὶ αἰώνιος, ὁ μηδὲν βδελυσσόμενος ὧν ἐποίησας, καὶ πᾶσι τοῖς μετανοοῦσι συγχωρῶν τὰς ἁμαρτίας·* Αὐτὸς *κτίσον ἐν ἡμῖν καρδίας καινὰς καὶ συντετριμμένας, ἵνα τῶν ἁμαρτιῶν ἡμῶν ἀξίως ὀδυρόμενοι, καὶ τὴν ἀθλιότητα ἡμῶν ὁμολογοῦντες, παρὰ* Σοῦ, *τοῦ* Θεοῦ *τῶν οἰκτιρμῶν, τύχωμεν τῆς τελείας ἀφέσεως καὶ συγχωρήσεως, διὰ* Ἰησοῦ Χριστοῦ *τοῦ* Κυρίου *ἡμῶν.* Ἀ*μήν.*

¶ Αὕτη *ἡ* Εὐχὴ *ἀναγινώσκεται καθ' ἑκάστην ἡμέραν τῶν* Νηστειῶν, *μετὰ τὴν διὰ τὴν* Ἡμέραν *διατεταγμένην* Εὐχήν.

Ἀντὶ τοῦ Ἀποστόλου.

Ἰωὴλ Β´ 12. Ἐπιστράφητε *πρὸς μέ, λέγει* Κύριος, *ἐξ ὅλης τῆς καρδίας ὑμῶν, καὶ ἐν νηστείᾳ, καὶ ἐν κλαυθμῷ, καὶ ἐν κοπετῷ.* Καὶ *διαρρήξατε τὰς καρδίας ὑμῶν, καὶ μὴ τὰ ἱμάτια ὑμῶν, καὶ ἐπιστράφητε πρὸς* Κύριον *τὸν* Θεὸν *ὑμῶν· ὅτι ἐλεήμων καὶ οἰκτίρμων ἐστί, μακρόθυμος, καὶ πολυέλεος, καὶ μετανοῶν ἐπὶ ταῖς κακίαις.* Τίς *οἶδεν εἰ ἐπιστρέψει, καὶ μετανοήσει, καὶ ὑπολείψεται ὀπίσω αὐτοῦ εὐλογίαν, καὶ θυσίαν καὶ σπονδὴν* Κυρίῳ *τῷ* Θεῷ *ὑμῶν;* Σαλπίσατε *σάλπιγγι ἐν* Σιών, *ἁγιάσατε νηστείαν, κηρύξατε θεραπείαν, συναγάγετε τὸν λαόν, ἁγιάσατε ἐκκλησίαν, ἐκλέξασθε πρεσβυτέρους, συναγάγετε νήπια θηλάζοντα μαστούς· ἐξελθέτω νυμφίος ἐκ τοῦ κοιτῶνος αὐτοῦ,*

καὶ νύμφη ἐκ τοῦ παστοῦ αὐτῆς· ἀνάμεσον τῆς κρηπῖδος τοῦ θυσιαστηρίου κλαύσονται οἱ ἱερεῖς, οἱ λειτουργοῦντες Κυρίῳ, καὶ ἐροῦσι, Φεῖσαι, Κύριε, τοῦ λαοῦ σου, καὶ μὴ δῷς τὴν κληρονομίαν σου εἰς ὄνειδος, τοῦ κατάρξαι αὐτῶν ἔθνη· ὅπως μὴ εἴπωσιν ἐν τοῖς ἔθνεσι, Ποῦ ἐστιν ὁ Θεὸς αὐτῶν;

Εὐαγγέλιον.

ὍΤαν νηστεύητε, μὴ γίνεσθε ὥσπερ οἱ ὑποκριταί, σκυθρωποί· ἀφανίζουσι γὰρ τὰ πρόσωπα αὐτῶν, ὅπως φανῶσι τοῖς ἀνθρώποις νηστεύοντες. Ἀμὴν λέγω ὑμῖν, ὅτι ἀπέχουσι τὸν μισθὸν αὐτῶν. Σὺ δέ, νηστεύων, ἄλειψαί σου τὴν κεφαλήν, καὶ τὸ πρόσωπον σου νίψαι, ὅπως μὴ φανῇς τοῖς ἀνθρώποις νηστεύων, ἀλλὰ τῷ Πατρί σου τῷ ἐν τῷ κρυπτῷ· καὶ ὁ Πατήρ σου ὁ βλέπων ἐν τῷ κρυπτῷ, ἀποδώσει σοι ἐν τῷ φανερῷ. Μὴ θησαυρίζετε ὑμῖν θησαυροὺς ἐπὶ τῆς γῆς, ὅπου σὴς καὶ βρῶσις ἀφανίζει, καὶ ὅπου κλέπται διορύσσουσι καὶ κλέπτουσι. Θησαυρίζετε δὲ ὑμῖν θησαυροὺς ἐν οὐρανῷ, ὅπου οὔτε σὴς οὔτε βρῶσις ἀφανίζει, καὶ ὅπου κλέπται οὐ διορύσσουσιν οὐδὲ κλέπτουσιν. Ὅπου γάρ ἐστιν ὁ θησαυρὸς ὑμῶν, ἐκεῖ ἔσται καὶ ἡ καρδία ὑμῶν. Ματθ. ϛ′ 16.

ΚΥΡΙΑΚΗ ΠΡΩΤΗ ΤΩΝ ΝΗΣΤΕΙΩΝ.

Εὐχή.

ΚΥριε, ὁ δι' ἡμᾶς ἡμέρας τεσσαράκοντα καὶ νύκτας τεσσαράκοντα νηστεύσας· Αὐτὸς χάρισαι ἡμῖν τοιαύτῃ χρήσασθαι ἀποχῇ, ὥστε, τῆς σαρκὸς τῷ Πνεύματι ὑποταχθείσης, τοῖς θείοις σου κινήμασι πάντοτε ὑπακούειν ἡμᾶς ἐν δικαιοσύνῃ καὶ ὁσιότητι τῆς ἀληθείας, εἰς τὴν τιμὴν καὶ δόξαν σου, τοῦ σὺν τῷ Πατρὶ καὶ τῷ ἁγίῳ Πνεύματι συζῶντος καὶ συμβασιλεύοντος, ἑνὸς Θεοῦ, εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

ΚΥΡΙΑΚΗ Α΄ ΤΩΝ ΝΗΣΤΕΙΩΝ

Ἀπόστολος.

Β. Κορ. ϛ΄ 1. ΣΥνεργοῦντες δὲ καὶ παρακαλοῦμεν, μὴ εἰς κενὸν τὴν χάριν τοῦ Θεοῦ δέξασθαι ὑμᾶς. (Λέγει γάρ, Καιρῷ δεκτῷ ἐπήκουσά σου, καὶ ἐν ἡμέρᾳ σωτηρίας ἐβοήθησά σοι· ἰδού, νῦν καιρὸς εὐπρόσδεκτος· ἰδού, νῦν ἡμέρα σωτηρίας.) Μηδεμίαν ἐν μηδενὶ διδόντες προσκοπήν, ἵνα μὴ μωμηθῇ ἡ διακονία· ἀλλ' ἐν παντὶ συνιστῶντες ἑαυτοὺς ὡς Θεοῦ διάκονοι, ἐν ὑπομονῇ πολλῇ, ἐν θλίψεσιν, ἐν ἀνάγκαις, ἐν στενοχωρίαις, ἐν πληγαῖς, ἐν φυλακαῖς, ἐν ἀκαταστασίαις, ἐν κόποις, ἐν ἀγρυπνίαις, ἐν νηστείαις· ἐν ἁγνότητι, ἐν γνώσει, ἐν μακροθυμίᾳ, ἐν χρηστότητι, ἐν Πνεύματι ἁγίῳ, ἐν ἀγάπῃ ἀνυποκρίτῳ, ἐν λόγῳ ἀληθείας, ἐν δυνάμει Θεοῦ, διὰ τῶν ὅπλων τῆς δικαιοσύνης τῶν δεξιῶν καὶ ἀριστερῶν, διὰ δόξης καὶ ἀτιμίας, διὰ δυσφημίας καὶ εὐφημίας· ὡς πλάνοι, καὶ ἀληθεῖς· ὡς ἀγνοούμενοι, καὶ ἐπιγινωσκόμενοι· ὡς ἀποθνήσκοντες, καὶ ἰδοὺ ζῶμεν· ὡς παιδευόμενοι, καὶ μὴ θανατούμενοι· ὡς λυπούμενοι, ἀεὶ δὲ χαίροντες· ὡς πτωχοί, πολλοὺς δὲ πλουτίζοντες· ὡς μηδὲν ἔχοντες, καὶ πάντα κατέχοντες.

Εὐαγγέλιον.

Ματθ. Δ΄ 1. ΤΟτε ὁ Ἰησοῦς ἀνήχθη εἰς τὴν ἔρημον ὑπὸ τοῦ Πνεύματος, πειρασθῆναι ὑπὸ τοῦ διαβόλου. Καὶ νηστεύσας ἡμέρας τεσσαράκοντα καὶ νύκτας τεσσαράκοντα, ὕστερον ἐπείνασε. Καὶ προσελθὼν αὐτῷ ὁ πειράζων εἶπεν, Εἰ Υἱὸς εἶ τοῦ Θεοῦ, εἰπὲ ἵνα οἱ λίθοι οὗτοι ἄρτοι γένωνται. Ὁ δὲ ἀποκριθεὶς εἶπε, Γέγραπται, Οὐκ ἐπ' ἄρτῳ μόνῳ ζήσεται ἄνθρωπος, ἀλλ' ἐπὶ παντὶ ῥήματι ἐκπορευομένῳ διὰ στόματος Θεοῦ. Τότε παραλαμβάνει αὐτὸν ὁ διάβολος εἰς τὴν ἁγίαν πόλιν, καὶ ἵστησιν αὐτὸν ἐπὶ τὸ πτερύγιον τοῦ ἱεροῦ, καὶ λέγει αὐτῷ, Εἰ Υἱὸς εἶ τοῦ Θεοῦ, βάλε σεαυτὸν κάτω· γέγραπται γάρ, ὅτι Τοῖς ἀγγέλοις αὐτοῦ ἐντελεῖται περὶ σοῦ, καὶ ἐπὶ χειρῶν ἀροῦσί σε, μήποτε προσκόψῃς πρὸς λίθον τὸν πόδα σου.

Ἔφη αὐτῷ ὁ Ἰησοῦς, Πάλιν γέγραπται, Οὐκ ἐκπειράσεις Κύριον τὸν Θεόν σου. Πάλιν παραλαμβάνει αὐτὸν ὁ διάβολος εἰς ὄρος ὑψηλὸν λίαν, καὶ δείκνυσιν αὐτῷ πάσας τὰς βασιλείας τοῦ κόσμου, καὶ τὴν δόξαν αὐτῶν· καὶ λέγει αὐτῷ, Ταῦτα πάντα σοι δώσω, ἐὰν πεσὼν προσκυνήσῃς μοι. Τότε λέγει αὐτῷ ὁ Ἰησοῦς, Ὕπαγε, Σατανᾶ· γέγραπται γάρ, Κύριον τὸν Θεόν σου προσκυνήσεις, καὶ αὐτῷ μόνῳ λατρεύσεις. Τότε ἀφίησιν αὐτὸν ὁ διάβολος, καὶ ἰδού, ἄγγελοι προσῆλθον καὶ διηκόνουν αὐτῷ.

ΚΥΡΙΑΚΗ ΔΕΥΤΕΡΑ ΤΩΝ ΝΗΣΤΕΙΩΝ.

Εὐχή.

Ὁ Θεὸς ὁ Παντοκράτωρ, ὁ εἰδὼς ἡμᾶς πάσης ἐστερημένους δυνάμεως τοῦ ἑαυτοῖς βοηθῆσαι· Αὐτὸς διατήρησον ἡμᾶς τὸ μὲν ἐκτὸς κατὰ τὸ σῶμα, τὸ δὲ ἐντὸς κατὰ τὴν ψυχήν, ἵνα διαφυλαχθῶμεν ἀπὸ παντὸς τῷ σώματι συμβαίνοντος ἐναντίου, καὶ ἀπὸ παντὸς τῇ ψυχῇ προσβάλλοντος καὶ βλάπτοντος λογισμοῦ, διὰ Ἰησοῦ Χριστοῦ τοῦ Κυρίου ἡμῶν. Ἀμήν.

Ἀπόστολος.

Ἀδελφοί, ἐρωτῶμεν ὑμᾶς καὶ παρακαλοῦμεν ἐν Κυρίῳ Α′ Θεσ.
Ἰησοῦ, καθὼς παρελάβετε παρ᾽ ἡμῶν τὸ πῶς δεῖ ὑμᾶς Δ′ 1.
περιπατεῖν, καὶ ἀρέσκειν Θεῷ, ἵνα περισσεύητε μᾶλλον. Οἴδατε γὰρ τίνας παραγγελίας ἐδώκαμεν ὑμῖν διὰ τοῦ Κυρίου Ἰησοῦ. Τοῦτο γάρ ἐστι θέλημα τοῦ Θεοῦ, ὁ ἁγιασμὸς ὑμῶν, ἀπέχεσθαι ὑμᾶς ἀπὸ τῆς πορνείας· εἰδέναι ἕκαστον ὑμῶν τὸ ἑαυτοῦ σκεῦος κτᾶσθαι ἐν ἁγιασμῷ καὶ τιμῇ· μὴ ἐν πάθει ἐπιθυμίας, καθάπερ καὶ τὰ Ἔθνη τὰ μὴ εἰδότα τὸν Θεόν· τὸ μὴ ὑπερβαίνειν, καὶ πλεονεκτεῖν ἐν τῷ πράγματι τὸν ἀδελφὸν αὐτοῦ, διότι ἔκδικος ὁ Κύριος περὶ πάντων τούτων, καθὼς καὶ προείπαμεν ὑμῖν, καὶ διεμαρτυράμεθα. Οὐ γὰρ ἐκάλεσεν ἡμᾶς ὁ Θεὸς ἐπὶ ἀκαθαρσίᾳ, ἀλλ᾽ ἐν ἁγιασμῷ. Τοιγαροῦν ὁ ἀθετῶν, οὐκ ἄνθρωπον ἀθετεῖ, ἀλλὰ τὸν Θεόν, τὸν καὶ δόντα τὸ Πνεῦμα αὐτοῦ τὸ ἅγιον εἰς ἡμᾶς.

ΚΥΡΙΑΚΗ Γ′ ΤΩΝ ΝΗΣΤΕΙΩΝ

Εὐαγγέλιον.

Ματθ. ΙΕ′ 21. ᾿Εξελθὼν ἐκεῖθεν ὁ ᾿Ιησοῦς, ἀνεχώρησεν εἰς τὰ μέρη Τύρου καὶ Σιδῶνος. Καὶ ἰδού, γυνὴ Χαναναία ἀπὸ τῶν ὁρίων ἐκείνων ἐξελθοῦσα ἐκραύγασεν αὐτῷ, λέγουσα, ᾿Ελέησόν με, Κύριε, Υἱὲ Δαβίδ, ἡ θυγάτηρ μου κακῶς δαιμονίζεται. ῾Ο δὲ οὐκ ἀπεκρίθη αὐτῇ λόγον. Καὶ προσελθόντες οἱ μαθηταὶ αὐτοῦ ἠρώτων αὐτόν, λέγοντες, ᾿Απόλυσον αὐτήν, ὅτι κράζει ὄπισθεν ἡμῶν. ῾Ο δὲ ἀποκριθεὶς εἶπεν, Οὐκ ἀπεστάλην, εἰ μὴ εἰς τὰ πρόβατα τὰ ἀπολωλότα οἴκου ᾿Ισραήλ. ῾Η δὲ ἐλθοῦσα προσεκύνει αὐτῷ, λέγουσα, Κύριε βοήθει μοι. ῾Ο δὲ ἀποκριθεὶς εἶπεν, Οὐκ ἔστι καλὸν λαβεῖν τὸν ἄρτον τῶν τέκνων, καὶ βαλεῖν τοῖς κυναρίοις. ῾Η δὲ εἶπε, Ναί, Κύριε· καὶ γὰρ τὰ κυνάρια ἐσθίει ἀπὸ τῶν ψιχίων τῶν πιπτόντων ἀπὸ τῆς τραπέζης τῶν κυρίων αὐτῶν. Τότε ἀποκριθεὶς ὁ ᾿Ιησοῦς εἶπεν αὐτῇ, ῏Ω γύναι, μεγάλη σου ἡ πίστις· γενηθήτω σοι ὡς θέλεις. Καὶ ἰάθη ἡ θυγάτηρ αὐτῆς ἀπὸ τῆς ὥρας ἐκείνης.

ΚΥΡΙΑΚΗ ΤΡΙΤΗ ΤΩΝ ΝΗΣΤΕΙΩΝ.

Εὐχή.

Δεόμεθά σου, Θεὲ Παντοκράτορ, τὰς τῶν ταπεινῶν σου δούλων ἐγκαρδίους ἐπίβλεψον προσευχάς, καὶ τὴν τῆς μεγαλειότητός σου δεξιὰν ἔκτεινον, εἰς ὑπεράσπισιν ἡμῶν κατὰ πάντων τῶν ἀντικειμένων ἡμῖν, διὰ ᾿Ιησοῦ Χριστοῦ τοῦ Κυρίου ἡμῶν. ᾿Αμήν.

᾿Απόστολος.

᾿Εφεσ. Ε′ 1. Γίνεσθε οὖν μιμηταὶ τοῦ Θεοῦ, ὡς τέκνα ἀγαπητά· καὶ περιπατεῖτε ἐν ἀγάπῃ, καθὼς καὶ ὁ Χριστὸς ἠγάπησεν ἡμᾶς, καὶ παρέδωκεν ἑαυτὸν ὑπὲρ ἡμῶν προσφορὰν καὶ θυσίαν τῷ Θεῷ εἰς ὀσμὴν εὐωδίας. Πορνεία δέ, καὶ πᾶσα ἀκαθαρσία, ἢ πλεονεξία, μηδὲ ὀνομαζέσθω ἐν ὑμῖν, καθὼς πρέπει ἁγίοις· καὶ

αἰσχρότης, καὶ μωρολογία, ἢ εὐτραπελία, τὰ οὐκ ἀνήκοντα· ἀλλὰ μᾶλλον εὐχαριστία. Τοῦτο γάρ ἐστε γινώσκοντες, ὅτι πᾶς πόρνος, ἢ ἀκάθαρτος, ἢ πλεονέκτης, ὅς ἐστιν εἰδωλολάτρης, οὐκ ἔχει κληρονομίαν ἐν τῇ βασιλείᾳ τοῦ Χριστοῦ καὶ Θεοῦ. Μηδεὶς ὑμᾶς ἀπατάτω κενοῖς λόγοις· διὰ ταῦτα γὰρ ἔρχεται ἡ ὀργὴ τοῦ Θεοῦ ἐπὶ τοὺς υἱοὺς τῆς ἀπειθείας. Μὴ οὖν γίνεσθε συμμέτοχοι αὐτῶν· Ἦτε γάρ ποτε σκότος, νῦν δὲ φῶς ἐν Κυρίῳ· ὡς τέκνα φωτὸς περιπατεῖτε, (ὁ γὰρ καρπὸς τοῦ πνεύματος ἐν πάσῃ ἀγαθωσύνῃ, καὶ δικαιοσύνῃ, καὶ ἀληθείᾳ) δοκιμάζοντες τί ἐστιν εὐάρεστον τῷ Κυρίῳ. Καὶ μὴ συγκοινωνεῖτε τοῖς ἔργοις τοῖς ἀκάρποις τοῦ σκότους, μᾶλλον δὲ καὶ ἐλέγχετε· Τὰ γὰρ κρυφῇ γινόμενα ὑπ' αὐτῶν αἰσχρόν ἐστι καὶ λέγειν. Τὰ δὲ πάντα ἐλεγχόμενα ὑπὸ τοῦ φωτὸς φανεροῦται· πᾶν γὰρ τὸ φανερούμενον φῶς ἐστι. Διὸ λέγει, Ἔγειραι ὁ καθεύδων, καὶ ἀνάστα ἐκ τῶν νεκρῶν, καὶ ἐπιφαύσει σοι ὁ Χριστός.

Εὐαγγέλιον.

Ἰησοῦς ἦν ἐκβάλλων δαιμόνιον, καὶ αὐτὸ ἦν κωφόν. Ἐγένετο Λουκ.
δὲ τοῦ δαιμονίου ἐξελθόντος, ἐλάλησεν ὁ κωφός· καὶ ἐθαύμα- ΙΑ′ 14.
σαν οἱ ὄχλοι. Τινὲς δὲ ἐξ αὐτῶν εἶπον, Ἐν Βεελζεβούλ, ἄρχοντι τῶν δαιμονίων, ἐκβάλλει τὰ δαιμόνια. Ἕτεροι δὲ πειράζοντες, σημεῖον παρ' αὐτοῦ ἐζήτουν ἐξ οὐρανοῦ. Αὐτὸς δὲ εἰδὼς αὐτῶν τὰ διανοήματα, εἶπεν αὐτοῖς, Πᾶσα βασιλεία ἐφ' ἑαυτὴν διαμερισθεῖσα ἐρημοῦται· καὶ οἶκος ἐπὶ οἶκον, πίπτει. Εἰ δὲ καὶ ὁ Σατανᾶς ἐφ' ἑαυτὸν διεμερίσθη, πῶς σταθήσεται ἡ βασιλεία αὐτοῦ; ὅτι λέγετε ἐν Βεελζεβοὺλ ἐκβάλλειν με τὰ δαιμόνια. Εἰ δὲ ἐγὼ ἐν Βεελζεβοὺλ ἐκβάλλω τὰ δαιμόνια, οἱ υἱοὶ ὑμῶν ἐν τίνι ἐκβάλλουσι; διὰ τοῦτο κριταὶ ὑμῶν αὐτοὶ ἔσονται. Εἰ δὲ ἐν δακτύλῳ Θεοῦ ἐκβάλλω τὰ δαιμόνια, ἄρα ἔφθασεν ἐφ' ὑμᾶς ἡ βασιλεία τοῦ Θεοῦ. Ὅταν ὁ ἰσχυρὸς καθωπλισμένος φυλάσσῃ τὴν ἑαυτοῦ αὐλήν, ἐν εἰρήνῃ ἐστὶ τὰ ὑπάρχοντα αὐτοῦ·

ἐπὰν δὲ ὁ ἰσχυρότερος αὐτοῦ ἐπελθὼν νικήσῃ αὐτόν, τὴν πανοπλίαν αὐτοῦ αἴρει ἐφ᾽ ᾗ ἐπεποίθει, καὶ τὰ σκῦλα αὐτοῦ διαδίδωσιν. Ὁ μὴ ὢν μετ᾽ ἐμοῦ, κατ᾽ ἐμοῦ ἐστι· καὶ ὁ μὴ συνάγων μετ᾽ ἐμοῦ, σκορπίζει. Ὅταν τὸ ἀκάθαρτον πνεῦμα ἐξέλθῃ ἀπὸ τοῦ ἀνθρώπου, διέρχεται δι᾽ ἀνύδρων τόπων, ζητοῦν ἀνάπαυσιν· καὶ μὴ εὑρίσκον, λέγει, Ὑποστρέψω εἰς τὸν οἶκόν μου, ὅθεν ἐξῆλθον. Καὶ ἐλθὸν εὑρίσκει σεσαρωμένον καὶ κεκοσμημένον. Τότε πορεύεται καὶ παραλαμβάνει ἑπτὰ ἕτερα πνεύματα πονηρότερα ἑαυτοῦ, καὶ εἰσελθόντα κατοικεῖ ἐκεῖ· καὶ γίνεται τὰ ἔσχατα τοῦ ἀνθρώπου ἐκείνου χείρονα τῶν πρώτων. Ἐγένετο δὲ ἐν τῷ λέγειν αὐτὸν ταῦτα, ἐπάρασά τις γυνὴ φωνὴν ἐκ τοῦ ὄχλου εἶπεν αὐτῷ, Μακαρία ἡ κοιλία ἡ βαστάσασά σε, καὶ μαστοὶ οὓς ἐθήλασας. Αὐτὸς δὲ εἶπε, Μενοῦνγε, μακάριοι οἱ ἀκούοντες τὸν λόγον τοῦ Θεοῦ καὶ φυλάσσοντες αὐτόν.

ΚΥΡΙΑΚΗ ΤΕΤΑΡΤΗ ΤΩΝ ΝΗΣΤΕΙΩΝ.

Εὐχή.

ΧΑρισαι ἡμῖν, δεόμεθά σου, Θεὲ Παντοκράτορ, ἵνα ἡμεῖς οἱ διὰ τὰ πονηρὰ ἔργα ἡμῶν κατάξιοι ὄντες τοῦ κολασθῆναι, διὰ τῆς παραμυθίας τῆς χάριτός σου δι᾽ ἔλεος ἀναψύξωμεν, διὰ τοῦ Κυρίου καὶ Σωτῆρος ἡμῶν Ἰησοῦ Χριστοῦ. Ἀμήν.

Ἀπόστολος.

Γαλ. ΛΕγετέ μοι, οἱ ὑπὸ νόμον θέλοντες εἶναι, τὸν νόμον οὐκ
Δ′ 21. ἀκούετε; Γέγραπται γάρ, ὅτι Ἀβραὰμ δύο υἱοὺς ἔσχεν, ἕνα ἐκ τῆς παιδίσκης, καὶ ἕνα ἐκ τῆς ἐλευθέρας. Ἀλλ᾽ ὁ μὲν ἐκ τῆς παιδίσκης κατὰ σάρκα γεγέννηται· ὁ δὲ ἐκ τῆς ἐλευθέρας διὰ τῆς ἐπαγγελίας. Ἅτινά ἐστιν ἀλληγορούμενα· αὗται γάρ εἰσιν αἱ δύο διαθῆκαι· μία μὲν ἀπὸ ὄρους Σινᾶ, εἰς δουλείαν γεννῶσα, ἥτις ἐστὶν Ἄγαρ. Τὸ γὰρ Ἄγαρ Σινᾶ ὄρος ἐστὶν ἐν τῇ Ἀραβίᾳ, συστοιχεῖ δὲ τῇ νῦν Ἱερουσαλήμ, δουλεύει δὲ μετὰ

τῶν τέκνων αὐτῆς. Ἡ δὲ ἄνω Ἱερουσαλὴμ ἐλευθέρα ἐστίν· ἥτις ἐστὶ μήτηρ πάντων ἡμῶν. Γέγραπται γάρ, Εὐφράνθητι, στεῖρα ἡ οὐ τίκτουσα· ῥῆξον καὶ βόησον, ἡ οὐκ ὠδίνουσα· ὅτι πολλὰ τὰ τέκνα τῆς ἐρήμου μᾶλλον ἢ τῆς ἐχούσης τὸν ἄνδρα. Ἡμεῖς δέ, ἀδελφοί, κατὰ Ἰσαάκ, ἐπαγγελίας τέκνα ἐσμέν. Ἀλλ' ὥσπερ τότε ὁ κατὰ σάρκα γεννηθεὶς ἐδίωκε τὸν κατὰ πνεῦμα, οὕτω καὶ νῦν. Ἀλλά, τί λέγει ἡ Γραφή; Ἔκβαλε τὴν παιδίσκην καὶ τὸν υἱὸν αὐτῆς· οὐ γὰρ μὴ κληρονομήσῃ ὁ υἱὸς τῆς παιδίσκης μετὰ τοῦ υἱοῦ τῆς ἐλευθέρας. Ἄρα, ἀδελφοί, οὐκ ἐσμὲν παιδίσκης τέκνα, ἀλλὰ τῆς ἐλευθέρας.

Εὐαγγέλιον.

Ἀπῆλθεν ὁ Ἰησοῦς πέραν τῆς θαλάσσης τῆς Γαλιλαίας, τῆς Ἰωάν. ϛ' 1.
Τιβεριάδος. Καὶ ἠκολούθει αὐτῷ ὄχλος πολύς, ὅτι ἑώρων αὐτοῦ τὰ σημεῖα ἃ ἐποίει ἐπὶ τῶν ἀσθενούντων. Ἀνῆλθε δὲ εἰς τὸ ὄρος ὁ Ἰησοῦς, καὶ ἐκεῖ ἐκάθητο μετὰ τῶν μαθητῶν αὐτοῦ. Ἦν δὲ ἐγγὺς τὸ πάσχα, ἡ ἑορτὴ τῶν Ἰουδαίων. Ἐπάρας οὖν ὁ Ἰησοῦς τοὺς ὀφθαλμούς, καὶ θεασάμενος ὅτι πολὺς ὄχλος ἔρχεται πρὸς αὐτόν, λέγει πρὸς τὸν Φίλιππον, Πόθεν ἀγοράσωμεν ἄρτους, ἵνα φάγωσιν οὗτοι; (Τοῦτο δὲ ἔλεγε πειράζων αὐτόν· αὐτὸς γὰρ ᾔδει τί ἔμελλε ποιεῖν.) Ἀπεκρίθη αὐτῷ Φίλιππος, Διακοσίων δηναρίων ἄρτοι οὐκ ἀρκοῦσιν αὐτοῖς, ἵνα ἕκαστος αὐτῶν βραχύ τι λάβῃ. Λέγει αὐτῷ εἷς ἐκ τῶν μαθητῶν αὐτοῦ, Ἀνδρέας, ὁ ἀδελφὸς Σίμωνος Πέτρου, Ἔστι παιδάριον ἓν ὧδε, ὃ ἔχει πέντε ἄρτους κριθίνους, καὶ δύο ὀψάρια· ἀλλὰ ταῦτα τί ἐστιν εἰς τοσούτους; Εἶπε δὲ ὁ Ἰησοῦς, Ποιήσατε τοὺς ἀνθρώπους ἀναπεσεῖν. Ἦν δὲ χόρτος πολὺς ἐν τῷ τόπῳ. Ἀνέπεσον οὖν οἱ ἄνδρες, τὸν ἀριθμὸν ὡσεὶ πεντακισχίλιοι. Ἔλαβε δὲ τοὺς ἄρτους ὁ Ἰησοῦς, καὶ εὐχαριστήσας διέδωκε τοῖς μαθηταῖς, οἱ δὲ μαθηταὶ τοῖς ἀνακειμένοις, ὁμοίως καὶ ἐκ τῶν ὀψαρίων ὅσον ἤθελον. Ὡς δὲ ἐνεπλήσθησαν, λέγει τοῖς μαθηταῖς αὐτοῦ, Συναγάγετε τὰ

περισσεύσαντα κλάσματα, ἵνα μή τι ἀπόληται. Συνήγαγον οὖν, καὶ ἐγέμισαν δώδεκα κοφίνους κλασμάτων ἐκ τῶν πέντε ἄρτων τῶν κριθίνων, ἃ ἐπερίσσευσε τοῖς βεβρωκόσιν. Οἱ οὖν ἄνθρωποι, ἰδόντες ὃ ἐποίησε σημεῖον ὁ Ἰησοῦς, ἔλεγον ὅτι Οὗτός ἐστιν ἀληθῶς ὁ προφήτης ὁ ἐρχόμενος εἰς τὸν κόσμον.

ΚΥΡΙΑΚΗ ΠΕΜΠΤΗ ΤΩΝ ΝΗΣΤΕΙΩΝ.

Εὐχή.

ΔΕόμεθά σου, Θεὲ Παντοκράτορ, τὸν λαόν σου ἵλεως ἐπίβλεψον· ἵνα αὐτοὶ πάντοτε διὰ τῆς πολλῆς σου χρηστότητος σώματι καὶ ψυχῇ κυβερνῶνται καὶ διατηρῶνται, διὰ Ἰησοῦ Χριστοῦ τοῦ Κυρίου ἡμῶν. Ἀμήν.

Ἀπόστολος.

Ἑβρ. ΧΡιστὸς παραγενόμενος ἀρχιερεὺς τῶν μελλόντων ἀγαθῶν,
Θ΄ 11. διὰ τῆς μείζονος καὶ τελειοτέρας σκηνῆς, οὐ χειροποιήτου, τουτέστιν, οὐ ταύτης τῆς κτίσεως· οὐδὲ δι' αἵματος τράγων καὶ μόσχων· διὰ δὲ τοῦ ἰδίου αἵματος εἰσῆλθεν ἐφάπαξ εἰς τὰ ἅγια, αἰωνίαν λύτρωσιν εὑράμενος. Εἰ γὰρ τὸ αἷμα ταύρων καὶ τράγων, καὶ σποδὸς δαμάλεως ῥαντίζουσα τοὺς κεκοινωμένους, ἁγιάζει πρὸς τὴν τῆς σαρκὸς καθαρότητα· πόσῳ μᾶλλον τὸ αἷμα τοῦ Χριστοῦ, ὃς διὰ Πνεύματος αἰωνίου ἑαυτὸν προσήνεγκεν ἄμωμον τῷ Θεῷ, καθαριεῖ τὴν συνείδησιν ὑμῶν ἀπὸ νεκρῶν ἔργων εἰς τὸ λατρεύειν Θεῷ ζῶντι; Καὶ διὰ τοῦτο διαθήκης καινῆς Μεσίτης ἐστίν, ὅπως θανάτου γενομένου εἰς ἀπολύτρωσιν τῶν ἐπὶ τῇ πρώτῃ διαθήκῃ παραβάσεων, τὴν ἐπαγγελίαν λάβωσιν οἱ κεκλημένοι τῆς αἰωνίου κληρονομίας.

Εὐαγγέλιον.

Ἰωάν. ΕἸπεν ὁ Ἰησοῦς, Τίς ἐξ ὑμῶν ἐλέγχει με περὶ ἁμαρτίας; Εἰ
Η΄ 46. δὲ ἀλήθειαν λέγω, διατί ὑμεῖς οὐ πιστεύετέ μοι; Ὁ ὢν ἐκ τοῦ Θεοῦ, τὰ ῥήματα τοῦ Θεοῦ ἀκούει· διὰ τοῦτο ὑμεῖς οὐκ

ἀκούετε, ὅτι ἐκ τοῦ Θεοῦ οὐκ ἐστέ. Ἀπεκρίθησαν οὖν οἱ Ἰουδαῖοι, καὶ εἶπον αὐτῷ, Οὐ καλῶς λέγομεν ἡμεῖς ὅτι Σαμαρείτης εἶ σύ, καὶ δαιμόνιον ἔχεις; Ἀπεκρίθη Ἰησοῦς, Ἐγὼ δαιμόνιον οὐκ ἔχω· ἀλλὰ τιμῶ τὸν Πατέρα μου, καὶ ὑμεῖς ἀτιμάζετέ με. Ἐγὼ δὲ οὐ ζητῶ τὴν δόξαν μου· ἔστιν ὁ ζητῶν καὶ κρίνων. Ἀμήν, ἀμήν, λέγω ὑμῖν, Ἐάν τις τὸν λόγον τὸν ἐμὸν τηρήσῃ, θάνατον οὐ μὴ θεωρήσῃ εἰς τὸν αἰῶνα. Εἶπον οὖν αὐτῷ οἱ Ἰουδαῖοι, Νῦν ἐγνώκαμεν ὅτι δαιμόνιον ἔχεις. Ἀβραὰμ ἀπέθανε, καὶ οἱ προφῆται· καὶ σὺ λέγεις, Ἐάν τις τὸν λόγον μου τηρήσῃ, οὐ μὴ γεύσεται θανάτου εἰς τὸν αἰῶνα. Μὴ σὺ μείζων εἶ τοῦ πατρὸς ἡμῶν Ἀβραάμ, ὅστις ἀπέθανε; καὶ οἱ προφῆται ἀπέθανον· τίνα σεαυτὸν σὺ ποιεῖς; Ἀπεκρίθη Ἰησοῦς, Ἐὰν ἐγὼ δοξάζω ἐμαυτόν, ἡ δόξα μου οὐδέν ἐστιν· ἔστιν ὁ Πατήρ μου ὁ δοξάζων με, ὃν ὑμεῖς λέγετε, ὅτι Θεὸς ὑμῶν ἐστι· καὶ οὐκ ἐγνώκατε αὐτόν· ἐγὼ δὲ οἶδα αὐτόν· καὶ ἐὰν εἴπω ὅτι Οὐκ οἶδα αὐτόν, ἔσομαι ὅμοιος ὑμῶν ψεύστης· ἀλλ' οἶδα αὐτόν, καὶ τὸν λόγον αὐτοῦ τηρῶ. Ἀβραὰμ ὁ πατὴρ ὑμῶν ἠγαλλιάσατο ἵνα ἴδῃ τὴν ἡμέραν τὴν ἐμήν, καὶ εἶδε, καὶ ἐχάρη. Εἶπον οὖν οἱ Ἰουδαῖοι πρὸς αὐτόν, Πεντήκοντα ἔτη οὔπω ἔχεις, καὶ Ἀβραὰμ ἑώρακας; Εἶπεν αὐτοῖς ὁ Ἰησοῦς, Ἀμήν, ἀμήν, λέγω ὑμῖν, Πρὶν Ἀβραὰμ γενέσθαι, ἐγώ εἰμι. Ἦραν οὖν λίθους ἵνα βάλωσιν ἐπ' αὐτόν· Ἰησοῦς δὲ ἐκρύβη, καὶ ἐξῆλθεν ἐκ τοῦ ἱεροῦ.

ΚΥΡΙΑΚΗ ΠΡΩΤΗ ΠΡΟ ΤΟΥ ΠΑΣΧΑ.

Εὐχή.

Ὁ Θεὸς ὁ Παντοκράτωρ καὶ αἰώνιος, ὁ διὰ τὰ σπλάγχνα τῆς φιλανθρωπίας σου ἀποστείλας τὸν Υἱόν σου, τὸν Σωτῆρα ἡμῶν Ἰησοῦν Χριστόν, τὴν ἡμετέραν προσλήψασθαι σάρκα, καὶ τὸν θάνατον ὑπομεῖναι ἐπὶ τοῦ σταυροῦ, ἵνα πᾶν τὸ γένος τῶν ἀνθρώπων τῷ ὑποδείγματι ἐξακολουθήσῃ τῆς πολλῆς

αὐτοῦ ταπεινοφροσύνης· Αὐτὸς ἡμῖν ἵλεως παράσχου, τὸ ὑπόδειγμα τῆς ὑπομονῆς αὐτοῦ μιμεῖσθαι, καὶ τῆς ἀναστάσεως αὐτοῦ γενέσθαι μετόχους, διὰ τοῦ αὐτοῦ Ἰησοῦ Χριστοῦ τοῦ Κυρίου ἡμῶν. Ἀμήν.

Ἀπόστολος.

Φιλιπ. Β' 5. ΤΟῦτο φρονείσθω ἐν ὑμῖν, ὃ καὶ ἐν Χριστῷ Ἰησοῦ· ὃς ἐν μορφῇ Θεοῦ ὑπάρχων, οὐχ ἁρπαγμὸν ἡγήσατο τὸ εἶναι ἶσα Θεῷ· ἀλλ' ἑαυτὸν ἐκένωσε, μορφὴν δούλου λαβών, ἐν ὁμοιώματι ἀνθρώπων γενόμενος· Καὶ σχήματι εὑρεθεὶς ὡς ἄνθρωπος, ἐταπείνωσεν ἑαυτόν, γενόμενος ὑπήκοος μέχρι θανάτου, θανάτου δὲ σταυροῦ. Διὸ καὶ ὁ Θεὸς αὐτὸν ὑπερύψωσε, καὶ ἐχαρίσατο αὐτῷ Ὄνομα τὸ ὑπὲρ πᾶν ὄνομα· ἵνα ἐν τῷ Ὀνόματι Ἰησοῦ πᾶν γόνυ κάμψῃ, ἐπουρανίων, καὶ ἐπιγείων, καὶ καταχθονίων· καὶ πᾶσα γλῶσσα ἐξομολογήσηται ὅτι Κύριος Ἰησοῦς Χριστός, εἰς δόξαν Θεοῦ Πατρός.

Εὐαγγέλιον.

Ματθ. ΚΖ' 1. ΠΡωίας γενομένης, συμβούλιον ἔλαβον πάντες οἱ ἀρχιερεῖς καὶ οἱ πρεσβύτεροι τοῦ λαοῦ κατὰ τοῦ Ἰησοῦ, ὥστε θανατῶσαι αὐτόν. Καὶ δήσαντες αὐτόν, ἀπήγαγον, καὶ παρέδωκαν αὐτὸν Ποντίῳ Πιλάτῳ τῷ ἡγεμόνι. Τότε ἰδὼν Ἰούδας ὁ παραδιδοὺς αὐτόν, ὅτι κατεκρίθη, μεταμεληθεὶς ἀπέστρεψε τὰ τριάκοντα ἀργύρια τοῖς ἀρχιερεῦσι καὶ τοῖς πρεσβυτέροις, λέγων, Ἥμαρτον, παραδοὺς αἷμα ἀθῷον. Οἱ δὲ εἶπον, Τί πρὸς ἡμᾶς; σὺ ὄψει. Καὶ ῥίψας τὰ ἀργύρια ἐν τῷ ναῷ, ἀνεχώρησε, καὶ ἀπελθὼν ἀπήγξατο. Οἱ δὲ ἀρχιερεῖς, λαβόντες τὰ ἀργύρια, εἶπον, Οὐκ ἔξεστι βαλεῖν αὐτὰ εἰς τὸν κορβανᾶν, ἐπεὶ τιμὴ αἵματός ἐστι. Συμβούλιον δὲ λαβόντες, ἠγόρασαν ἐξ αὐτῶν τὸν ἀγρὸν τοῦ κεραμέως εἰς ταφὴν τοῖς ξένοις. Διὸ ἐκλήθη ὁ ἀγρὸς ἐκεῖνος, Ἀγρὸς αἵματος, ἕως τῆς σήμερον. (Τότε ἐπληρώθη τὸ ῥηθὲν διὰ Ἱερεμίου τοῦ προφήτου, λέγοντος, Καὶ ἔλαβον τὰ τριάκοντα ἀργύρια, τὴν τιμὴν τοῦ τετιμημένου, ὃν

ἐτιμήσαντο ἀπὸ υἱῶν Ἰσραήλ, καὶ ἔδωκαν αὐτὰ εἰς τὸν ἀγρὸν τοῦ κεραμέως, καθὰ συνέταξέ μοι Κύριος.) Ὁ δὲ Ἰησοῦς ἔστη ἔμπροσθεν τοῦ ἡγεμόνος· καὶ ἐπηρώτησεν αὐτὸν ὁ ἡγεμών, λέγων, Σὺ εἶ ὁ Βασιλεὺς τῶν Ἰουδαίων; Ὁ δὲ Ἰησοῦς ἔφη αὐτῷ, Σὺ λέγεις. Καὶ ἐν τῷ κατηγορεῖσθαι αὐτὸν ὑπὸ τῶν ἀρχιερέων καὶ τῶν πρεσβυτέρων, οὐδὲν ἀπεκρίνατο. Τότε λέγει αὐτῷ ὁ Πιλᾶτος, Οὐκ ἀκούεις πόσα σοῦ καταμαρτυροῦσι; Καὶ οὐκ ἀπεκρίθη αὐτῷ πρὸς οὐδὲ ἓν ῥῆμα, ὥστε θαυμάζειν τὸν ἡγεμόνα λίαν. Κατὰ δὲ ἑορτὴν εἰώθει ὁ ἡγεμὼν ἀπολύειν ἕνα τῷ ὄχλῳ δέσμιον, ὃν ἤθελον. Εἶχον δὲ τότε δέσμιον ἐπίσημον, λεγόμενον Βαραββᾶν. Συνηγμένων οὖν αὐτῶν, εἶπεν αὐτοῖς ὁ Πιλᾶτος, Τίνα θέλετε ἀπολύσω ὑμῖν; Βαραββᾶν ἢ Ἰησοῦν τὸν λεγόμενον Χριστόν; Ἤδει γὰρ ὅτι διὰ φθόνον παρέδωκαν αὐτόν. Καθημένου δὲ αὐτοῦ ἐπὶ τοῦ βήματος, ἀπέστειλε πρὸς αὐτὸν ἡ γυνὴ αὐτοῦ, λέγουσα, Μηδὲν σοὶ καὶ τῷ δικαίῳ ἐκείνῳ· πολλὰ γὰρ ἔπαθον σήμερον κατ' ὄναρ δι' αὐτόν. Οἱ δὲ ἀρχιερεῖς καὶ οἱ πρεσβύτεροι ἔπεισαν τοὺς ὄχλους ἵνα αἰτήσωνται τὸν Βαραββᾶν, τὸν δὲ Ἰησοῦν ἀπολέσωσιν. Ἀποκριθεὶς δὲ ὁ ἡγεμὼν εἶπεν αὐτοῖς, Τίνα θέλετε ἀπὸ τῶν δύο ἀπολύσω ὑμῖν; Οἱ δὲ εἶπον, Βαραββᾶν. Λέγει αὐτοῖς ὁ Πιλᾶτος, Τί οὖν ποιήσω Ἰησοῦν, τὸν λεγόμενον Χριστόν; Λέγουσιν αὐτῷ πάντες, Σταυρωθήτω. Ὁ δὲ ἡγεμὼν ἔφη, Τί γὰρ κακὸν ἐποίησεν; Οἱ δὲ περισσῶς ἔκραζον, λέγοντες, Σταυρωθήτω. Ἰδὼν δὲ ὁ Πιλᾶτος ὅτι οὐδὲν ὠφελεῖ, ἀλλὰ μᾶλλον θόρυβος γίνεται, λαβὼν ὕδωρ ἀπενίψατο τὰς χεῖρας ἀπέναντι τοῦ ὄχλου, λέγων, Ἀθῶός εἰμι ἀπὸ τοῦ αἵματος τοῦ δικαίου τούτου· ὑμεῖς ὄψεσθε. Καὶ ἀποκριθεὶς πᾶς ὁ λαὸς εἶπε, Τὸ αἷμα αὐτοῦ ἐφ' ἡμᾶς, καὶ ἐπὶ τὰ τέκνα ἡμῶν. Τότε ἀπέλυσεν αὐτοῖς τὸν Βαραββᾶν· τὸν δὲ Ἰησοῦν φραγελλώσας, παρέδωκεν ἵνα σταυρωθῇ. Τότε οἱ στρατιῶται τοῦ ἡγεμόνος παραλαβόντες τὸν Ἰησοῦν εἰς τὸ πραιτώριον συνήγαγον ἐπ' αὐτὸν ὅλην τὴν σπεῖραν. Καὶ ἐκδύσαντες αὐτὸν περιέθηκαν

αὐτῷ χλαμύδα κοκκίνην. Καὶ πλέξαντες στέφανον ἐξ ἀκανθῶν ἐπέθηκαν ἐπὶ τὴν κεφαλὴν αὐτοῦ, καὶ κάλαμον ἐπὶ τὴν δεξιὰν αὐτοῦ· καὶ γονυπετήσαντες ἔμπροσθεν αὐτοῦ ἐνέπαιζον αὐτῷ, λέγοντες, Χαῖρε, ὁ βασιλεὺς τῶν Ἰουδαίων. Καὶ ἐμπτύσαντες εἰς αὐτόν, ἔλαβον τὸν κάλαμον, καὶ ἔτυπτον εἰς τὴν κεφαλὴν αὐτοῦ. Καὶ ὅτε ἐνέπαιξαν αὐτῷ, ἐξέδυσαν αὐτὸν τὴν χλαμύδα, καὶ ἐνέδυσαν αὐτὸν τὰ ἱμάτια αὐτοῦ, καὶ ἀπήγαγον αὐτὸν εἰς τὸ σταυρῶσαι. Ἐξερχόμενοι δὲ εὗρον ἄνθρωπον Κυρηναῖον, ὀνόματι Σίμωνα· τοῦτον ἠγγάρευσαν ἵνα ἄρῃ τὸν σταυρὸν αὐτοῦ. Καὶ ἐλθόντες εἰς τόπον λεγόμενον Γολγοθᾶ, ὅς ἐστι λεγόμενος κρανίου τόπος, ἔδωκαν αὐτῷ πιεῖν ὄξος μετὰ χολῆς μεμιγμένον· καὶ γευσάμενος, οὐκ ἤθελε πιεῖν. Σταυρώσαντες δὲ αὐτόν, διεμερίσαντο τὰ ἱμάτια αὐτοῦ, βάλλοντες κλῆρον· ἵνα πληρωθῇ τὸ ῥηθὲν ὑπὸ τοῦ προφήτου, Διεμερίσαντο τὰ ἱμάτιά μου ἑαυτοῖς, καὶ ἐπὶ τὸν ἱματισμόν μου ἔβαλον κλῆρον. Καὶ καθήμενοι ἐτήρουν αὐτὸν ἐκεῖ· καὶ ἐπέθηκαν ἐπάνω τῆς κεφαλῆς αὐτοῦ τὴν αἰτίαν αὐτοῦ γεγραμμένην, ΟΥΤΟΣ ΕΣΤΙΝ ΙΗΣΟΥΣ Ο ΒΑΣΙΛΕΥΣ ΤΩΝ ΙΟΥΔΑΙΩΝ. Τότε σταυροῦνται σὺν αὐτῷ δύο λῃσταί· εἷς ἐκ δεξιῶν, καὶ εἷς ἐξ εὐωνύμων. Οἱ δὲ παραπορευόμενοι ἐβλασφήμουν αὐτόν, κινοῦντες τὰς κεφαλὰς αὐτῶν, καὶ λέγοντες, Ὁ καταλύων τὸν ναόν, καὶ ἐν τρισὶν ἡμέραις οἰκοδομῶν, σῶσον σεαυτόν· εἰ υἱὸς εἶ τοῦ Θεοῦ, κατάβηθι ἀπὸ τοῦ σταυροῦ. Ὁμοίως δὲ καὶ οἱ ἀρχιερεῖς ἐμπαίζοντες, μετὰ τῶν γραμματέων καὶ πρεσβυτέρων, ἔλεγον, Ἄλλους ἔσωσεν, ἑαυτὸν οὐ δύναται σῶσαι· εἰ Βασιλεὺς Ἰσραὴλ ἐστι, καταβάτω νῦν ἀπὸ τοῦ σταυροῦ, καὶ πιστεύσομεν αὐτῷ. Πέποιθεν ἐπὶ τὸν Θεόν· ῥυσάσθω νῦν αὐτόν, εἰ θέλει αὐτόν· εἶπε γὰρ ὅτι Θεοῦ εἰμι υἱός. Τὸ δ' αὐτὸ καὶ οἱ λῃσταί, οἱ συσταυρωθέντες αὐτῷ, ὠνείδιζον αὐτῷ. Ἀπὸ δὲ ἕκτης ὥρας σκότος ἐγένετο ἐπὶ πᾶσαν τὴν γῆν, ἕως ὥρας ἐνάτης. Περὶ δὲ τὴν ἐνάτην ὥραν, ἀνεβόησεν ὁ Ἰησοῦς φωνῇ μεγάλῃ, λέγων, Ἠλὶ Ἠλί, λαμὰ σαβαχθανί; τοῦτ'

ἔστι, Θεέ μου, Θεέ μου, ἱνατί με ἐγκατέλιπες; Τινὲς δὲ τῶν ἐκεῖ ἑστώτων, ἀκούσαντες, ἔλεγον ὅτι Ἠλίαν φωνεῖ οὗτος. Καὶ εὐθέως δραμὼν εἷς ἐξ αὐτῶν, καὶ λαβὼν σπόγγον, πλήσας τε ὄξους, καὶ περιθεὶς καλάμῳ ἐπότιζεν αὐτόν. Οἱ δὲ λοιποὶ ἔλεγον, Ἄφες, ἴδωμεν εἰ ἔρχεται Ἠλίας σώσων αὐτόν. Ὁ δὲ Ἰησοῦς, πάλιν κράξας φωνῇ μεγάλῃ, ἀφῆκε τὸ πνεῦμα. Καὶ ἰδού, τὸ καταπέτασμα τοῦ ναοῦ ἐσχίσθη εἰς δύο ἀπὸ ἄνωθεν ἕως κάτω, καὶ ἡ γῆ ἐσείσθη, καὶ αἱ πέτραι ἐσχίσθησαν, καὶ τὰ μνημεῖα ἀνεῴχθησαν, καὶ πολλὰ σώματα τῶν κεκοιμημένων ἁγίων ἠγέρθη, καὶ ἐξελθόντες ἐκ τῶν μνημείων, μετὰ τὴν ἔγερσιν αὐτοῦ, εἰσῆλθον εἰς τὴν ἁγίαν πόλιν, καὶ ἐνεφανίσθησαν πολλοῖς. Ὁ δὲ ἑκατόνταρχος καὶ οἱ μετ᾽ αὐτοῦ τηροῦντες τὸν Ἰησοῦν, ἰδόντες τὸν σεισμὸν καὶ τὰ γενόμενα, ἐφοβήθησαν σφόδρα, λέγοντες, Ἀληθῶς Θεοῦ υἱὸς ἦν οὗτος.

Η ΔΕΥΤΕΡΑ ΠΡΟ ΤΟΥ ΠΑΣΧΑ.

Ἀντὶ τοῦ Ἀποστόλου.

ΤΙς οὗτος ὁ παραγινόμενος ἐξ Ἐδώμ, ἐρύθημα ἱματίων ἐκ Ἡσαΐ.
Βοσόρ; οὕτως ὡραῖος ἐν στολῇ, βίᾳ μετὰ ἰσχύος; ΞΓ΄ 1.
Ἐγὼ διαλέγομαι δικαιοσύνην καὶ κρίσιν σωτηρίου. Διατί σου ἐρυθρὰ τὰ ἱμάτια, καὶ τὰ ἐνδύματά σου ὡς ἀπὸ πατητοῦ ληνοῦ; Πλήρης καταπεπατημένης, καὶ τῶν ἐθνῶν οὐκ ἔστιν ἀνὴρ μετ᾽ ἐμοῦ· καὶ κατεπάτησα αὐτοὺς ἐν θυμῷ μου, καὶ κατέθλασα αὐτοὺς ὡς γῆν, καὶ κατήγαγον τὸ αἷμα αὐτῶν εἰς γῆν. Ἡμέρα γὰρ ἀνταποδόσεως ἐπῆλθεν αὐτοῖς, καὶ ἐνιαυτὸς λυτρώσεως πάρεστι. Καὶ ἐπέβλεψα, καὶ οὐκ ἦν βοηθός· καὶ προσενόησα, καὶ οὐθεὶς ἀντελαμβάνετο· καὶ ἐρρύσατο αὐτοὺς ὁ βραχίων μου, καὶ ὁ θυμός μου ἐπέστη. Καὶ κατεπάτησα αὐτοὺς τῇ ὀργῇ μου, καὶ κατήγαγον τὸ αἷμα αὐτῶν εἰς γῆν. Τὸν ἔλεον Κυρίου ἐμνήσθην, τὰς ἀρετὰς Κυρίου, ἐν πᾶσιν οἷς ὁ Κύριος ἡμῖν ἀνταποδίδωσι· Κύριος

κριτὴς ἀγαθὸς τῷ οἴκῳ Ἰσραήλ, ἐπάγει ἡμῖν, κατὰ τὸ ἔλεος αὐτοῦ, καὶ κατὰ τὸ πλῆθος τῆς δικαιοσύνης αὐτοῦ. Καὶ εἶπεν, Οὐχ ὁ λαός μου; τέκνα οὐ μὴ ἀθετήσωσι· καὶ ἐγένετο αὐτοῖς εἰς σωτηρίαν ἐκ πάσης θλίψεως αὐτῶν. Οὐ πρέσβυς οὐδὲ ἄγγελος, ἀλλ' αὐτὸς ἔσωσεν αὐτούς· διὰ τὸ ἀγαπᾷν αὐτοὺς καὶ φείδεσθαι αὐτῶν αὐτὸς ἐλυτρώσατο αὐτούς, καὶ ἀνέλαβεν αὐτούς, καὶ ὕψωσεν αὐτοὺς πάσας τὰς ἡμέρας τοῦ αἰῶνος. Αὐτοὶ δὲ ἠπείθησαν, καὶ παρώξυναν τὸ Πνεῦμα τὸ ἅγιον αὐτοῦ, καὶ ἐστράφη αὐτοῖς εἰς ἔχθραν, αὐτὸς ἐπολέμησεν αὐτούς. Καὶ ἐμνήσθη ἡμερῶν αἰωνίων· Ποῦ ὁ ἀναβιβάσας ἐκ τῆς θαλάσσης τὸν ποιμένα τῶν προβάτων; Ποῦ ἐστιν ὁ θεὶς ἐν αὐτοῖς τὸ πνεῦμα τὸ ἅγιον; ὁ ἀγαγὼν τῇ δεξιᾷ Μωσῆν, ὁ βραχίων τῆς δόξης αὐτοῦ; κατίσχυσεν ὕδωρ ἀπὸ προσώπου αὐτοῦ, ποιῆσαι ἑαυτῷ ὄνομα αἰώνιον. Ἤγαγεν αὐτοὺς δι' ἀβύσσου ὡς ἵππον δι' ἐρήμου, καὶ οὐκ ἐκοπίασαν, καὶ ὡς κτήνη διὰ πεδίου· κατέβη πνεῦμα παρὰ Κυρίου καὶ ὡδήγησεν αὐτούς· οὕτως ἤγαγες τὸν λαόν σου, ποιῆσαι σεαυτῷ ὄνομα δόξης. Ἐπίστρεψον ἐκ τοῦ οὐρανοῦ, καὶ ἴδε ἐκ τοῦ οἴκου τοῦ ἁγίου σου καὶ δόξης σου· Ποῦ ἐστιν ὁ ζῆλός σου, καὶ ἡ ἰσχύς σου; ποῦ ἐστι τὸ πλῆθος τοῦ ἐλέους σου, καὶ τῶν οἰκτιρμῶν σου, ὅτι ἀνέσχου ἡμῶν; Σὺ γὰρ εἶ Πατὴρ ἡμῶν, ὅτι Ἀβραὰμ οὐκ ἔγνω ἡμᾶς, καὶ Ἰσραὴλ οὐκ ἐπέγνω ἡμᾶς· ἀλλὰ σύ, Κύριε, Πατὴρ ἡμῶν, ῥῦσαι ἡμᾶς, ἀπ' ἀρχῆς τὸ ὄνομά σου ἐφ' ἡμᾶς ἐστι. Τί ἐπλάνησας ἡμᾶς, Κύριε, ἀπὸ τῆς ὁδοῦ σου; ἐσκλήρυνας τὰς καρδίας ἡμῶν τοῦ μὴ φοβεῖσθαί σε; Ἐπίστρεψον διὰ τοὺς δούλους σου, διὰ τὰς φυλὰς τῆς κληρονομίας σου, ἵνα μικρὸν κληρονομήσωμεν τοῦ ὄρους τοῦ ἁγίου σου· οἱ ὑπεναντίοι ἡμῶν κατεπάτησαν τὸ ἁγίασμά σου. Ἐγενόμεθα ὡς τὸ ἀπ' ἀρχῆς, ὅτε οὐκ ἦρξας ἡμῶν, οὐδὲ ἐπεκλήθη τὸ ὄνομά σου ἐφ' ἡμᾶς.

Η ΔΕΥΤΕΡΑ ΠΡΟ ΤΟΥ ΠΑΣΧΑ

Εὐαγγέλιον.

ἯΝ τὸ πάσχα καὶ τὰ ἄζυμα μετὰ δύο ἡμέρας· καὶ Μάρκ.
ἐζήτουν οἱ Ἀρχιερεῖς καὶ οἱ Γραμματεῖς πῶς αὐτὸν ἐν ΙΔ΄ 1.
δόλῳ κρατήσαντες ἀποκτείνωσιν. Ἔλεγον δέ, Μὴ ἐν τῇ ἑορτῇ, μήποτε θόρυβος ἔσται τοῦ λαοῦ. Καὶ ὄντος αὐτοῦ ἐν Βηθανίᾳ, ἐν τῇ οἰκίᾳ Σίμωνος τοῦ λεπροῦ, κατακειμένου αὐτοῦ, ἦλθε γυνή, ἔχουσα ἀλάβαστρον μύρου νάρδου πιστικῆς πολυτελοῦς, καὶ συντρίψασα τὸ ἀλάβαστρον κατέχεεν αὐτοῦ κατὰ τῆς κεφαλῆς. Ἦσαν δέ τινες ἀγανακτοῦντες πρὸς ἑαυτούς, καὶ λέγοντες, Εἰς τί ἡ ἀπώλεια αὕτη τοῦ μύρου γέγονεν; Ἠδύνατο γὰρ τοῦτο πραθῆναι ἐπάνω τριακοσίων δηναρίων, καὶ δοθῆναι τοῖς πτωχοῖς· καὶ ἐνεβριμῶντο αὐτῇ. Ὁ δὲ Ἰησοῦς εἶπεν, Ἄφετε αὐτήν, τί αὐτῇ κόπους παρέχετε; καλὸν ἔργον εἰργάσατο εἰς ἐμέ. Πάντοτε γὰρ τοὺς πτωχοὺς ἔχετε μεθ' ἑαυτῶν, καὶ ὅταν θέλητε, δύνασθε αὐτοὺς εὖ ποιῆσαι· ἐμὲ δὲ οὐ πάντοτε ἔχετε. Ὃ εἶχεν αὕτη ἐποίησε· προέλαβε μυρίσαι μου τὸ σῶμα εἰς τὸν ἐνταφιασμόν. Ἀμὴν λέγω ὑμῖν, Ὅπου ἂν κηρυχθῇ τὸ εὐαγγέλιον τοῦτο εἰς ὅλον τὸν κόσμον, καὶ ὃ ἐποίησεν αὕτη λαληθήσεται εἰς μνημόσυνον αὐτῆς. Καὶ ὁ Ἰούδας ὁ Ἰσκαριώτης, εἷς τῶν δώδεκα, ἀπῆλθε πρὸς τοὺς ἀρχιερεῖς, ἵνα παραδῷ αὐτὸν αὐτοῖς. Οἱ δὲ ἀκούσαντες ἐχάρησαν, καὶ ἐπηγγείλαντο αὐτῷ ἀργύριον δοῦναι. Καὶ ἐζήτει πῶς εὐκαίρως αὐτὸν παραδῷ. Καὶ τῇ πρώτῃ ἡμέρᾳ τῶν ἀζύμων, ὅτε τὸ πάσχα ἔθυον, λέγουσιν αὐτῷ οἱ μαθηταὶ αὐτοῦ, Ποῦ θέλεις ἀπελθόντες ἑτοιμάσωμεν, ἵνα φάγῃς τὸ πάσχα; Καὶ ἀποστέλλει δύο τῶν μαθητῶν αὐτοῦ, καὶ λέγει αὐτοῖς, Ὑπάγετε εἰς τὴν πόλιν, καὶ ἀπαντήσει ὑμῖν ἄνθρωπος κεράμιον ὕδατος βαστάζων· ἀκολουθήσατε αὐτῷ. Καὶ ὅπου ἐὰν εἰσέλθῃ, εἴπατε τῷ οἰκοδεσπότῃ ὅτι Ὁ διδάσκαλος λέγει, Ποῦ ἐστι τὸ κατάλυμα, ὅπου τὸ πάσχα μετὰ τῶν μαθητῶν μου φάγω; Καὶ αὐτὸς ὑμῖν δείξει ἀνώγεον μέγα ἐστρωμένον ἕτοιμον· ἐκεῖ ἑτοιμάσατε ἡμῖν. Καὶ ἐξῆλθον οἱ

μαθηταὶ αὐτοῦ, καὶ ἦλθον εἰς τὴν πόλιν, καὶ εὗρον καθὼς εἶπεν αὐτοῖς· καὶ ἡτοίμασαν τὸ πάσχα. Καὶ ὀψίας γενομένης ἔρχεται μετὰ τῶν δώδεκα. Καὶ ἀνακειμένων αὐτῶν, καὶ ἐσθιόντων, εἶπεν ὁ Ἰησοῦς, Ἀμὴν λέγω ὑμῖν ὅτι εἷς ἐξ ὑμῶν παραδώσει με, ὁ ἐσθίων μετ᾽ ἐμοῦ. Οἱ δὲ ἤρξαντο λυπεῖσθαι, καὶ λέγειν αὐτῷ, εἷς καθ᾽ εἷς, Μή τι ἐγώ; καὶ ἄλλος, Μή τι ἐγώ; Ὁ δὲ ἀποκριθεὶς εἶπεν αὐτοῖς, Εἷς ἐκ τῶν δώδεκα ὁ ἐμβαπτόμενος μετ᾽ ἐμοῦ εἰς τὸ τρυβλίον. Ὁ μὲν Υἱὸς τοῦ ἀνθρώπου ὑπάγει, καθὼς γέγραπται περὶ αὐτοῦ· οὐαὶ δὲ τῷ ἀνθρώπῳ ἐκείνῳ δι᾽ οὗ ὁ υἱὸς τοῦ ἀνθρώπου παραδίδοται· καλὸν ἦν αὐτῷ εἰ οὐκ ἐγεννήθη ὁ ἄνθρωπος ἐκεῖνος. Καὶ ἐσθιόντων αὐτῶν, λαβὼν ὁ Ἰησοῦς ἄρτον, εὐλογήσας ἔκλασε, καὶ ἔδωκεν αὐτοῖς, καὶ εἶπε, Λάβετε, φάγετε· Τοῦτό ἐστι τὸ σῶμά μου. Καὶ λαβὼν τὸ ποτήριον, εὐχαριστήσας ἔδωκεν αὐτοῖς· καὶ ἔπιον ἐξ αὐτοῦ πάντες. Καὶ εἶπεν αὐτοῖς, Τοῦτό ἐστι τὸ αἷμά μου τὸ τῆς καινῆς διαθήκης, τὸ περὶ πολλῶν ἐκχυνόμενον. Ἀμὴν λέγω ὑμῖν, ὅτι οὐκέτι οὐ μὴ πίω ἐκ τοῦ γεννήματος τῆς ἀμπέλου, ἕως τῆς ἡμέρας ἐκείνης ὅταν αὐτὸ πίνω καινὸν ἐν τῇ βασιλείᾳ τοῦ Θεοῦ. Καὶ ὑμνήσαντες ἐξῆλθον εἰς τὸ ὄρος τῶν Ἐλαιῶν. Καὶ λέγει αὐτοῖς ὁ Ἰησοῦς ὅτι Πάντες σκανδαλισθήσεσθε ἐν ἐμοὶ ἐν τῇ νυκτὶ ταύτῃ· ὅτι γέγραπται, Πατάξω τὸν ποιμένα, καὶ διασκορπισθήσεται τὰ πρόβατα. Ἀλλὰ μετὰ τὸ ἐγερθῆναί με, προάξω ὑμᾶς εἰς τὴν Γαλιλαίαν. Ὁ δὲ Πέτρος ἔφη αὐτῷ, Καὶ εἰ πάντες σκανδαλισθήσονται, ἀλλ᾽ οὐκ ἐγώ. Καὶ λέγει αὐτῷ ὁ Ἰησοῦς, Ἀμὴν λέγω σοι, ὅτι σήμερον, ἐν τῇ νυκτὶ ταύτῃ, πρὶν ἢ δὶς ἀλέκτορα φωνῆσαι, τρὶς ἀπαρνήσῃ με. Ὁ δὲ ἐκ περισσοῦ ἔλεγε μᾶλλον, Ἐάν με δέῃ συναποθανεῖν σοι, οὐ μή σε ἀπαρνήσομαι. Ὡσαύτως δὲ καὶ πάντες ἔλεγον. Καὶ ἔρχονται εἰς χωρίον οὗ τὸ ὄνομα Γεθσημανῆ, καὶ λέγει τοῖς μαθηταῖς αὐτοῦ, Καθίσατε ὧδε, ἕως προσεύξωμαι. Καὶ παραλαμβάνει τὸν Πέτρον, καὶ Ἰάκωβον, καὶ Ἰωάννην μεθ᾽ ἑαυτοῦ, καὶ

ἤρξατο ἐκθαμβεῖσθαι, καὶ ἀδημονεῖν, καὶ λέγει αὐτοῖς, Περίλυπός ἐστιν ἡ ψυχή μου ἕως θανάτου· μείνατε ὧδε, καὶ γρηγορεῖτε. Καὶ προελθὼν μικρὸν ἔπεσεν ἐπὶ τῆς γῆς, καὶ προσηύχετο, ἵνα εἰ δυνατόν ἐστι παρέλθῃ ἀπ' αὐτοῦ ἡ ὥρα. Καὶ ἔλεγεν, Ἀββᾶ, ὁ πατήρ, Πάντα δυνατά σοι· παρένεγκε τὸ ποτήριον ἀπ' ἐμοῦ τοῦτο· ἀλλ' οὐ τί ἐγὼ θέλω, ἀλλὰ τί σύ. Καὶ ἔρχεται καὶ εὑρίσκει αὐτοὺς καθεύδοντας, καὶ λέγει τῷ Πέτρῳ, Σίμων, καθεύδεις; οὐκ ἴσχυσας μίαν ὥραν γρηγορῆσαι; Γρηγορεῖτε καὶ προσεύχεσθε, ἵνα μὴ εἰσέλθητε εἰς πειρασμόν· τὸ μὲν πνεῦμα πρόθυμον, ἡ δὲ σὰρξ ἀσθενής. Καὶ πάλιν ἀπελθὼν προσηύξατο, τὸν αὐτὸν λόγον εἰπών. Καὶ ὑποστρέψας εὗρεν αὐτοὺς πάλιν καθεύδοντας, (ἦσαν γὰρ οἱ ὀφθαλμοὶ αὐτῶν βεβαρημένοι) καὶ οὐκ ᾔδεισαν τί αὐτῷ ἀποκριθῶσι. Καὶ ἔρχεται τὸ τρίτον, καὶ λέγει αὐτοῖς, Καθεύδετε τὸ λοιπόν, καὶ ἀναπαύεσθε· ἀπέχει, ἦλθεν ἡ ὥρα· Ἰδοὺ παραδίδοται ὁ Υἱὸς τοῦ ἀνθρώπου εἰς τὰς χεῖρας τῶν ἁμαρτωλῶν. Ἐγείρεσθε, ἄγωμεν· ἰδού, ὁ παραδιδούς με ἤγγικε. Καὶ εὐθέως, ἔτι αὐτοῦ λαλοῦντος, παραγίνεται Ἰούδας, εἷς ὢν τῶν δώδεκα, καὶ μετ' αὐτοῦ ὄχλος πολὺς μετὰ μαχαιρῶν καὶ ξύλων, παρὰ τῶν Ἀρχιερέων καὶ τῶν Γραμματέων καὶ τῶν Πρεσβυτέρων. Δεδώκει δὲ ὁ παραδιδοὺς αὐτὸν σύσσημον αὐτοῖς, λέγων, Ὃν ἂν φιλήσω, αὐτός ἐστι· κρατήσατε αὐτόν, καὶ ἀπαγάγετε ἀσφαλῶς. Καὶ ἐλθών, εὐθέως προσελθὼν αὐτῷ λέγει, Ῥαββί, ῥαββί, καὶ κατεφίλησεν αὐτόν. Οἱ δὲ ἐπέβαλον ἐπ' αὐτὸν τὰς χεῖρας αὐτῶν, καὶ ἐκράτησαν αὐτόν. Εἷς δέ τις τῶν παρεστηκότων, σπασάμενος τὴν μάχαιραν, ἔπαισε τὸν δοῦλον τοῦ Ἀρχιερέως, καὶ ἀφεῖλεν αὐτοῦ τὸ ὠτίον. Καὶ ἀποκριθεὶς ὁ Ἰησοῦς εἶπεν αὐτοῖς, Ὡς ἐπὶ λῃστὴν ἐξήλθετε, μετὰ μαχαιρῶν καὶ ξύλων, συλλαβεῖν με; Καθ' ἡμέραν ἤμην πρὸς ὑμᾶς ἐν τῷ ἱερῷ, διδάσκων, καὶ οὐκ ἐκρατήσατέ με· ἀλλ' ἵνα πληρωθῶσιν αἱ Γραφαί. Καὶ ἀφέντες αὐτὸν πάντες ἔφυγον. Καὶ εἷς τις νεανίσκος

ἠκολούθει αὐτῷ περιβεβλημένος σινδόνα ἐπὶ γυμνοῦ, καὶ κρατοῦσιν αὐτὸν οἱ νεανίσκοι. Ὁ δὲ καταλιπὼν τὴν σινδόνα, γυμνὸς ἔφυγεν ἀπ' αὐτῶν. Καὶ ἀπήγαγον τὸν Ἰησοῦν πρὸς τὸν Ἀρχιερέα, καὶ συνέρχονται αὐτῷ πάντες οἱ Ἀρχιερεῖς, καὶ οἱ Πρεσβύτεροι, καὶ οἱ Γραμματεῖς· καὶ ὁ Πέτρος ἀπὸ μακρόθεν ἠκολούθησεν αὐτῷ, ἕως ἔσω εἰς τὴν αὐλὴν τοῦ Ἀρχιερέως· καὶ ἦν συγκαθήμενος μετὰ τῶν ὑπηρετῶν, καὶ θερμαινόμενος πρὸς τὸ φῶς. Οἱ δὲ Ἀρχιερεῖς καὶ ὅλον τὸ συνέδριον ἐζήτουν κατὰ τοῦ Ἰησοῦ μαρτυρίαν εἰς τὸ θανατῶσαι αὐτόν, καὶ οὐχ εὕρισκον. Πολλοὶ γὰρ ἐψευδομαρτύρουν κατ' αὐτοῦ, καὶ ἴσαι αἱ μαρτυρίαι οὐκ ἦσαν. Καί τινες ἀναστάντες ἐψευδομαρτύρουν κατ' αὐτοῦ, λέγοντες ὅτι Ἡμεῖς ἠκούσαμεν αὐτοῦ λέγοντος ὅτι Ἐγὼ καταλύσω τὸν ναὸν τοῦτον τὸν χειροποίητον, καὶ διὰ τριῶν ἡμερῶν ἄλλον ἀχειροποίητον οἰκοδομήσω. Καὶ οὐδὲ οὕτως ἴση ἦν ἡ μαρτυρία αὐτῶν. Καὶ ἀναστὰς ὁ Ἀρχιερεὺς εἰς τὸ μέσον ἐπηρώτησε τὸν Ἰησοῦν, λέγων, Οὐκ ἀποκρίνῃ οὐδέν; τί οὗτοί σου καταμαρτυροῦσιν; Ὁ δὲ ἐσιώπα, καὶ οὐδὲν ἀπεκρίνατο. Πάλιν ὁ Ἀρχιερεὺς ἐπηρώτα αὐτόν, καὶ λέγει αὐτῷ, Σὺ εἶ ὁ Χριστός, ὁ Υἱὸς τοῦ Εὐλογητοῦ; Ὁ δὲ Ἰησοῦς εἶπεν, Ἐγώ εἰμι· καὶ ὄψεσθε τὸν Υἱὸν τοῦ ἀνθρώπου καθήμενον ἐκ δεξιῶν τῆς δυνάμεως, καὶ ἐρχόμενον μετὰ τῶν νεφελῶν τοῦ οὐρανοῦ. Ὁ δὲ ἀρχιερεὺς διαρρήξας τοὺς χιτῶνας αὐτοῦ λέγει, Τί ἔτι χρείαν ἔχομεν μαρτύρων; ἠκούσατε τῆς βλασφημίας· τί ὑμῖν φαίνεται; Οἱ δὲ πάντες κατέκριναν αὐτὸν εἶναι ἔνοχον θανάτου. Καὶ ἤρξαντό τινες ἐμπτύειν αὐτῷ, καὶ περικαλύπτειν τὸ πρόσωπον αὐτοῦ, καὶ κολαφίζειν αὐτόν, καὶ λέγειν αὐτῷ, Προφήτευσον· καὶ οἱ ὑπηρέται ῥαπίσμασιν αὐτὸν ἔβαλλον. Καὶ ὄντος τοῦ Πέτρου ἐν τῇ αὐλῇ κάτω, ἔρχεται μία τῶν παιδισκῶν τοῦ ἀρχιερέως· καὶ ἰδοῦσα τὸν Πέτρον θερμαινόμενον, ἐμβλέψασα αὐτῷ λέγει, Καὶ σὺ μετὰ τοῦ Ναζαρηνοῦ Ἰησοῦ ἦσθα. Ὁ δὲ ἠρνήσατο, λέγων, Οὐκ οἶδα, οὐδὲ

ἐπίσταμαι τί σὺ λέγεις. Καὶ ἐξῆλθεν ἔξω εἰς τὸ προαύλιον, καὶ ἀλέκτωρ ἐφώνησε. Καὶ ἡ παιδίσκη ἰδοῦσα αὐτὸν πάλιν ἤρξατο λέγειν τοῖς παρεστηκόσιν ὅτι Οὗτος ἐξ αὐτῶν ἐστιν. Ὁ δὲ πάλιν ἠρνεῖτο. Καὶ μετὰ μικρόν, πάλιν οἱ παρεστῶτες ἔλεγον τῷ Πέτρῳ, Ἀληθῶς ἐξ αὐτῶν εἶ· καὶ γὰρ Γαλιλαῖος εἶ, καὶ ἡ λαλιά σου ὁμοιάζει. Ὁ δὲ ἤρξατο ἀναθεματίζειν καὶ ὀμνύειν ὅτι Οὐκ οἶδα τὸν ἄνθρωπον τοῦτον ὃν λέγετε. Καὶ ἐκ δευτέρου ἀλέκτωρ ἐφώνησε. Καὶ ἀνεμνήσθη ὁ Πέτρος τοῦ ῥήματος οὗ εἶπεν αὐτῷ ὁ Ἰησοῦς ὅτι Πρὶν ἀλέκτορα φωνῆσαι δίς, ἀπαρνήσῃ με τρίς. Καὶ ἐπιβαλὼν ἔκλαιε.

Η ΤΡΙΤΗ ΠΡΟ ΤΟΥ ΠΑΣΧΑ.

Ἀντὶ τοῦ Ἀποστόλου.

Ἡ Παιδεία Κυρίου Κυρίου ἀνοίγει μου τὰ ὦτα, ἐγὼ δὲ οὐκ Ἡσαΐ.
ἀπειθῶ, οὐδὲ ἀντιλέγω. Τὸν νῶτόν μου ἔδωκα εἰς Ν´ 5.
μάστιγας, τὰς δὲ σιαγόνας μου εἰς ῥαπίσματα· τὸ δὲ πρόσωπόν μου οὐκ ἀπέστρεψα ἀπὸ αἰσχύνης ἐμπτυσμάτων. Καὶ Κύριος Κύριος βοηθός μοι ἐγενήθη· διὰ τοῦτο οὐκ ἐνετράπην, ἀλλὰ ἔθηκα τὸ πρόσωπόν μου ὡς στερεὰν πέτραν, καὶ ἔγνων ὅτι οὐ μὴ αἰσχυνθῶ. Ὅτι ἐγγίζει ὁ δικαιώσας με· τίς ὁ κρινόμενός μοι; Ἀντιστήτω μοι ἅμα· καὶ τίς ὁ κρινόμενός μοι; ἐγγισάτω μοι. Ἰδου, Κύριος Κύριος βοηθήσει μοι· τίς κακώσει με; Ἰδού, πάντες ὑμεῖς ὡς ἱμάτιον παλαιωθήσεσθε· καὶ σὴς καταφάγεται ὑμᾶς. Τίς ἐν ὑμῖν ὁ φοβούμενος τὸν Κύριον; Ὑπακουσάτω τῆς φωνῆς τοῦ παιδὸς αὐτοῦ. Οἱ πορευόμενοι ἐν σκότει, καὶ οὐκ ἔστιν αὐτοῖς φῶς, πεποίθατε ἐπὶ τῷ Ὀνόματι Κυρίου, καὶ ἀντιστηρίσασθε ἐπὶ τῷ Θεῷ. Ἰδού, πάντες ὑμεῖς πῦρ καίετε, καὶ κατισχύετε φλόγα· πορεύεσθε τῷ φωτὶ τοῦ πυρὸς ὑμῶν, καὶ τῇ φλογὶ ᾗ ἐξεκαύσατε. Δι' ἐμὲ ἐγένετο ταῦτα ὑμῖν, ἐν λύπῃ κοιμηθήσεσθε.

Η ΤΡΙΤΗ ΠΡΟ ΤΟΥ ΠΑΣΧΑ

Εὐαγγέλιον.

Μάρκ. ΙΕ´ 1. ΚΑὶ εὐθέως ἐπὶ τὸ πρωΐ, συμβούλιον ποιήσαντες οἱ Ἀρχιερεῖς μετὰ τῶν Πρεσβυτέρων καὶ Γραμματέων, καὶ ὅλον τὸ συνέδριον, δήσαντες τὸν Ἰησοῦν ἀπήνεγκαν, καὶ παρέδωκαν τῷ Πιλάτῳ. Καὶ ἐπηρώτησεν αὐτὸν ὁ Πιλᾶτος, Σὺ εἶ ὁ Βασιλεὺς τῶν Ἰουδαίων; Ὁ δὲ ἀποκριθεὶς εἶπεν αὐτῷ, Σὺ λέγεις. Καὶ κατηγόρουν αὐτοῦ οἱ ἀρχιερεῖς πολλά· αὐτὸς δὲ οὐδὲν ἀπεκρίνατο. Ὁ δὲ Πιλᾶτος πάλιν ἐπηρώτησεν αὐτόν, λέγων, Οὐκ ἀποκρίνῃ οὐδέν; ἴδε πόσα σου καταμαρτυροῦσιν. Ὁ δὲ Ἰησοῦς οὐκέτι οὐδὲν ἀπεκρίθη· ὥστε θαυμάζειν τὸν Πιλᾶτον. Κατὰ δὲ ἑορτὴν ἀπέλυεν αὐτοῖς ἕνα δέσμιον, ὅνπερ ᾐτοῦντο. Ἦν δὲ ὁ λεγόμενος Βαραββᾶς, μετὰ τῶν συστασιαστῶν δεδεμένος, οἵτινες ἐν τῇ στάσει φόνον πεποιήκεισαν. Καὶ ἀναβοήσας ὁ ὄχλος ἤρξατο αἰτεῖσθαι, καθὼς ἀεὶ ἐποίει αὐτοῖς. Ὁ δὲ Πιλᾶτος ἀπεκρίθη αὐτοῖς, λέγων, Θέλετε ἀπολύσω ὑμῖν τὸν βασιλέα τῶν Ἰουδαίων; (Ἐγίνωσκε γὰρ ὅτι διὰ φθόνον παραδεδώκεισαν αὐτὸν οἱ ἀρχιερεῖς.) Οἱ δὲ ἀρχιερεῖς ἀνέσεισαν τὸν ὄχλον, ἵνα μᾶλλον τὸν Βαραββᾶν ἀπολύσῃ αὐτοῖς. Ὁ δὲ Πιλᾶτος ἀποκριθεὶς πάλιν εἶπεν αὐτοῖς, Τί οὖν θέλετε ποιήσω ὃν λέγετε βασιλέα τῶν Ἰουδαίων; οἱ δὲ πάλιν ἔκραξαν, Σταύρωσον αὐτόν. Ὁ δὲ Πιλᾶτος ἔλεγεν αὐτοῖς, Τί γὰρ κακὸν ἐποίησεν; οἱ δὲ περισσοτέρως ἔκραξαν, Σταύρωσον αὐτόν. Ὁ δὲ Πιλᾶτος, βουλόμενος τῷ ὄχλῳ τὸ ἱκανὸν ποιῆσαι, ἀπέλυσεν αὐτοῖς τὸν Βαραββᾶν, καὶ παρέδωκε τὸν Ἰησοῦν, φραγελλώσας, ἵνα σταυρωθῇ. Οἱ δὲ στρατιῶται ἀπήγαγον αὐτὸν ἔσω τῆς αὐλῆς, ὅ ἐστι Πραιτώριον· καὶ συγκαλοῦσιν ὅλην τὴν σπεῖραν. Καὶ ἐνδύουσιν αὐτὸν πορφύραν, καὶ περιτιθέασιν αὐτῷ πλέξαντες ἀκάνθινον στέφανον. Καὶ ἤρξαντο ἀσπάζεσθαι αὐτόν, Χαῖρε Βασιλεῦ τῶν Ἰουδαίων. Καὶ ἔτυπτον αὐτοῦ τὴν κεφαλὴν καλάμῳ, καὶ ἐνέπτυον αὐτῷ, καὶ τιθέντες τὰ γόνατα προσε-

κύνουν αὐτῷ. Καὶ ὅτε ἐνέπαιξαν αὐτῷ, ἐξέδυσαν αὐτὸν τὴν πορφύραν, καὶ ἐνέδυσαν αὐτὸν τὰ ἱμάτια τὰ ἴδια, καὶ ἐξάγουσιν αὐτὸν ἵνα σταυρώσωσιν αὐτόν. Καὶ ἀγγαρεύουσι παράγοντά τινα Σίμωνα Κυρηναῖον, ἐρχόμενον ἀπ' ἀγροῦ, τὸν πατέρα Ἀλεξάνδρου καὶ Ῥούφου, ἵνα ἄρῃ τὸν σταυρὸν αὐτοῦ. Καὶ φέρουσιν αὐτὸν ἐπὶ Γολγοθᾶ τόπον, ὅ ἐστι, μεθερμηνευόμενον, κρανίου τόπος. Καὶ ἐδίδουν αὐτῷ πιεῖν ἐσμυρνισμένον οἶνον· ὁ δὲ οὐκ ἔλαβε. Καὶ σταυρώσαντες αὐτόν, διεμέριζον τὰ ἱμάτια αὐτοῦ, βάλλοντες κλῆρον ἐπ' αὐτά, τίς τί ἄρῃ. Ἦν δὲ ὥρα τρίτη, καὶ ἐσταύρωσαν αὐτόν. Καὶ ἦν ἡ ἐπιγραφὴ τῆς αἰτίας αὐτοῦ ἐπιγεγραμμένη, Ο ΒΑΣΙΛΕΥΣ ΤΩΝ ΙΟΥΔΑΙΩΝ. Καὶ σὺν αὐτῷ σταυροῦσι δύο λῃστάς, ἕνα ἐκ δεξιῶν, καὶ ἕνα ἐξ εὐωνύμων αὐτοῦ. Καὶ ἐπληρώθη ἡ Γραφή, ἡ λέγουσα, Καὶ μετὰ ἀνόμων ἐλογίσθη. Καὶ οἱ παραπορευόμενοι ἐβλασφήμουν αὐτόν, κινοῦντες τὰς κεφαλὰς αὐτῶν, καὶ λέγοντες, Οὐαί, ὁ καταλύων τὸν ναόν, καὶ ἐν τρισὶν ἡμέραις οἰκοδομῶν, σῶσον σεαυτόν, καὶ κατάβα ἀπὸ τοῦ σταυροῦ. Ὁμοίως δὲ καὶ οἱ ἀρχιερεῖς ἐμπαίζοντες, πρὸς ἀλλήλους μετὰ τῶν γραμματέων ἔλεγον, Ἄλλους ἔσωσεν, ἑαυτὸν οὐ δύναται σῶσαι. Ὁ Χριστὸς ὁ βασιλεὺς τοῦ Ἰσραὴλ καταβάτω νῦν ἀπὸ τοῦ σταυροῦ, ἵνα ἴδωμεν καὶ πιστεύσωμεν. Καὶ οἱ συνεσταυρωμένοι αὐτῷ ὠνείδιζον αὐτόν. Γενομένης δὲ ὥρας ἕκτης, σκότος ἐγένετο ἐφ' ὅλην τὴν γῆν, ἕως ὥρας ἐνάτης. Καὶ τῇ ὥρᾳ τῇ ἐνάτῃ ἐβόησεν ὁ Ἰησοῦς φωνῇ μεγάλῃ, λέγων, Ἐλωΐ, Ἐλωΐ, λαμμᾶ σαβαχθανί; ὅ ἐστι, μεθερμηνευόμενον, Ὁ Θεός μου, ὁ Θεός μου, εἰς τί με ἐγκατέλιπες; Καί τινες τῶν παρεστηκότων, ἀκούσαντες, ἔλεγον, Ἰδού, Ἠλίαν φωνεῖ. Δραμὼν δὲ εἷς, καὶ γεμίσας σπόγγον ὄξους, περιθείς τε καλάμῳ, ἐπότιζεν αὐτόν, λέγων, Ἄφετε· ἴδωμεν εἰ ἔρχεται Ἠλίας καθελεῖν αὐτόν. Ὁ δὲ Ἰησοῦς ἀφεὶς φωνὴν μεγάλην, ἐξέπνευσε. Καὶ τὸ καταπέτασμα τοῦ ναοῦ ἐσχίσθη εἰς δύο ἀπὸ ἄνωθεν ἕως κάτω.

Η ΤΕΤΑΡΤΗ ΠΡΟ ΤΟΥ ΠΑΣΧΑ

Ἰδὼν δὲ ὁ κεντυρίων ὁ παρεστηκὼς ἐξ ἐναντίας αὐτοῦ, ὅτι οὕτω κράξας ἐξέπνευσεν, εἶπεν, Ἀληθῶς ὁ ἄνθρωπος οὗτος Υἱὸς ἦν Θεοῦ.

Η ΤΕΤΑΡΤΗ ΠΡΟ ΤΟΥ ΠΑΣΧΑ.

Ἀπόστολος.

Ἑβρ. Θ´ 16. Ὅπου διαθήκη, θάνατον ἀνάγκη φέρεσθαι τοῦ διαθεμένου· διαθήκη γὰρ ἐπὶ νεκροῖς βεβαία· ἐπεὶ μή ποτε ἰσχύει ὅτε ζῇ ὁ διαθέμενος. Ὅθεν, οὐδ᾽ ἡ πρώτη χωρὶς αἵματος ἐγκεκαίνισται. Λαληθείσης γὰρ πάσης ἐντολῆς κατὰ νόμον ὑπὸ Μωϋσέως παντὶ τῷ λαῷ, λαβὼν τὸ αἷμα τῶν μόσχων καὶ τράγων, μετὰ ὕδατος καὶ ἐρίου κοκκίνου καὶ ὑσσώπου, αὐτό τε τὸ βιβλίον καὶ πάντα τὸν λαὸν ἐρράντισε, λέγων, Τοῦτο τὸ αἷμα τῆς διαθήκης, ἧς ἐνετείλατο πρὸς ὑμᾶς ὁ Θεός. Καὶ τὴν σκηνὴν δὲ καὶ πάντα τὰ σκεύη τῆς λειτουργίας τῷ αἵματι ὁμοίως ἐρράντισε. Καὶ σχεδὸν ἐν αἵματι πάντα καθαρίζεται κατὰ τὸν νόμον· καὶ χωρὶς αἱματεκχυσίας οὐ γίνεται ἄφεσις. Ἀνάγκη οὖν τὰ μὲν ὑποδείγματα τῶν ἐν τοῖς οὐρανοῖς τούτοις καθαρίζεσθαι· αὐτὰ δὲ τὰ ἐπουράνια κρείττοσι θυσίαις παρὰ ταύτας. Οὐ γὰρ εἰς χειροποίητα ἅγια εἰσῆλθεν ὁ Χριστός, ἀντίτυπα τῶν ἀληθινῶν, ἀλλ᾽ εἰς αὐτὸν τὸν οὐρανόν, νῦν ἐμφανισθῆναι τῷ προσώπῳ τοῦ Θεοῦ ὑπὲρ ἡμῶν· οὐδ᾽ ἵνα πολλάκις προσφέρῃ ἑαυτόν, ὥσπερ ὁ ἀρχιερεὺς εἰσέρχεται εἰς τὰ ἅγια κατ᾽ ἐνιαυτὸν ἐν αἵματι ἀλλοτρίῳ· ἐπεὶ ἔδει αὐτὸν πολλάκις παθεῖν ἀπὸ καταβολῆς κόσμου· νῦν δὲ ἅπαξ ἐπὶ συντελείᾳ τῶν αἰώνων, εἰς ἀθέτησιν ἁμαρτίας διὰ τῆς θυσίας αὐτοῦ πεφανέρωται. Καὶ καθ᾽ ὅσον ἀπόκειται τοῖς ἀνθρώποις ἅπαξ ἀποθανεῖν, μετὰ δὲ τοῦτο κρίσις· οὕτως ὁ Χριστὸς ἅπαξ προσενεχθεὶς εἰς τὸ πολλῶν ἀνενεγκεῖν ἁμαρτίας, ἐκ δευτέρου χωρὶς ἁμαρτίας ὀφθήσεται τοῖς αὐτὸν ἀπεκδεχομένοις εἰς σωτηρίαν.

Η ΤΕΤΑΡΤΗ ΠΡΟ ΤΟΥ ΠΑΣΧΑ

Εὐαγγέλιον.

Ἤγγιζεν δὲ ἡ ἑορτὴ τῶν ἀζύμων, ἡ λεγομένη πάσχα. Λουκ. ΚΒ´1.
Καὶ ἐζήτουν οἱ Ἀρχιερεῖς καὶ οἱ Γραμματεῖς τὸ πῶς ἀνέλωσιν αὐτόν· ἐφοβοῦντο γὰρ τὸν λαόν. Εἰσῆλθε δὲ ὁ Σατανᾶς εἰς Ἰούδαν τὸν ἐπικαλούμενον Ἰσκαριώτην, ὄντα ἐκ τοῦ ἀριθμοῦ τῶν δώδεκα. Καὶ ἀπελθὼν συνελάλησε τοῖς Ἀρχιερεῦσι καὶ τοῖς στρατηγοῖς, τὸ πῶς αὐτὸν παραδῷ αὐτοῖς. Καὶ ἐχάρησαν, καὶ συνέθεντο αὐτῷ ἀργύριον δοῦναι. Καὶ ἐξωμολόγησε, καὶ ἐζήτει εὐκαιρίαν τοῦ παραδοῦναι αὐτὸν αὐτοῖς, ἄτερ ὄχλου. Ἦλθε δὲ ἡ ἡμέρα τῶν ἀζύμων, ἐν ᾗ ἔδει θύεσθαι τὸ πάσχα. Καὶ ἀπέστειλε Πέτρον καὶ Ἰωάννην, εἰπών, Πορευθέντες ἑτοιμάσατε ἡμῖν τὸ πάσχα, ἵνα φάγωμεν. Οἱ δὲ εἶπον αὐτῷ, Ποῦ θέλεις ἑτοιμάσωμεν; Ὁ δὲ εἶπεν αὐτοῖς, Ἰδού, εἰσελθόντων ὑμῶν εἰς τὴν πόλιν, συναντήσει ὑμῖν ἄνθρωπος, κεράμιον ὕδατος βαστάζων· ἀκολουθήσατε αὐτῷ εἰς τὴν οἰκίαν οὗ εἰσπορεύεται. Καὶ ἐρεῖτε τῷ οἰκοδεσπότῃ τῆς οἰκίας, Λέγει σοι ὁ διδάσκαλος, Ποῦ ἐστι τὸ κατάλυμα, ὅπου τὸ πάσχα μετὰ τῶν μαθητῶν μου φάγω. Κἀκεῖνος ὑμῖν δείξει ἀνώγεον μέγα ἐστρωμένον· ἐκεῖ ἑτοιμάσατε. Ἀπελθόντες δὲ εὗρον καθὼς εἴρηκεν αὐτοῖς· καὶ ἡτοίμασαν τὸ πάσχα. Καὶ ὅτε ἐγένετο ἡ ὥρα, ἀνέπεσε καὶ οἱ δώδεκα Ἀπόστολοι σὺν αὐτῷ. Καὶ εἶπε πρὸς αὐτούς, Ἐπιθυμίᾳ ἐπεθύμησα τοῦτο τὸ πάσχα φαγεῖν μεθ' ὑμῶν πρὸ τοῦ με παθεῖν. Λέγω γὰρ ὑμῖν ὅτι οὐκέτι οὐ μὴ φάγω ἐξ αὐτοῦ, ἕως ὅτου πληρωθῇ ἐν τῇ βασιλείᾳ τοῦ Θεοῦ. Καὶ δεξάμενος τὸ ποτήριον, εὐχαριστήσας εἶπε, Λάβετε τοῦτο, καὶ διαμερίσατε ἑαυτοῖς. Λέγω γὰρ ὑμῖν ὅτι οὐ μὴ πίω ἀπὸ τοῦ γεννήματος τῆς ἀμπέλου, ἕως ὅτου ἡ βασιλεία τοῦ Θεοῦ ἔλθῃ. Καὶ λαβὼν ἄρτον, εὐχαριστήσας ἔκλασε, καὶ ἔδωκεν αὐτοῖς, λέγων, Τοῦτό ἐστι τὸ σῶμά μου, τὸ ὑπὲρ ὑμῶν διδόμενον· τοῦτο ποιεῖτε εἰς τὴν ἐμὴν ἀνάμνησιν. Ὡσαύτως καὶ τὸ ποτήριον μετὰ τὸ δειπνῆσαι, λέγων, Τοῦτο τὸ ποτήριον

ἡ καινὴ διαθήκη ἐν τῷ αἵματί μου, τὸ ὑπὲρ ὑμῶν ἐκχυνόμενον. Πλὴν ἰδού, ἡ χεὶρ τοῦ παραδιδόντος με μετ' ἐμοῦ ἐπὶ τῆς τραπέζης. Καὶ ὁ μὲν υἱὸς τοῦ ἀνθρώπου πορεύεται κατὰ τὸ ὡρισμένον· πλὴν οὐαὶ τῷ ἀνθρώπῳ ἐκείνῳ, δι' οὗ παραδίδοται. Καὶ αὐτοὶ ἤρξαντο συζητεῖν πρὸς ἑαυτούς, τὸ τίς ἄρα εἴη ἐξ αὐτῶν ὁ τοῦτο μέλλων πράσσειν. Ἐγένετο δὲ καὶ φιλονεικία ἐν αὐτοῖς, τὸ τίς αὐτῶν δοκεῖ εἶναι μείζων. Ὁ δὲ εἶπεν αὐτοῖς, Οἱ βασιλεῖς τῶν Ἐθνῶν κυριεύουσιν αὐτῶν, καὶ οἱ ἐξουσιάζοντες αὐτῶν εὐεργέται καλοῦνται. Ὑμεῖς δὲ οὐχ οὕτως· ἀλλ' ὁ μείζων ἐν ὑμῖν, γενέσθω ὡς ὁ νεώτερος· καὶ ὁ ἡγούμενος, ὡς ὁ διακονῶν. Τίς γὰρ μείζων, ὁ ἀνακείμενος, ἢ ὁ διακονῶν; οὐχὶ ὁ ἀνακείμενος; Ἐγὼ δέ εἰμι ἐν μέσῳ ὑμῶν, ὡς ὁ διακονῶν. Ὑμεῖς δέ ἐστε οἱ διαμεμενηκότες μετ' ἐμοῦ ἐν τοῖς πειρασμοῖς μου. Κἀγὼ διατίθεμαι ὑμῖν, καθὼς διέθετό μοι ὁ πατήρ μου, βασιλείαν· ἵνα ἐσθίητε καὶ πίνητε ἐπὶ τῆς τραπέζης μου ἐν τῇ βασιλείᾳ μου, καὶ καθίσησθε ἐπὶ θρόνων, κρίνοντες τὰς δώδεκα φυλὰς τοῦ Ἰσραήλ. Εἶπε δὲ ὁ Κύριος, Σίμων, Σίμων, ἰδού, ὁ Σατανᾶς ἐξῃτήσατο ὑμᾶς, τοῦ σινιάσαι ὡς τὸν σῖτον· Ἐγὼ δὲ ἐδεήθην περὶ σοῦ, ἵνα μὴ ἐκλείπῃ ἡ πίστις σου· καὶ σύ ποτε ἐπιστρέψας, στήριξον τοὺς ἀδελφούς σου. Ὁ δὲ εἶπεν αὐτῷ, Κύριε, μετὰ σοῦ ἕτοιμός εἰμι καὶ εἰς φυλακὴν καὶ εἰς θάνατον πορεύεσθαι. Ὁ δὲ εἶπε, Λέγω σοι, Πέτρε, οὐ μὴ φωνήσει σήμερον ἀλέκτωρ, πρὶν ἢ τρὶς ἀπαρνήσῃ μὴ εἰδέναι με. Καὶ εἶπεν αὐτοῖς, Ὅτε ἀπέστειλα ὑμᾶς ἄτερ βαλαντίου, καὶ πήρας, καὶ ὑποδημάτων, μή τινος ὑστερήσατε; Οἱ δὲ εἶπον, Οὐδενός. Εἶπεν οὖν αὐτοῖς, Ἀλλὰ νῦν, ὁ ἔχων βαλάντιον ἀράτω, ὁμοίως καὶ πήραν· καὶ ὁ μὴ ἔχων, πωλησάτω τὸ ἱμάτιον αὐτοῦ, καὶ ἀγορασάτω μάχαιραν. Λέγω γὰρ ὑμῖν, ὅτι ἔτι τοῦτο τὸ γεγραμμένον δεῖ τελεσθῆναι ἐν ἐμοί, τὸ Καὶ μετὰ ἀνόμων ἐλογίσθη· καὶ γὰρ τὰ περὶ ἐμοῦ τέλος ἔχει. Οἱ δὲ εἶπον, Κύριε, ἰδού, μάχαιραι ὧδε δύο. Ὁ δὲ εἶπεν αὐτοῖς, Ἱκανόν ἐστι. Καὶ

ἐξελθὼν ἐπορεύθη, κατὰ τὸ ἔθος, εἰς τὸ ὄρος τῶν Ἐλαιῶν, ἠκολούθησαν δὲ αὐτῷ καὶ οἱ μαθηταὶ αὐτοῦ. Γενόμενος δὲ ἐπὶ τοῦ τόπου εἶπεν αὐτοῖς, Προσεύχεσθε μὴ εἰσελθεῖν εἰς πειρασμόν. Καὶ αὐτὸς ἀπεσπάσθη ἀπ' αὐτῶν ὡσεὶ λίθου βολήν, καὶ θεὶς τὰ γόνατα προσηύχετο, λέγων, Πάτερ, εἰ βούλει παρενεγκεῖν τὸ ποτήριον τοῦτο ἀπ' ἐμοῦ· πλήν, μὴ τὸ θέλημά μου, ἀλλὰ τὸ σὸν γενέσθω. Ὤφθη δὲ αὐτῷ ἄγγελος ἀπ' οὐρανοῦ, ἐνισχύων αὐτόν. Καὶ γενόμενος ἐν ἀγωνίᾳ ἐκτενέστερον προσηύχετο· ἐγένετο δὲ ὁ ἱδρὼς αὐτοῦ ὡσεὶ θρόμβοι αἵματος καταβαίνοντες ἐπὶ τὴν γῆν. Καὶ ἀναστὰς ἀπὸ τῆς προσευχῆς, ἐλθὼν πρὸς τοὺς μαθητὰς αὐτοῦ, εὗρεν αὐτοὺς κοιμωμένους ἀπὸ τῆς λύπης, καὶ εἶπεν αὐτοῖς, Τί καθεύδετε; ἀναστάντες προσεύχεσθε, ἵνα μὴ εἰσέλθητε εἰς πειρασμόν. Ἔτι δὲ αὐτοῦ λαλοῦντος, ἰδού, ὄχλος, καὶ ὁ λεγόμενος Ἰούδας, εἷς τῶν δώδεκα, προήρχετο αὐτῶν, καὶ ἤγγισε τῷ Ἰησοῦ φιλῆσαι αὐτόν. Ὁ δὲ Ἰησοῦς εἶπεν αὐτῷ, Ἰούδα, φιλήματι τὸν υἱὸν τοῦ ἀνθρώπου παραδίδως; Ἰδόντες δὲ οἱ περὶ αὐτὸν τὸ ἐσόμενον εἶπον αὐτῷ, Κύριε, εἰ πατάξομεν ἐν μαχαίρᾳ; Καὶ ἐπάταξεν εἷς τις ἐξ αὐτῶν τὸν δοῦλον τοῦ Ἀρχιερέως, καὶ ἀφεῖλεν αὐτοῦ τὸ οὖς τὸ δεξιόν. Ἀποκριθεὶς δὲ ὁ Ἰησοῦς εἶπεν, Ἐᾶτε ἕως τούτου. Καὶ ἁψάμενος τοῦ ὠτίου αὐτοῦ ἰάσατο αὐτόν. Εἶπε δὲ ὁ Ἰησοῦς πρὸς τοὺς παραγενομένους ἐπ' αὐτὸν Ἀρχιερεῖς, καὶ Στρατηγοὺς τοῦ ἱεροῦ, καὶ Πρεσβυτέρους, Ὡς ἐπὶ λῃστὴν ἐξεληλύθατε, μετὰ μαχαιρῶν καὶ ξύλων; Καθ' ἡμέραν ὄντος μου μεθ' ὑμῶν ἐν τῷ ἱερῷ, οὐκ ἐξετείνατε τὰς χεῖρας ἐπ' ἐμέ· ἀλλ' αὕτη ὑμῶν ἐστιν ἡ ὥρα, καὶ ἡ ἐξουσία τοῦ σκότους. Συλλαβόντες δὲ αὐτὸν ἤγαγον, καὶ εἰσήγαγον αὐτὸν εἰς τὸν οἶκον τοῦ Ἀρχιερέως, ὁ δὲ Πέτρος ἠκολούθει μακρόθεν. Ἁψάντων δὲ πῦρ ἐν μέσῳ τῆς αὐλῆς, καὶ συγκαθισάντων αὐτῶν, ἐκάθητο ὁ Πέτρος ἐν μέσῳ αὐτῶν. Ἰδοῦσα δὲ αὐτὸν παιδίσκη τις καθήμενον πρὸς τὸ φῶς, καὶ ἀτενίσασα αὐτῷ,

εἶπε, Καὶ οὗτος σὺν αὐτῷ ἦν. Ὁ δὲ ἠρνήσατο αὐτόν, λέγων, Γύναι, οὐκ οἶδα αὐτόν. Καὶ μετὰ βραχὺ ἕτερος ἰδὼν αὐτὸν ἔφη, Καὶ σὺ ἐξ αὐτῶν εἶ. Ὁ δὲ Πέτρος εἶπεν, Ἄνθρωπε, οὐκ εἰμί. Καὶ διαστάσης ὡσεὶ ὥρας μιᾶς, ἄλλος τις διϊσχυρίζετο, λέγων, Ἐπ᾽ ἀληθείας καὶ οὗτος μετ᾽ αὐτοῦ ἦν· καὶ γὰρ Γαλιλαῖός ἐστιν. Εἶπε δὲ ὁ Πέτρος, Ἄνθρωπε, οὐκ οἶδα ὃ λέγεις. Καὶ παραχρῆμα ἔτι λαλοῦντος αὐτοῦ, ἐφώνησεν ὁ ἀλέκτωρ. Καὶ στραφεὶς ὁ Κύριος ἐνέβλεψε τῷ Πέτρῳ· καὶ ὑπεμνήσθη ὁ Πέτρος τοῦ λόγου τοῦ Κυρίου, ὡς εἶπεν αὐτῷ ὅτι Πρὶν ἀλέκτορα φωνῆσαι, ἀπαρνήσῃ με τρίς. Καὶ ἐξελθὼν ἔξω ὁ Πέτρος ἔκλαυσε πικρῶς. Καὶ οἱ ἄνδρες οἱ συνέχοντες τὸν Ἰησοῦν ἐνέπαιζον αὐτῷ, δέροντες. Καὶ περικαλύψαντες αὐτόν, ἔτυπτον αὐτοῦ τὸ πρόσωπον, καὶ ἐπηρώτων αὐτόν, λέγοντες, Προφήτευσον, τίς ἐστιν ὁ παίσας σε; Καὶ ἕτερα πολλὰ βλασφημοῦντες ἔλεγον εἰς αὐτόν. Καὶ ὡς ἐγένετο ἡμέρα, συνήχθη τὸ πρεσβυτέριον τοῦ λαοῦ, Ἀρχιερεῖς τε καὶ Γραμματεῖς, καὶ ἀνήγαγον αὐτὸν εἰς τὸ συνέδριον ἑαυτῶν, λέγοντες, Εἰ σὺ εἶ ὁ Χριστός; εἰπὲ ἡμῖν. Εἶπε δὲ αὐτοῖς, Ἐὰν ὑμῖν εἴπω, οὐ μὴ πιστεύσητε. Ἐὰν δὲ καὶ ἐρωτήσω, οὐ μὴ ἀποκριθῆτέ μοι, ἢ ἀπολύσητε. Ἀπὸ τοῦ νῦν ἔσται ὁ υἱὸς τοῦ ἀνθρώπου καθήμενος ἐκ δεξιῶν τῆς δυνάμεως τοῦ Θεοῦ. Εἶπον δὲ πάντες, Σὺ οὖν εἶ ὁ Υἱὸς τοῦ Θεοῦ; Ὁ δὲ πρὸς αὐτοὺς ἔφη, Ὑμεῖς λέγετε ὅτι ἐγώ εἰμι. Οἱ δὲ εἶπον, Τί ἔτι χρείαν ἔχομεν μαρτυρίας; αὐτοὶ γὰρ ἠκούσαμεν ἀπὸ τοῦ στόματος αὐτοῦ.

Η ΠΕΜΠΤΗ ΠΡΟ ΤΟΥ ΠΑΣΧΑ.

Ἀπόστολος.

Α´ Κορ. ΙΑ´ 17. ΤΟῦτο παραγγέλλων, οὐκ ἐπαινῶ· ὅτι οὐκ εἰς τὸ κρεῖττον, ἀλλ᾽ εἰς τὸ ἧττον συνέρχεσθε. Πρῶτον μὲν γάρ, συνερχομένων ὑμῶν ἐν τῇ Ἐκκλησίᾳ, ἀκούω σχίσματα

ἐν ὑμῖν ὑπάρχειν, καὶ μέρος τι πιστεύω. Δεῖ γὰρ καὶ αἱρέσεις ἐν ὑμῖν εἶναι, ἵνα οἱ δόκιμοι φανεροὶ γένωνται ἐν ὑμῖν. Συνερχομένων οὖν ὑμῶν ἐπὶ τὸ αὐτό, οὐκ ἔστι Κυριακὸν δεῖπνον φαγεῖν. Ἕκαστος γὰρ τὸ ἴδιον δεῖπνον προλαμβάνει ἐν τῷ φαγεῖν· καὶ ὃς μὲν πεινᾷ, ὃς δὲ μεθύει. Μὴ γὰρ οἰκίας οὐκ ἔχετε εἰς τὸ ἐσθίειν καὶ πίνειν; ἢ τῆς ἐκκλησίας τοῦ Θεοῦ καταφρονεῖτε, καὶ καταισχύνετε τοὺς μὴ ἔχοντας; Τί ὑμῖν εἴπω; ἐπαινέσω ὑμᾶς ἐν τούτῳ; Οὐκ ἐπαινῶ. Ἐγὼ γὰρ παρέλαβον ἀπὸ τοῦ Κυρίου ὃ καὶ παρέδωκα ὑμῖν, ὅτι ὁ Κύριος Ἰησοῦς, ἐν τῇ νυκτὶ ᾗ παρεδίδοτο, ἔλαβεν ἄρτον· καὶ εὐχαριστήσας ἔκλασε, καὶ εἶπε, Λάβετε, φάγετε, τοῦτό μού ἐστι τὸ σῶμα τὸ ὑπὲρ ὑμῶν κλώμενον· τοῦτο ποιεῖτε εἰς τὴν ἐμὴν ἀνάμνησιν. Ὡσαύτως καὶ τὸ ποτήριον, μετὰ τὸ δειπνῆσαι, λέγων, Τοῦτο τὸ ποτήριον ἡ καινὴ διαθήκη ἐστὶν ἐν τῷ ἐμῷ αἵματι· τοῦτο ποιεῖτε, ὁσάκις ἂν πίνητε, εἰς τὴν ἐμὴν ἀνάμνησιν. Ὁσάκις γὰρ ἂν ἐσθίητε τὸν ἄρτον τοῦτον, καὶ τὸ ποτήριον τοῦτο πίνητε, τὸν θάνατον τοῦ Κυρίου καταγγέλλετε ἄχρις οὗ ἂν ἔλθῃ. Ὥστε, ὃς ἂν ἐσθίῃ τὸν ἄρτον τοῦτον, ἢ πίνῃ τὸ ποτήριον τοῦ Κυρίου ἀναξίως, ἔνοχος ἔσται τοῦ σώματος καὶ αἵματος τοῦ Κυρίου. Δοκιμαζέτω δὲ ἄνθρωπος ἑαυτόν, καὶ οὕτως ἐκ τοῦ ἄρτου ἐσθιέτω, καὶ ἐκ τοῦ ποτηρίου πινέτω. Ὁ γὰρ ἐσθίων καὶ πίνων ἀναξίως κρῖμα ἑαυτῷ ἐσθίει καὶ πίνει, μὴ διακρίνων τὸ σῶμα τοῦ Κυρίου. Διὰ τοῦτο ἐν ὑμῖν πολλοὶ ἀσθενεῖς καὶ ἄρρωστοι, καὶ κοιμῶνται ἱκανοί. Εἰ γὰρ ἑαυτοὺς διεκρίνομεν, οὐκ ἂν ἐκρινόμεθα. Κρινόμενοι δέ, ὑπὸ τοῦ Κυρίου παιδευόμεθα, ἵνα μὴ σὺν τῷ κόσμῳ κατακριθῶμεν. Ὥστε, ἀδελφοί μου, συνερχόμενοι εἰς τὸ φαγεῖν, ἀλλήλους ἐκδέχεσθε. Εἰ δέ τις πεινᾷ, ἐν οἴκῳ ἐσθιέτω· ἵνα μὴ εἰς κρῖμα συνέρχησθε. Τὰ δὲ λοιπὰ ὡς ἂν ἔλθω διατάξομαι.

Η ΠΕΜΠΤΗ ΠΡΟ ΤΟΥ ΠΑΣΧΑ

Εὐαγγέλιον.

Λουκ. ΚΓ΄ 1. Ἀ Ναστὰν ἅπαν τὸ πλῆθος αὐτῶν, ἤγαγεν αὐτὸν ἐπὶ τὸν Πιλᾶτον. Ἤρξαντο δὲ κατηγορεῖν αὐτοῦ, λέγοντες, Τοῦτον εὕρομεν διαστρέφοντα τὸ ἔθνος, καὶ κωλύοντα Καίσαρι φόρους διδόναι, λέγοντα ἑαυτὸν Χριστὸν βασιλέα εἶναι. Ὁ δὲ Πιλᾶτος ἐπηρώτησεν αὐτόν, λέγων, Σὺ εἶ ὁ Βασιλεὺς τῶν Ἰουδαίων; Ὁ δὲ ἀποκριθεὶς αὐτῷ ἔφη, Σὺ λέγεις. Ὁ δὲ Πιλᾶτος εἶπε πρὸς τοὺς ἀρχιερεῖς καὶ τοὺς ὄχλους, Οὐδὲν εὑρίσκω αἴτιον ἐν τῷ ἀνθρώπῳ τούτῳ. Οἱ δὲ ἐπίσχυον, λέγοντες, ὅτι Ἀνασείει τὸν λαόν, διδάσκων καθ᾿ ὅλης τῆς Ἰουδαίας, ἀρξάμενος ἀπὸ τῆς Γαλιλαίας ἕως ὧδε. Πιλᾶτος δὲ ἀκούσας Γαλιλαίαν, ἐπηρώτησεν εἰ ὁ ἄνθρωπος Γαλιλαῖός ἐστι. Καὶ ἐπιγνοὺς ὅτι ἐκ τῆς ἐξουσίας Ἡρώδου ἐστίν, ἀνέπεμψεν αὐτὸν πρὸς Ἡρώδην, ὄντα καὶ αὐτὸν ἐν Ἱεροσολύμοις ἐν ταύταις ταῖς ἡμέραις. Ὁ δὲ Ἡρώδης ἰδὼν τὸν Ἰησοῦν ἐχάρη λίαν, ἦν γὰρ θέλων ἐξ ἱκανοῦ ἰδεῖν αὐτόν, διὰ τὸ ἀκούειν πολλὰ περὶ αὐτοῦ, καὶ ἤλπιζέ τι σημεῖον ἰδεῖν ὑπ᾿ αὐτοῦ γινόμενον. Ἐπηρώτα δὲ αὐτὸν ἐν λόγοις ἱκανοῖς· αὐτὸς δὲ οὐδὲν ἀπεκρίνατο αὐτῷ. Εἱστήκεισαν δὲ οἱ ἀρχιερεῖς καὶ οἱ γραμματεῖς, εὐτόνως κατηγοροῦντες αὐτοῦ. Ἐξουθενήσας δὲ αὐτὸν ὁ Ἡρώδης σὺν τοῖς στρατεύμασιν αὐτοῦ, καὶ ἐμπαίξας, περιβαλὼν αὐτὸν ἐσθῆτα λαμπράν, ἀνέπεμψεν αὐτὸν τῷ Πιλάτῳ. Ἐγένοντο δὲ φίλοι ὅ τε Πιλᾶτος καὶ ὁ Ἡρώδης ἐν αὐτῇ τῇ ἡμέρᾳ μετ᾿ ἀλλήλων· προϋπῆρχον γὰρ ἐν ἔχθρᾳ ὄντες πρὸς ἑαυτούς. Πιλᾶτος δὲ συγκαλεσάμενος τοὺς Ἀρχιερεῖς, καὶ τοὺς Ἄρχοντας, καὶ τὸν λαόν, εἶπε πρὸς αὐτούς, Προσηνέγκατέ μοι τὸν ἄνθρωπον τοῦτον, ὡς ἀποστρέφοντα τὸν λαόν, καὶ ἰδού, ἐγὼ ἐνώπιον ὑμῶν ἀνακρίνας οὐδὲν εὗρον ἐν τῷ ἀνθρώπῳ τούτῳ αἴτιον ὧν κατηγορεῖτε κατ᾿ αὐτοῦ· Ἀλλ᾿ οὐδὲ Ἡρώδης· ἀνέπεμψα γὰρ ὑμᾶς πρὸς αὐτόν, καὶ ἰδού, οὐδὲν ἄξιον θανάτου ἐστὶ πεπραγμένον αὐτῷ. Παιδεύσας οὖν αὐτὸν ἀπολύσω. Ἀνάγκην δὲ εἶχεν ἀπολύειν

αὐτοῖς κατὰ ἑορτὴν ἕνα. Ἀνέκραξαν δὲ παμπληθεί, λέγοντες, Αἶρε τοῦτον, ἀπόλυσον δὲ ἡμῖν τὸν Βαραββᾶν (ὅστις ἦν διὰ στάσιν τινὰ γενομένην ἐν τῇ πόλει καὶ φόνον βεβλημένος εἰς φυλακήν). Πάλιν οὖν ὁ Πιλᾶτος προσεφώνησε, θέλων ἀπολῦσαι τὸν Ἰησοῦν. Οἱ δὲ ἐπεφώνουν, λέγοντες, Σταύρωσον, σταύρωσον αὐτόν. Ὁ δὲ τρίτον εἶπε πρὸς αὐτούς, Τί γὰρ κακὸν ἐποίησεν οὗτος; Οὐδὲν αἴτιον θανάτου εὗρον ἐν αὐτῷ· παιδεύσας οὖν αὐτὸν ἀπολύσω. Οἱ δὲ ἐπέκειντο φωναῖς μεγάλαις, αἰτούμενοι αὐτὸν σταυρωθῆναι. Καὶ κατίσχυον αἱ φωναὶ αὐτῶν, καὶ τῶν ἀρχιερέων. Ὁ δὲ Πιλᾶτος ἐπέκρινε γενέσθαι τὸ αἴτημα αὐτῶν. Ἀπέλυσε δὲ αὐτοῖς τὸν διὰ στάσιν καὶ φόνον βεβλημένον εἰς τὴν φυλακήν, ὃν ᾐτοῦντο· τὸν δὲ Ἰησοῦν παρέδωκε τῷ θελήματι αὐτῶν. Καὶ ὡς ἀπήγαγον αὐτόν, ἐπιλαβόμενοι Σίμωνός τινος Κυρηναίου, τοῦ ἐρχομένου ἀπ' ἀγροῦ, ἐπέθηκαν αὐτῷ τὸν σταυρὸν φέρειν ὄπισθεν τοῦ Ἰησοῦ. Ἠκολούθει δὲ αὐτῷ πολὺ πλῆθος τοῦ λαοῦ, καὶ γυναικῶν, αἳ καὶ ἐκόπτοντο καὶ ἐθρήνουν αὐτόν. Στραφεὶς δὲ πρὸς αὐτὰς ὁ Ἰησοῦς εἶπε, Θυγατέρες Ἱερουσαλήμ, μὴ κλαίετε ἐπ' ἐμέ, πλὴν ἐφ' ἑαυτὰς κλαίετε, καὶ ἐπὶ τὰ τέκνα ὑμῶν. Ὅτι ἰδού, ἔρχονται ἡμέραι, ἐν αἷς ἐροῦσι, Μακάριαι αἱ στεῖραι, καὶ κοιλίαι αἳ οὐκ ἐγέννησαν, καὶ μαστοὶ οἳ οὐκ ἐθήλασαν. Τότε ἄρξονται λέγειν τοῖς ὄρεσι, Πέσετε ἐφ' ἡμᾶς· καὶ τοῖς βουνοῖς, Καλύψατε ἡμᾶς. Ὅτι εἰ ἐν τῷ ὑγρῷ ξύλῳ ταῦτα ποιοῦσιν, ἐν τῷ ξηρῷ τί γένηται; Ἤγοντο δὲ καὶ ἕτεροι δύο κακοῦργοι σὺν αὐτῷ ἀναιρεθῆναι. Καὶ ὅτε ἀπῆλθον ἐπὶ τὸν τόπον τὸν καλούμενον Κρανίον, ἐκεῖ ἐσταύρωσαν αὐτόν· καὶ τοὺς κακούργους, ὃν μὲν ἐκ δεξιῶν, ὃν δὲ ἐξ ἀριστερῶν. Ὁ δὲ Ἰησοῦς ἔλεγε, Πάτερ, ἄφες αὐτοῖς, οὐ γὰρ οἴδασι τί ποιοῦσι. Διαμεριζόμενοι δὲ τὰ ἱμάτια αὐτοῦ, ἔβαλον κλῆρον. Καὶ εἱστήκει ὁ λαὸς θεωρῶν· ἐξεμυκτήριζον δὲ καὶ οἱ ἄρχοντες συν αὐτοῖς, λέγοντες, Ἄλλους ἔσωσε, σωσάτω ἑαυτόν, εἰ οὗτός ἐστιν ὁ

Χριστὸς ὁ τοῦ Θεοῦ ἐκλεκτός. Ἐνέπαιζον δὲ αὐτῷ καὶ οἱ στρατιῶται, προσερχόμενοι καὶ ὄξος προσφέροντες αὐτῷ, καὶ λέγοντες, Εἰ *σὺ εἶ ὁ* Βασιλεὺς *τῶν* Ἰουδαίων, *σῶσον σεαυτόν.* Ἦν *δὲ καὶ ἐπιγραφὴ γεγραμμένη ἐπ' αὐτῷ γράμμασιν* Ἑλληνικοῖς *καὶ* Ῥωμαϊκοῖς *καὶ* Ἑβραϊκοῖς, ΟΥΤΟΣ ΕΣΤΙΝ Ο ΒΑΣΙΛΕΥΣ ΤΩΝ ΙΟΥΔΑΙΩΝ. Εἷς *δὲ τῶν κρεμασθέντων κακούργων ἐβλασφήμει αὐτόν, λέγων,* Εἰ *σὺ εἶ ὁ* Χριστός, *σῶσον σεαυτόν, καὶ ἡμᾶς.* Ἀποκριθεὶς *δὲ ὁ ἕτερος ἐπετίμα αὐτῷ, λέγων,* Οὐδὲ *φοβῇ σὺ τὸν* Θεόν, *ὅτι ἐν τῷ αὐτῷ κρίματι εἶ;* Καὶ *ἡμεῖς μὲν δικαίως· ἄξια γὰρ ὧν ἐπράξαμεν ἀπολαμβάνομεν· οὗτος δὲ οὐδὲν ἄτοπον ἔπραξε.* Καὶ *ἔλεγε τῷ* Ἰησοῦ, Μνήσθητί *μου,* Κύριε, *ὅταν ἔλθῃς ἐν τῇ βασιλείᾳ σου.* Καὶ *εἶπεν αὐτῷ ὁ* Ἰησοῦς, Ἀμὴν *λέγω σοι,* Σήμερον *μετ' ἐμοῦ ἔσῃ ἐν τῷ παραδείσῳ.* Ἦν *δὲ ὡσεὶ ὥρα ἕκτη, καὶ σκότος ἐγένετο ἐφ' ὅλην τὴν γῆν, ἕως ὥρας ἐνάτης.* Καὶ *ἐσκοτίσθη ὁ ἥλιος, καὶ ἐσχίσθη τὸ καταπέτασμα τοῦ ναοῦ μέσον.* Καὶ *φωνήσας φωνῇ μεγάλῃ ὁ* Ἰησοῦς *εἶπε,* Πάτερ, *εἰς χεῖράς σου παρατίθεμαι τὸ πνεῦμά μου· καὶ ταῦτα εἰπών, ἐξέπνευσεν.* Ἰδὼν *δὲ ὁ ἑκατόνταρχος τὸ γενόμενον, ἐδόξασε τὸν* Θεόν, *λέγων,* Ὄντως *ὁ ἄνθρωπος οὗτος δίκαιος ἦν.* Καὶ *πάντες οἱ συμπαραγενόμενοι ὄχλοι ἐπὶ τὴν θεωρίαν ταύτην, θεωροῦντες τὰ γενόμενα, τύπτοντες ἑαυτῶν τὰ στήθη, ὑπέστρεφον.* Εἱστήκεισαν *δὲ πάντες οἱ γνωστοὶ αὐτοῦ μακρόθεν, καὶ γυναῖκες αἱ συνακολουθήσασαι αὐτῷ ἀπὸ τῆς* Γαλιλαίας, *ὁρῶσαι ταῦτα.*

Η ΜΕΓΑΛΗ ΠΑΡΑΣΚΕΥΗ.

Εὐχαί.

ΘΕὲ Παντοκράτορ, *δεόμεθά σου, ἵλεως ἐπίβλεψον ἐπὶ ταύτην τὴν σὴν θεραπείαν, ὑπὲρ ἧς ὁ* Κύριος *ἡμῶν* Ἰησοῦς Χριστὸς *οὐ παρῃτήσατο προδοθῆναι, καὶ εἰς χεῖρας ἀνόμων ἐκδοθῆναι,*

καὶ τὸν θάνατον ὑπομεῖναι ἐπὶ τοῦ σταυροῦ, ὁ νῦν σὺν Σοὶ καὶ τῷ ἁγίῳ Πνεύματι συζῶν καὶ συμβασιλεύων, εἷς ἀεὶ Θεός, εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

Ὁ Θεὸς ὁ παντοκράτωρ καὶ αἰώνιος, οὗ τῷ Πνεύματι ὅλον τὸ σῶμα τῆς Ἐκκλησίας κυβερνᾶται καὶ ἁγιάζεται· Ἐπάκουσον ἡμῶν τῶν ἐνώπιόν σου δεομένων καὶ ἱκετευόντων ὑπὲρ παντὸς τῶν ἐν τῇ ἁγίᾳ σου Ἐκκλησίᾳ τάγματος ἀνθρώπων, ἵνα ἕκαστον μέλος ταύτης, ἐν τῇ ἰδίᾳ κλήσει καὶ διακονίᾳ, πιστῶς καὶ εὐσεβῶς σοι καταδουλεύῃ, διὰ τοῦ Κυρίου καὶ Σωτῆρος ἡμῶν Ἰησοῦ Χριστοῦ. Ἀμήν.

Θεὲ οἰκτίρμον, ὁ πάντας ποιήσας καὶ μηδὲν βδελυσσόμενος ὧν ἐποίησας, μηδὲ θέλων τὸν θάνατον τοῦ ἁμαρτωλοῦ, ἀλλ' ἵνα ἐπιστρέψῃ καὶ σωθῇ· Αὐτὸς ἐλέησον πάντας Ἰουδαίους καὶ Τούρκους καὶ Ἀπίστους καὶ Αἱρετικούς, καὶ ἆρον ἀπ' αὐτῶν πᾶσαν ἄγνοιαν, καὶ σκληροκαρδίαν, καὶ τοῦ λόγου σου καταφρόνησιν· καὶ οὕτως ἐπισυνάγαγε αὐτούς, Κύριε εὐλογητέ, εἰς τὴν ποίμνην σου, ὥστε διασωθῆναι αὐτοὺς μετὰ τοῦ λείμματος τοῦ ἀληθινοῦ Ἰσραήλ, καὶ μίαν γενέσθαι ποίμνην ὑφ' ἕνα Ποιμένα, Ἰησοῦν Χριστὸν τὸν Κύριον ἡμῶν, τὸν σὺν Σοὶ καὶ τῷ ἁγίῳ Πνεύματι συζῶντα καὶ συμβασιλεύοντα, ἕνα Θεόν, εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

Ἀπόστολος.

Σκιὰν ἔχων ὁ νόμος τῶν μελλόντων ἀγαθῶν, οὐκ αὐτὴν τὴν εἰκόνα τῶν πραγμάτων, κατ' ἐνιαυτὸν ταῖς αὐταῖς θυσίαις ἃς προσφέρουσιν εἰς τὸ διηνεκές, οὐδέποτε δύναται τοὺς προσερχομένους τελειῶσαι· ἐπεὶ οὐκ ἂν ἐπαύσαντο προσφερόμεναι; διὰ τὸ μηδεμίαν ἔχειν ἔτι συνείδησιν ἁμαρτιῶν τοὺς λατρεύοντας, ἅπαξ κεκαθαρμένους. Ἀλλ' ἐν αὐταῖς ἀνάμνησις ἁμαρτιῶν κατ' ἐνιαυτόν. Ἀδύνατον γὰρ αἷμα ταύρων καὶ τράγων ἀφαιρεῖν ἁμαρτίας. Διὸ εἰσερχόμενος εἰς τὸν κόσμον λέγει, Θυσίαν Ἑβρ. Ι' 1.

καὶ προσφορὰν οὐκ ἠθέλησας, σῶμα δὲ κατηρτίσω μοι· Ὁλοκαυτώματα καὶ περὶ ἁμαρτίας οὐκ εὐδόκησας· Τότε εἶπον, Ἰδού, ἥκω (ἐν κεφαλίδι βιβλίου γέγραπται περὶ ἐμοῦ) τοῦ ποιῆσαι, ὁ Θεός, τὸ θέλημά σου. Ἀνώτερον λέγων ὅτι Θυσίαν καὶ προσφοράν, καὶ ὁλοκαυτώματα, καὶ περὶ ἁμαρτίας οὐκ ἠθέλησας, οὐδὲ εὐδόκησας, αἵτινες κατὰ τὸν νόμον προσφέρονται· Τότε εἴρηκεν, Ἰδού, ἥκω τοῦ ποιῆσαι, ὁ Θεός, τὸ θέλημά σου. Ἀναιρεῖ τὸ πρῶτον, ἵνα τὸ δεύτερον στήσῃ. Ἐν ᾧ θελήματι ἡγιασμένοι ἐσμέν, διὰ τῆς προσφορᾶς τοῦ σώματος τοῦ Ἰησοῦ Χριστοῦ ἐφάπαξ. Καὶ πᾶς μὲν ἱερεὺς ἕστηκε καθ' ἡμέραν λειτουργῶν, καὶ τὰς αὐτὰς πολλάκις προσφέρων θυσίας αἵτινες οὐδέποτε δύνανται περιελεῖν ἁμαρτίας. Αὐτὸς δὲ μίαν ὑπὲρ ἁμαρτιῶν προσενέγκας θυσίαν, εἰς τὸ διηνεκὲς ἐκάθισεν ἐν δεξιᾷ τοῦ Θεοῦ· τὸ λοιπὸν ἐκδεχόμενος ἕως τεθῶσιν οἱ ἐχθροὶ αὐτοῦ ὑποπόδιον τῶν ποδῶν αὐτοῦ. Μιᾷ γὰρ προσφορᾷ τετελείωκεν εἰς τὸ διηνεκὲς τοὺς ἁγιαζομένους· Μαρτυρεῖ δὲ ἡμῖν καὶ τὸ Πνεῦμα τὸ ἅγιον· μετὰ γὰρ τὸ προειρηκέναι, Αὕτη ἡ διαθήκη ἣν διαθήσομαι πρὸς αὐτοὺς μετὰ τὰς ἡμέρας ἐκείνας, λέγει Κύριος, διδοὺς νόμους μου ἐπὶ καρδίας αὐτῶν, καὶ ἐπὶ τῶν διανοιῶν αὐτῶν ἐπιγράψω αὐτούς· καὶ τῶν ἁμαρτιῶν αὐτῶν καὶ τῶν ἀνομιῶν αὐτῶν οὐ μὴ μνησθῶ ἔτι. Ὅπου δὲ ἄφεσις τούτων, οὐκ ἔτι προσφορὰ περὶ ἁμαρτίας. Ἔχοντες οὖν, ἀδελφοί, παρρησίαν εἰς τὴν εἴσοδον τῶν ἁγίων ἐν τῷ αἵματι Ἰησοῦ, ἣν ἐνεκαίνισεν ἡμῖν ὁδὸν πρόσφατον καὶ ζῶσαν, διὰ τοῦ καταπετάσματος, τουτέστι τῆς σαρκὸς αὐτοῦ, καὶ Ἱερέα μέγαν ἐπὶ τὸν οἶκον τοῦ Θεοῦ, προσερχώμεθα μετὰ ἀληθινῆς καρδίας, ἐν πληροφορίᾳ πίστεως, ἐρραντισμένοι τὰς καρδίας ἀπὸ συνειδήσεως πονηρᾶς, καὶ λελουμένοι τὸ σῶμα ὕδατι καθαρῷ. Κατέχωμεν τὴν ὁμολογίαν τῆς ἐλπίδος ἀκλινῆ (πιστὸς γὰρ ὁ ἐπαγγειλάμενος). Καὶ κατανοῶμεν ἀλλήλους εἰς παροξυσμὸν ἀγάπης καὶ καλῶν ἔργων· μὴ ἐγκαταλείποντες τὴν ἐπισυναγωγὴν ἑαυτῶν, καθὼς

ἔθος τισίν, ἀλλὰ παρακαλοῦντες· καὶ τοσούτῳ μᾶλλον, ὅσῳ βλέπετε ἐγγίζουσαν τὴν ἡμέραν.

Εὐαγγέλιον.

Ἔλαβεν οὖν ὁ Πιλᾶτος τὸν Ἰησοῦν, καὶ ἐμαστίγωσε. Καὶ οἱ Ἰωάν.
στρατιῶται πλέξαντες στέφανον ἐξ ἀκανθῶν ἐπέθηκαν ΙΘ΄ 1.
αὐτοῦ τῇ κεφαλῇ, καὶ ἱμάτιον πορφυροῦν περιέβαλον αὐτόν,
καὶ ἔλεγον, Χαῖρε ὁ Βασιλεὺς τῶν Ἰουδαίων· καὶ ἐδίδουν αὐτῷ
ῥαπίσματα. Ἐξῆλθεν οὖν πάλιν ἔξω ὁ Πιλᾶτος, καὶ λέγει
αὐτοῖς, Ἴδε, ἄγω ὑμῖν αὐτὸν ἔξω, ἵνα γνῶτε ὅτι ἐν αὐτῷ
οὐδεμίαν αἰτίαν εὑρίσκω. Ἐξῆλθεν οὖν ὁ Ἰησοῦς ἔξω, φορῶν
τὸν ἀκάνθινον στέφανον, καὶ τὸ πορφυροῦν ἱμάτιον. Καὶ λέγει
αὐτοῖς, Ἴδε ὁ ἄνθρωπος. Ὅτε οὖν εἶδον αὐτὸν οἱ Ἀρχιερεῖς
καὶ οἱ ὑπηρέται, ἐκραύγασαν λέγοντες, Σταύρωσον, σταύρωσον.
Λέγει αὐτοῖς ὁ Πιλᾶτος, Λάβετε αὐτὸν ὑμεῖς, καὶ σταυρώσατε·
ἐγὼ γὰρ οὐχ εὑρίσκω ἐν αὐτῷ αἰτίαν. Ἀπεκρίθησαν αὐτῷ οἱ
Ἰουδαῖοι, Ἡμεῖς νόμον ἔχομεν, καὶ κατὰ τὸν νόμον ἡμῶν
ὀφείλει ἀποθανεῖν, ὅτι ἑαυτὸν Υἱὸν τοῦ Θεοῦ ἐποίησεν. Ὅτε
οὖν ἤκουσεν ὁ Πιλᾶτος τοῦτον τὸν λόγον, μᾶλλον ἐφοβήθη·
καὶ εἰσῆλθεν εἰς τὸ πραιτώριον πάλιν, καὶ λέγει τῷ Ἰησοῦ,
Πόθεν εἶ σύ; Ὁ δὲ Ἰησοῦς ἀπόκρισιν οὐκ ἔδωκεν αὐτῷ.
Λέγει οὖν αὐτῷ ὁ Πιλᾶτος, Ἐμοὶ οὐ λαλεῖς; οὐκ οἶδας, ὅτι
ἐξουσίαν ἔχω σταυρῶσαί σε, καὶ ἐξουσίαν ἔχω ἀπολῦσαί σε;
Ἀπεκρίθη ὁ Ἰησοῦς, Οὐκ εἶχες ἐξουσίαν οὐδεμίαν κατ᾽ ἐμοῦ,
εἰ μὴ ἦν σοι δεδομένον ἄνωθεν· διὰ τοῦτο ὁ παραδιδούς μέ
σοι μείζονα ἁμαρτίαν ἔχει. Ἐκ τούτου ἐζήτει ὁ Πιλᾶτος
ἀπολῦσαι αὐτόν· οἱ δὲ Ἰουδαῖοι ἔκραζον, λέγοντες, Ἐὰν τοῦτον
ἀπολύσῃς, οὐκ εἶ φίλος τοῦ Καίσαρος· Πᾶς ὁ Βασιλέα ἑαυτὸν
ποιῶν, ἀντιλέγει τῷ Καίσαρι. Ὁ οὖν Πιλᾶτος ἀκούσας τοῦτον
τὸν λόγον, ἤγαγεν ἔξω τὸν Ἰησοῦν, καὶ ἐκάθισεν ἐπὶ τοῦ
βήματος, εἰς τόπον λεγόμενον Λιθόστρωτον, Ἑβραϊστὶ δὲ
Γαββαθᾶ. Ἦν δὲ παρασκευὴ τοῦ πάσχα, ὥρα δὲ ὡσεὶ ἕκτη·

καὶ λέγει τοῖς Ἰουδαίοις, Ἴδε ὁ Βασιλεὺς ὑμῶν. Οἱ δὲ ἐκραύγασαν, Ἆρον, ἆρον, σταύρωσον αὐτόν. Λέγει αὐτοῖς ὁ Πιλᾶτος, Τὸν Βασιλέα ὑμῶν σταυρώσω; Ἀπεκρίθησαν οἱ ἀρχιερεῖς, Οὐκ ἔχομεν Βασιλέα εἰ μὴ Καίσαρα. Τότε οὖν παρέδωκεν αὐτὸν αὐτοῖς, ἵνα σταυρωθῇ· παρέλαβον δὲ τὸν Ἰησοῦν καὶ ἀπήγαγον. Καὶ βαστάζων τὸν σταυρὸν αὐτοῦ, ἐξῆλθεν εἰς τὸν λεγόμενον κρανίου τόπον, ὃς λέγεται Ἑβραϊστί, Γολγοθᾶ ὅπου αὐτὸν ἐσταύρωσαν, καὶ μετ' αὐτοῦ ἄλλους δύο, ἐντεῦθεν καὶ ἐντεῦθεν, μέσον δὲ τὸν Ἰησοῦν. Ἔγραψε δὲ καὶ τίτλον ὁ Πιλᾶτος, καὶ ἔθηκεν ἐπὶ τοῦ σταυροῦ. Ἦν δὲ γεγραμμένον, ΙΗΣΟΥΣ Ο ΝΑΖΩΡΑΙΟΣ Ο ΒΑΣΙΛΕΥΣ ΤΩΝ ΙΟΥΔΑΙΩΝ. Τοῦτον οὖν τὸν τίτλον πολλοὶ ἀνέγνωσαν τῶν Ἰουδαίων· ὅτι ἐγγὺς ἦν τῆς πόλεως ὁ τόπος ὅπου ἐσταυρώθη ὁ Ἰησοῦς· καὶ ἦν γεγραμμένον Ἑβραϊστί, Ἑλληνιστί, Ῥωμαϊστί. Ἔλεγον οὖν τῷ Πιλάτῳ οἱ ἀρχιερεῖς τῶν Ἰουδαίων, Μὴ γράφε, Ὁ Βασιλεὺς τῶν Ἰουδαίων· ἀλλ' ὅτι ἐκεῖνος εἶπε, Βασιλεύς εἰμι τῶν Ἰουδαίων. Ἀπεκρίθη ὁ Πιλᾶτος, Ὃ γέγραφα, γέγραφα. Οἱ οὖν στρατιῶται, ὅτε ἐσταύρωσαν τὸν Ἰησοῦν, ἔλαβον τὰ ἱμάτια αὐτοῦ (καὶ ἐποίησαν τέσσαρα μέρη, ἑκάστῳ στρατιώτῃ μέρος) καὶ τὸν χιτῶνα· ἦν δὲ ὁ χιτὼν ἄρραφος, ἐκ τῶν ἄνωθεν ὑφαντὸς δι' ὅλου. Εἶπον οὖν πρὸς ἀλλήλους, Μὴ σχίσωμεν αὐτόν, ἀλλὰ λάχωμεν περὶ αὐτοῦ, τίνος ἔσται· ἵνα ἡ Γραφὴ πληρωθῇ ἡ λέγουσα, Διεμερίσαντο τὰ ἱμάτιά μου ἑαυτοῖς, καὶ ἐπὶ τὸν ἱματισμόν μου ἔβαλον κλῆρον. Οἱ μὲν οὖν στρατιῶται ταῦτα ἐποίησαν. Εἱστήκεισαν δὲ παρὰ τῷ σταυρῷ τοῦ Ἰησοῦ ἡ μήτηρ αὐτοῦ καὶ ἡ ἀδελφὴ τῆς μητρὸς αὐτοῦ, Μαρία, ἡ τοῦ Κλωπᾶ, καὶ Μαρία ἡ Μαγδαληνή. Ἰησοῦς οὖν ἰδὼν τὴν μητέρα, καὶ τὸν μαθητὴν παρεστῶτα ὃν ἠγάπα, λέγει τῇ μητρὶ αὐτοῦ, Γύναι, ἰδοὺ ὁ υἱός σου. Εἶτα λέγει τῷ μαθητῇ, Ἰδοὺ ἡ μήτηρ σου. Καὶ ἀπ' ἐκείνης τῆς ὥρας ἔλαβεν αὐτὴν ὁ μαθητὴς εἰς τὰ ἴδια. Μετὰ τοῦτο, εἰδὼς ὁ Ἰησοῦς ὅτι πάντα ἤδη τετέλεσται, ἵνα

τελειωθῇ ἡ Γραφή, λέγει, Διψῶ. Σκεῦος οὖν ἔκειτο ὄξους μεστόν· οἱ δὲ πλήσαντες σπόγγον ὄξους, καὶ ὑσσώπῳ περιθέντες, προσήνεγκαν αὐτοῦ τῷ στόματι. Ὅτε οὖν ἔλαβε τὸ ὄξος ὁ Ἰησοῦς, εἶπε, Τετέλεσται· καὶ κλίνας τὴν κεφαλὴν παρέδωκε τὸ πνεῦμα. Οἱ οὖν Ἰουδαῖοι, ἵνα μὴ μείνῃ ἐπὶ τοῦ σταυροῦ τὰ σώματα ἐν τῷ σαββάτῳ, ἐπεὶ παρασκευὴ ἦν (ἦν γὰρ μεγάλη ἡ ἡμέρα ἐκείνου τοῦ σαββάτου), ἠρώτησαν τὸν Πιλᾶτον, ἵνα κατεαγῶσιν αὐτῶν τὰ σκέλη, καὶ ἀρθῶσιν. Ἦλθον οὖν οἱ στρατιῶται, καὶ τοῦ μὲν πρώτου κατέαξαν τὰ σκέλη, καὶ τοῦ ἄλλου τοῦ συσταυρωθέντος αὐτῷ. Ἐπὶ δὲ τὸν Ἰησοῦν ἐλθόντες, ὡς εἶδον αὐτὸν ἤδη τεθνηκότα, οὐ κατέαξαν αὐτοῦ τὰ σκέλη. Ἀλλ' εἷς τῶν στρατιωτῶν λόγχῃ αὐτοῦ τὴν πλευρὰν ἔνυξε, καὶ εὐθὺς ἐξῆλθεν αἷμα καὶ ὕδωρ. Καὶ ὁ ἑωρακὼς μεμαρτύρηκε, καὶ ἀληθινὴ αὐτοῦ ἐστιν ἡ μαρτυρία· κἀκεῖνος οἶδεν ὅτι ἀληθῆ λέγει, ἵνα ὑμεῖς πιστεύσητε. Ἐγένετο γὰρ ταῦτα ἵνα ἡ Γραφὴ πληρωθῇ, Ὀστοῦν οὐ συντριβήσεται αὐτοῦ. Καὶ πάλιν, ἑτέρα Γραφὴ λέγει, Ὄψονται εἰς ὃν ἐξεκέντησαν.

ΤΟ ΜΕΓΑ ΣΑΒΒΑΤΟΝ.

Εὐχή.

ΧΑρισαι, Κύριε, *ἵνα καθὼς ἐβαπτίσθημεν εἰς τὸν θάνατον τοῦ εὐλογητοῦ σου* Υἱοῦ, *Σωτῆρος δὲ ἡμῶν* Ἰησοῦ Χριστοῦ, *οὕτω διὰ τῆς συνεχοῦς νεκρώσεως τῶν φθαρτῶν ἡμῶν παθῶν συνταφῶμεν αὐτῷ, καὶ διὰ τοῦ τάφου καὶ τῆς πύλης τοῦ θανάτου διέλθωμεν πρὸς τὴν χαρὰν τῆς ἀναστάσεως ἡμῶν, διὰ τὴν ἀξιομισθίαν τοῦ ὑπὲρ ἡμῶν ἀποθανόντος, καὶ ταφέντος, καὶ ἀναστάντος* Υἱοῦ *σου,* Κυρίου *δὲ ἡμῶν* Ἰησοῦ Χριστοῦ. *Ἀμήν.*

Ἐπιστολή.

ΚΡεῖττον *ἀγαθοποιοῦντας, εἰ θέλει τὸ θέλημα τοῦ* Θεοῦ, Α´ Πέτρ. Γ´ 17.
πάσχειν, ἢ κακοποιοῦντας. Ὅτι καὶ Χριστὸς *ἅπαξ περὶ ἁμαρτιῶν ἔπαθε, δίκαιος ὑπὲρ ἀδίκων (ἵνα ἡμᾶς προσαγάγῃ*

τῷ Θεῷ), θανατωθεὶς μὲν σαρκί, ζωοποιηθεὶς δὲ τῷ Πνεύματι· Ἐν ᾧ καὶ τοῖς ἐν φυλακῇ πνεύμασι πορευθεὶς ἐκήρυξεν, ἀπειθήσασί ποτε, ὅτε ἅπαξ ἐξεδέχετο ἡ τοῦ Θεοῦ μακροθυμία ἐν ἡμέραις Νῶε, κατασκευαζομένης κιβωτοῦ· εἰς ἣν ὀλίγαι, τουτέστιν ὀκτὼ ψυχαί, διεσώθησαν δι' ὕδατος. Ὧι καὶ ἡμᾶς ἀντίτυπον νῦν σώζει βάπτισμα (οὐ σαρκὸς ἀπόθεσις ῥύπου, ἀλλὰ συνειδήσεως ἀγαθῆς ἐπερώτημα εἰς Θεόν), δι' ἀναστάσεως Ἰησοῦ Χριστοῦ· Ὅς ἐστιν ἐν δεξιᾷ τοῦ Θεοῦ, πορευθεὶς εἰς οὐρανόν, ὑποταγέντων αὐτῷ ἀγγέλων καὶ ἐξουσιῶν καὶ δυνάμεων.

Εὐαγγέλιον.

Ματθ. ΚΖ΄ 57. *Ὀψίας γενομένης, ἦλθεν ἄνθρωπος πλούσιος ἀπὸ Ἀριμαθαίας, τοὔνομα Ἰωσήφ, ὃς καὶ αὐτὸς ἐμαθήτευσε τῷ Ἰησοῦ. Οὗτος προσελθὼν τῷ Πιλάτῳ ᾐτήσατο τὸ σῶμα τοῦ Ἰησοῦ. Τότε ὁ Πιλᾶτος ἐκέλευσεν ἀποδοθῆναι τὸ σῶμα. Καὶ λαβὼν τὸ σῶμα ὁ Ἰωσὴφ ἐνετύλιξεν αὐτὸ σινδόνι καθαρᾷ, καὶ ἔθηκεν αὐτὸ ἐν τῷ καινῷ αὐτοῦ μνημείῳ, ὃ ἐλατόμησεν ἐν τῇ πέτρᾳ· καὶ προσκυλίσας λίθον μέγαν τῇ θύρᾳ τοῦ μνημείου ἀπῆλθεν. Ἦν δὲ ἐκεῖ Μαρία ἡ Μαγδαληνή, καὶ ἡ ἄλλη Μαρία, καθήμεναι ἀπέναντι τοῦ τάφου. Τῇ δὲ ἐπαύριον ἥτις ἐστὶ μετὰ τὴν παρασκευήν, συνήχθησαν οἱ ἀρχιερεῖς καὶ οἱ Φαρισαῖοι πρὸς Πιλᾶτον, λέγοντες, Κύριε, ἐμνήσθημεν ὅτι ἐκεῖνος ὁ πλάνος εἶπεν, ἔτι ζῶν, Μετὰ τρεῖς ἡμέρας ἐγείρομαι. Κέλευσον οὖν ἀσφαλισθῆναι τὸν τάφον ἕως τῆς τρίτης ἡμέρας, μήποτε ἐλθόντες οἱ μαθηταὶ αὐτοῦ νυκτὸς κλέψωσιν αὐτόν, καὶ εἴπωσι τῷ λαῷ, Ἠγέρθη ἀπὸ τῶν νεκρῶν· καὶ ἔσται ἡ ἐσχάτη πλάνη χείρων τῆς πρώτης. Ἔφη δὲ αὐτοῖς ὁ Πιλᾶτος, Ἔχετε κουστωδίαν, ὑπάγετε, ἀσφαλίσασθε ὡς οἴδατε. Οἱ δὲ πορευθέντες ἠσφαλίσαντο τὸν τάφον, σφραγίσαντες τὸν λίθον μετὰ τῆς κουστωδίας.*

Η ΚΥΡΙΑΚΗ ΤΟΥ ΠΑΣΧΑ

¶ Κατὰ τὴν Πρωινὴν Ἀκολουθίαν, ἀντὶ τοῦ Ψαλμοῦ, Δεῦτε ἀγαλλιασώμεθα, κτλ., ψάλλονται ἢ ἀναγινώσκονται ταῦτα τὰ Ἀντίφωνα.

ΤΟ πάσχα ἡμῶν ὑπὲρ ἡμῶν ἐτύθη Χριστός : ὥστε ἑορτά- Α΄ Κορ.
ζωμεν. Μὴ ἐν ζύμῃ παλαιᾷ μηδὲ ἐν ζύμῃ κακίας καὶ Ε΄ 7.
πονηρίας : ἀλλ᾽ ἐν ἀζύμοις εἰλικρινείας καὶ ἀληθείας.

ΧΡιστὸς ἐγερθεὶς ἐκ νεκρῶν οὐκέτι ἀποθνήσκει : θάνατος Ῥωμ. Ϛ΄
αὐτοῦ οὐκέτι κυριεύει. Ὃ γὰρ ἀπέθανε, τῇ ἁμαρτίᾳ 9.
ἀπέθανεν ἐφάπαξ : ὃ δὲ ζῇ, ζῇ τῷ Θεῷ. Οὕτω καὶ ὑμεῖς λογίζεσθε ἑαυτοὺς εἶναι νεκροὺς μὲν τῇ ἁμαρτίᾳ : ζῶντας δὲ τῷ Θεῷ ἐν Χριστῷ Ἰησοῦ τῷ Κυρίῳ ἡμῶν.

ΧΡιστὸς ἐγήγερται ἐκ νεκρῶν : ἀπαρχὴ τῶν κεκοιμημένων Α΄ Κορ.
ἐγένετο. Ἐπειδὴ γὰρ δι᾽ ἀνθρώπου ὁ θάνατος : καὶ δι᾽ ΙΕ΄ 20.
ἀνθρώπου ἀνάστασις νεκρῶν. Ὥσπερ γὰρ ἐν τῷ Ἀδὰμ πάντες ἀποθνήσκουσιν : οὕτω καὶ ἐν τῷ Χριστῷ πάντες ζωοποιηθήσονται.

Δόξα τῷ Πατρί, καὶ τῷ Υἱῷ : καὶ τῷ ἁγίῳ Πνεύματι.

Ἀπόκρισις.

Ὥσπερ ἐν ἀρχῇ, καὶ νῦν καὶ ἀεί : εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

Εὐχή.

Ὁ Θεὸς ὁ Παντοκράτωρ, ὁ διὰ τοῦ μονογενοῦς σου Υἱοῦ Ἰησοῦ Χριστοῦ νικήσας τὸν θάνατον, καὶ ἀνοίξας ἡμῖν τὴν εἴσοδον τῆς αἰωνίου ζωῆς· Ταπεινῶς δεόμεθά σου, ἵνα, καθὼς διὰ τῆς σῆς προηγουμένης χάριτος ἀγαθὰς ἡμῖν ἐμπνέεις ὀρέξεις, οὕτω καὶ ἡμεῖς διὰ τῆς διηνεκοῦς σου βοηθείας ἀποτελέσωμεν αὐτάς, διὰ Ἰησοῦ Χριστοῦ τοῦ Κυρίου ἡμῶν, τοῦ σὺν Σοὶ καὶ τῷ ἁγίῳ Πνεύματι συζῶντος καὶ συμβασιλεύοντος, ἑνὸς ἀεὶ Θεοῦ, εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

Η ΚΥΡΙΑΚΗ ΤΟΥ ΠΑΣΧΑ

Ἀπόστολος.

Κολ. Γ΄ 1. ΕΙ οὖν συνηγέρθητε τῷ Χριστῷ, τὰ ἄνω ζητεῖτε, οὗ ὁ Χριστός ἐστιν ἐν δεξιᾷ τοῦ Θεοῦ καθήμενος. Τὰ ἄνω φρονεῖτε, μὴ τὰ ἐπὶ τῆς γῆς· Ἀπεθάνετε γάρ, καὶ ἡ ζωὴ ὑμῶν κέκρυπται σὺν τῷ Χριστῷ ἐν τῷ Θεῷ. Ὅταν ὁ Χριστὸς φανερωθῇ, ἡ ζωὴ ἡμῶν, τότε καὶ ὑμεῖς σὺν αὐτῷ φανερωθήσεσθε ἐν δόξῃ. Νεκρώσατε οὖν τὰ μέλη ὑμῶν τὰ ἐπὶ τῆς γῆς· πορνείαν, ἀκαθαρσίαν, πάθος, ἐπιθυμίαν κακήν, καὶ τὴν πλεονεξίαν, ἥτις ἐστὶν εἰδωλολατρεία· Δι᾽ ἃ ἔρχεται ἡ ὀργὴ τοῦ Θεοῦ ἐπὶ τοὺς υἱοὺς τῆς ἀπειθείας. Ἐν οἷς καὶ ὑμεῖς περιεπατήσατέ ποτε, ὅτε ἐζῆτε ἐν αὐτοῖς.

Εὐαγγέλιον.

Ἰωάν. Κ΄ 1. ΤΗι μιᾷ τῶν σαββάτων Μαρία ἡ Μαγδαληνὴ ἔρχεται πρωΐ, σκοτίας ἔτι οὔσης, εἰς τὸ μνημεῖον, καὶ βλέπει τὸν λίθον ἠρμένον ἐκ τοῦ μνημείου. Τρέχει οὖν καὶ ἔρχεται πρὸς Σίμωνα Πέτρον, καὶ πρὸς τὸν ἄλλον μαθητὴν ὃν ἐφίλει ὁ Ἰησοῦς, καὶ λέγει αὐτοῖς, Ἦραν τὸν Κύριον ἐκ τοῦ μνημείου, καὶ οὐκ οἴδαμεν ποῦ ἔθηκαν αὐτόν. Ἐξῆλθεν οὖν ὁ Πέτρος, καὶ ὁ ἄλλος μαθητής, καὶ ἤρχοντο εἰς τὸ μνημεῖον. Ἔτρεχον δὲ οἱ δύο ὁμοῦ, καὶ ὁ ἄλλος μαθητὴς προέδραμε τάχιον τοῦ Πέτρου, καὶ ἦλθε πρῶτος εἰς τὸ μνημεῖον· καὶ παρακύψας βλέπει κείμενα τὰ ὀθόνια, οὐ μέντοι εἰσῆλθεν. Ἔρχεται οὖν Σίμων Πέτρος ἀκολουθῶν αὐτῷ, καὶ εἰσῆλθεν εἰς τὸ μνημεῖον, καὶ θεωρεῖ τὰ ὀθόνια κείμενα· καὶ τὸ σουδάριον ὃ ἦν ἐπὶ τῆς κεφαλῆς αὐτοῦ, οὐ μετὰ τῶν ὀθονίων κείμενον, ἀλλὰ χωρὶς ἐντετυλιγμένον εἰς ἕνα τόπον. Τότε οὖν εἰσῆλθε καὶ ὁ ἄλλος μαθητὴς ὁ ἐλθὼν πρῶτος εἰς τὸ μνημεῖον, καὶ εἶδε καὶ ἐπίστευσεν. Οὐδέπω γὰρ ᾔδεισαν τὴν Γραφήν, ὅτι δεῖ αὐτὸν ἐκ νεκρῶν ἀναστῆναι. Ἀπῆλθον οὖν πάλιν πρὸς ἑαυτοὺς οἱ μαθηταί.

Η ΔΕΥΤΕΡΑ ΤΗΣ ΔΙΑΚΑΙΝΗΣΙΜΟΥ ΕΒΔΟΜΑΔΟΣ.

Εὐχή.

῾Ο Θεὸς ὁ Παντοκράτωρ, ὁ διὰ τοῦ μονογενοῦς σου Υἱοῦ Ἰησοῦ Χριστοῦ νικήσας τὸν θάνατον, καὶ ἀνοίξας ἡμῖν τὴν εἴσοδον τῆς αἰωνίου ζωῆς· Ταπεινῶς δεόμεθά σου, ἵνα, καθὼς διὰ τῆς σῆς προηγουμένης χάριτος ἀγαθὰς ἡμῖν ἐμπνέεις ὀρέξεις, οὕτω καὶ ἡμεῖς διὰ τῆς διηνεκοῦς σου βοηθείας ἀποτελέσωμεν αὐτάς, διὰ Ἰησοῦ Χριστοῦ τοῦ Κυρίου ἡμῶν, τοῦ σὺν Σοὶ καὶ τῷ ἁγίῳ Πνεύματι συζῶντος καὶ συμβασιλεύοντος, ἑνὸς ἀεὶ Θεοῦ, εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

Ἀντὶ τοῦ Ἀποστόλου.

Ἀνοίξας Πέτρος τὸ στόμα εἶπεν, Ἐπ' ἀληθείας κατα- Πράξ. Ι' 34.
λαμβάνομαι ὅτι οὐκ ἔστι προσωπολήπτης ὁ Θεός· ἀλλ' ἐν παντὶ ἔθνει ὁ φοβούμενος αὐτόν, καὶ ἐργαζόμενος δικαιοσύνην, δεκτὸς αὐτῷ ἐστι. Τὸν λόγον ὃν ἀπέστειλε τοῖς υἱοῖς Ἰσραήλ, εὐαγγελιζόμενος εἰρήνην διὰ Ἰησοῦ Χριστοῦ (οὗτός ἐστι πάντων Κύριος), ὑμεῖς οἴδατε τὸ γενόμενον ῥῆμα καθ' ὅλης τῆς Ἰουδαίας, ἀρξάμενον ἀπὸ τῆς Γαλιλαίας, μετὰ τὸ βάπτισμα ὃ ἐκήρυξεν Ἰωάννης· Ἰησοῦν τὸν ἀπὸ Ναζαρέτ, ὡς ἔχρισεν αὐτὸν ὁ Θεὸς Πνεύματι ἁγίῳ, καὶ δυνάμει, ὃς διῆλθεν εὐεργετῶν, καὶ ἰώμενος πάντας τοὺς καταδυναστευομένους ὑπὸ τοῦ διαβόλου· ὅτι ὁ Θεὸς ἦν μετ' αὐτοῦ. Καὶ ἡμεῖς ἐσμεν μάρτυρες πάντων ὧν ἐποίησεν, ἔν τε τῇ χώρᾳ τῶν Ἰουδαίων, καὶ ἐν Ἱερουσαλήμ, ὃν ἀνεῖλον, κρεμάσαντες ἐπὶ ξύλου· Τοῦτον ὁ Θεὸς ἤγειρε τῇ τρίτῃ ἡμέρᾳ, καὶ ἔδωκεν αὐτὸν ἐμφανῆ γενέσθαι· οὐ παντὶ τῷ λαῷ, ἀλλὰ μάρτυσι τοῖς προκεχειροτονημένοις ὑπὸ τοῦ Θεοῦ, ἡμῖν, οἵτινες συνεφάγομεν καὶ συνεπίομεν αὐτῷ μετὰ τὸ ἀναστῆναι αὐτὸν ἐκ νεκρῶν. Καὶ παρήγγειλεν ἡμῖν κηρύξαι

τῷ λαῷ, καὶ διαμαρτύρασθαι ὅτι αὐτός ἐστιν ὁ ὡρισμένος ὑπὸ τοῦ Θεοῦ, κριτὴς ζώντων καὶ νεκρῶν. Τούτῳ πάντες οἱ προφῆται μαρτυροῦσιν, ἄφεσιν ἁμαρτιῶν λαβεῖν διὰ τοῦ Ὀνόματος αὐτοῦ πάντα τὸν πιστεύοντα εἰς αὐτόν.

Εὐαγγέλιον.

Λουκ. ΚΔ΄ 13. Ἰδοὺ δύο ἐκ τῶν μαθητῶν αὐτοῦ ἦσαν πορευόμενοι ἐν αὐτῇ τῇ ἡμέρᾳ εἰς κώμην, ἀπέχουσαν σταδίους ἑξήκοντα ἀπὸ Ἱερουσαλήμ, ᾗ ὄνομα Ἐμμαούς. Καὶ αὐτοὶ ὡμίλουν πρὸς ἀλλήλους περὶ πάντων τῶν συμβεβηκότων τούτων. Καὶ ἐγένετο, ἐν τῷ ὁμιλεῖν αὐτούς, καὶ συζητεῖν, καὶ αὐτὸς ὁ Ἰησοῦς ἐγγίσας συνεπορεύετο αὐτοῖς. Οἱ δὲ ὀφθαλμοὶ αὐτῶν ἐκρατοῦντο, τοῦ μὴ ἐπιγνῶναι αὐτόν. Εἶπε δὲ πρὸς αὐτούς, Τίνες οἱ λόγοι οὗτοι οὓς ἀντιβάλλετε πρὸς ἀλλήλους περιπατοῦντες, καί ἐστε σκυθρωποί; Ἀποκριθεὶς δὲ ὁ εἷς, ᾧ ὄνομα Κλεόπας, εἶπε πρὸς αὐτόν, Σὺ μόνος παροικεῖς ἐν Ἱερουσαλήμ, καὶ οὐκ ἔγνως τὰ γενόμενα ἐν αὐτῇ ἐν ταῖς ἡμέραις ταύταις; Καὶ εἶπεν αὐτοῖς, Ποῖα; Οἱ δὲ εἶπον αὐτῷ, Τὰ περὶ Ἰησοῦ τοῦ Ναζωραίου, ὃς ἐγένετο ἀνὴρ προφήτης δυνατὸς ἐν ἔργῳ καὶ λόγῳ, ἐναντίον τοῦ Θεοῦ καὶ παντὸς τοῦ λαοῦ· Ὅπως τε παρέδωκαν αὐτὸν οἱ ἀρχιερεῖς, καὶ οἱ ἄρχοντες ἡμῶν εἰς κρίμα θανάτου, καὶ ἐσταύρωσαν αὐτόν. Ἡμεῖς δὲ ἠλπίζομεν ὅτι αὐτός ἐστιν ὁ μέλλων λυτροῦσθαι τὸν Ἰσραήλ· ἀλλά γε σὺν πᾶσι τούτοις, τρίτην ταύτην ἡμέραν ἄγει σήμερον ἀφ᾽ οὗ ταῦτα ἐγένετο. Ἀλλὰ καὶ γυναῖκές τινες ἐξ ἡμῶν ἐξέστησαν ἡμᾶς, γενόμεναι ὄρθριαι ἐπὶ τὸ μνημεῖον· καὶ μὴ εὑροῦσαι τὸ σῶμα αὐτοῦ, ἦλθον, λέγουσαι καὶ ὀπτασίαν ἀγγέλων ἑωρακέναι, οἳ λέγουσιν αὐτὸν ζῆν. Καὶ ἀπῆλθόν τινες τῶν σὺν ἡμῖν ἐπὶ τὸ μνημεῖον, καὶ εὗρον οὕτω καθὼς καὶ αἱ γυναῖκες εἶπον· αὐτὸν δὲ οὐκ εἶδον. Καὶ αὐτὸς εἶπε πρὸς αὐτούς, Ὦ ἀνόητοι, καὶ βραδεῖς τῇ καρδίᾳ τοῦ πιστεύειν ἐπὶ πᾶσιν οἷς

ἐλάλησαν οἱ προφῆται· οὐχὶ ταῦτα ἔδει παθεῖν τὸν Χριστόν, καὶ εἰσελθεῖν εἰς τὴν δόξαν αὐτοῦ; Καὶ ἀρξάμενος ἀπὸ Μωσέως, καὶ ἀπὸ πάντων τῶν προφητῶν, διηρμήνευεν αὐτοῖς ἐν πάσαις ταῖς Γραφαῖς τὰ περὶ ἑαυτοῦ. Καὶ ἤγγισαν εἰς τὴν κώμην, οὗ ἐπορεύοντο· καὶ αὐτὸς προσεποιεῖτο πορρωτέρω πορεύεσθαι. Καὶ παρεβιάσαντο αὐτόν, λέγοντες, Μεῖνον μεθ' ἡμῶν, ὅτι πρὸς ἑσπέραν ἐστί, καὶ κέκλικεν ἡ ἡμέρα· καὶ εἰσῆλθε τοῦ μεῖναι σὺν αὐτοῖς. Καὶ ἐγένετο, ἐν τῷ κατακλιθῆναι αὐτὸν μετ' αὐτῶν, λαβὼν τὸν ἄρτον εὐλόγησε, καὶ κλάσας ἐπεδίδου αὐτοῖς. Αὐτῶν δὲ διηνοίχθησαν οἱ ὀφθαλμοί, καὶ ἐπέγνωσαν αὐτόν, καὶ αὐτὸς ἄφαντος ἐγένετο ἀπ' αὐτῶν. Καὶ εἶπον πρὸς ἀλλήλους, Οὐχὶ ἡ καρδία ἡμῶν καιομένη ἦν ἐν ἡμῖν, ὡς ἐλάλει ἡμῖν ἐν τῇ ὁδῷ, καὶ ὡς διήνοιγεν ἡμῖν τὰς Γραφάς; Καὶ ἀναστάντες αὐτῇ τῇ ὥρᾳ, ὑπέστρεψαν εἰς Ἱερουσαλήμ, καὶ εὗρον συνηθροισμένους τοὺς ἕνδεκα, καὶ τοὺς σὺν αὐτοῖς, λέγοντας, ὅτι Ἠγέρθη ὁ Κύριος ὄντως, καὶ ὤφθη Σίμωνι. Καὶ αὐτοὶ ἐξηγοῦντο τὰ ἐν τῇ ὁδῷ, καὶ ὡς ἐγνώσθη αὐτοῖς ἐν τῇ κλάσει τοῦ ἄρτου.

Η ΤΡΙΤΗ ΤΗΣ ΔΙΑΚΑΙΝΗΣΙΜΟΥ ΕΒΔΟΜΑΔΟΣ.

Εὐχή.

Ὁ Θεὸς ὁ Παντοκράτωρ, ὁ διὰ τοῦ μονογενοῦς σου Υἱοῦ Ἰησοῦ Χριστοῦ νικήσας τὸν θάνατον, καὶ ἀνοίξας ἡμῖν τὴν εἴσοδον τῆς αἰωνίου ζωῆς· Ταπεινῶς δεόμεθά σου, ἵνα, καθὼς διὰ τῆς σῆς προηγουμένης χάριτος ἀγαθὰς ἡμῖν ἐμπνέεις ὀρέξεις, οὕτω καὶ ἡμεῖς διὰ τῆς διηνεκοῦς σου βοηθείας ἀποτελέσωμεν αὐτάς, διὰ Ἰησοῦ Χριστοῦ τοῦ Κυρίου ἡμῶν, τοῦ σὺν Σοὶ καὶ τῷ ἁγίῳ Πνεύματι συζῶντος καὶ συμβασιλεύοντος, ἑνὸς ἀεὶ Θεοῦ, εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

Η ΤΡΙΤΗ ΤΗΣ ΔΙΑΚΑΙΝΗΣΙΜΟΥ ΕΒΔΟΜΑΔΟΣ

Ἀντὶ τοῦ Ἀποστόλου.

Πράξ. ΙΓ΄ Ἄνδρες ἀδελφοί, υἱοὶ γένους Ἀβραάμ, καὶ οἱ ἐν ὑμῖν
26. φοβούμενοι τὸν Θεόν, ὑμῖν ὁ λόγος τῆς σωτηρίας ταύτης ἀπεστάλη. Οἱ γὰρ κατοικοῦντες ἐν Ἱερουσαλήμ, καὶ οἱ ἄρχοντες αὐτῶν, τοῦτον ἀγνοήσαντες, καὶ τὰς φωνὰς τῶν προφητῶν τὰς κατὰ πᾶν σάββατον ἀναγινωσκομένας, κρίναντες ἐπλήρωσαν. Καὶ μηδεμίαν αἰτίαν θανάτου εὑρόντες, ᾐτήσαντο Πιλᾶτον ἀναιρεθῆναι αὐτόν. Ὡς δὲ ἐτέλεσαν ἅπαντα τὰ περὶ αὐτοῦ γεγραμμένα, καθελόντες ἀπὸ τοῦ ξύλου, ἔθηκαν εἰς μνημεῖον. Ὁ δὲ Θεὸς ἤγειρεν αὐτὸν ἐκ νεκρῶν· Ὃς ὤφθη ἐπὶ ἡμέρας πλείους τοῖς συναναβᾶσιν αὐτῷ ἀπὸ τῆς Γαλιλαίας εἰς Ἱερουσαλήμ, οἵτινές εἰσι μάρτυρες αὐτοῦ πρὸς τὸν λαόν. Καὶ ἡμεῖς ὑμᾶς εὐαγγελιζόμεθα τὴν πρὸς τοὺς πατέρας ἐπαγγελίαν γενομένην, ὅτι ταύτην ὁ Θεὸς ἐκπεπλήρωκε τοῖς τέκνοις αὐτῶν ἡμῖν, ἀναστήσας Ἰησοῦν, ὡς καὶ ἐν τῷ ψαλμῷ τῷ δευτέρῳ γέγραπται, Υἱός μου εἶ σύ, ἐγὼ σήμερον γεγέννηκά σε. Ὅτι δὲ ἀνέστησεν αὐτὸν ἐκ νεκρῶν, μηκέτι μέλλοντα ὑποστρέφειν εἰς διαφθοράν, οὕτως εἴρηκεν, ὅτι Δώσω ὑμῖν τὰ ὅσια Δαβὶδ τὰ πιστά. Διὸ καὶ ἐν ἑτέρῳ λέγει, Οὐ δώσεις τὸν ὅσιόν σου ἰδεῖν διαφθοράν. Δαβὶδ μὲν γὰρ ἰδίᾳ γενεᾷ ὑπηρετήσας, τῇ τοῦ Θεοῦ βουλῇ, ἐκοιμήθη, καὶ προσετέθη πρὸς τοὺς πατέρας αὐτοῦ, καὶ εἶδε διαφθοράν. Ὃν δὲ ὁ Θεὸς ἤγειρεν, οὐκ εἶδε διαφθοράν. Γνωστὸν οὖν ἔστω ὑμῖν, ἄνδρες ἀδελφοί, ὅτι διὰ τούτου ὑμῖν ἄφεσις ἁμαρτιῶν καταγγέλλεται· Καὶ ἀπὸ πάντων, ὧν οὐκ ἠδυνήθητε ἐν τῷ νόμῳ Μωσέως δικαιωθῆναι, ἐν τούτῳ πᾶς ὁ πιστεύων δικαιοῦται. Βλέπετε οὖν, μὴ ἐπέλθῃ ἐφ᾽ ὑμᾶς τὸ εἰρημένον ἐν τοῖς προφήταις· Ἴδετε, οἱ καταφρονηταί, καὶ θαυμάσατε, καὶ ἀφανίσθητε· ὅτι ἔργον ἐγὼ ἐργάζομαι ἐν ταῖς ἡμέραις ὑμῶν, ἔργον ᾧ οὐ μὴ πιστεύσητε, ἐάν τις ἐκδιηγῆται ὑμῖν.

ΚΥΡΙΑΚΗ ΠΡΩΤΗ ΜΕΤΑ ΤΟ ΠΑΣΧΑ

Εὐαγγέλιον.

ΑΥτὸς ὁ Ἰησοῦς ἔστη ἐν μέσῳ αὐτῶν, καὶ λέγει αὐτοῖς, Λουκ.
Εἰρήνη ὑμῖν. Πτοηθέντες δὲ καὶ ἔμφοβοι γένομενοι, ΚΔ΄ 36.
ἐδόκουν πνεῦμα θεωρεῖν. Καὶ εἶπεν αὐτοῖς, Τί τεταραγμένοι ἐστέ, καὶ διατί διαλογισμοὶ ἀναβαίνουσιν ἐν ταῖς καρδίαις ὑμῶν; Ἴδετε τὰς χεῖράς μου καὶ τοὺς πόδας μου, ὅτι αὐτὸς ἐγώ εἰμι· ψηλαφήσατέ με καὶ ἴδετε· ὅτι πνεῦμα σάρκα καὶ ὀστέα οὐκ ἔχει, καθὼς ἐμὲ θεωρεῖτε ἔχοντα. Καὶ τοῦτο εἰπὼν ἐπέδειξεν αὐτοῖς τὰς χεῖρας καὶ τοὺς πόδας. Ἔτι δὲ ἀπιστούντων αὐτῶν ἀπὸ τῆς χαρᾶς, καὶ θαυμαζόντων, εἶπεν αὐτοῖς, Ἔχετέ τι βρώσιμον ἐνθάδε; Οἱ δὲ ἐπέδωκαν αὐτῷ ἰχθύος ὀπτοῦ μέρος, καὶ ἀπὸ μελισσίου κηρίου. Καὶ λαβών, ἐνώπιον αὐτῶν ἔφαγεν. Εἶπε δὲ αὐτοῖς, Οὗτοι οἱ λόγοι οὓς ἐλάλησα πρὸς ὑμᾶς, ἔτι ὢν σὺν ὑμῖν, ὅτι δεῖ πληρωθῆναι πάντα τὰ γεγραμμένα ἐν τῷ νόμῳ Μωσέως καὶ προφήταις καὶ ψαλμοῖς περὶ ἐμοῦ. Τότε διήνοιξεν αὐτῶν τὸν νοῦν, τοῦ συνιέναι τὰς Γραφάς, καὶ εἶπεν αὐτοῖς ὅτι Οὕτω γέγραπται, καὶ οὕτως ἔδει παθεῖν τὸν Χριστόν, καὶ ἀναστῆναι ἐκ νεκρῶν τῇ τρίτῃ ἡμέρᾳ· καὶ κηρυχθῆναι ἐπὶ τῷ Ὀνόματι αὐτοῦ μετάνοιαν καὶ ἄφεσιν ἁμαρτιῶν εἰς πάντα τὰ ἔθνη, ἀρξάμενοι ἀπὸ Ἱερουσαλήμ. Καὶ ὑμεῖς μάρτυρες τούτων.

ΚΥΡΙΑΚΗ ΠΡΩΤΗ ΜΕΤΑ ΤΟ ΠΑΣΧΑ.

Εὐχή.

ΠΑτερ Παντοκράτορ, ὁ παραδοὺς τὸν μονογενῆ σου Υἱὸν διὰ τὰ παραπτώματα ἡμῶν ἀποθανεῖν, καὶ διὰ τὴν δικαίωσιν ἡμῶν ἀναστῆναι· Αὐτὸς δὸς ἡμῖν οὕτω τὴν ζύμην ἀφανίσαι τῆς κακίας καὶ πονηρίας, ὥστε δουλεύειν σοι διαπαντὸς ἐν εἰλικρινείᾳ τοῦ βίου καὶ ἀληθείᾳ, διὰ τὴν ἀξιομισθίαν τοῦ αὐτοῦ τοῦ Υἱοῦ σου, Κυρίου δὲ ἡμῶν, Ἰησοῦ Χριστοῦ. Ἀμήν.

ΚΥΡΙΑΚΗ ΠΡΩΤΗ ΜΕΤΑ ΤΟ ΠΑΣΧΑ

Ἐπιστολή.

Α΄ Ἰωάν. Ε΄ 4.

ΠΑν τὸ γεγεννημένον ἐκ τοῦ Θεοῦ νικᾷ τὸν κόσμον· καὶ αὕτη ἐστὶν ἡ νίκη ἡ νικήσασα τὸν κόσμον, ἡ πίστις ἡμῶν. Τίς ἐστιν ὁ νικῶν τὸν κόσμον, εἰ μὴ ὁ πιστεύων ὅτι Ἰησοῦς ἐστιν ὁ υἱὸς τοῦ Θεοῦ; Οὗτός ἐστιν ὁ ἐλθὼν δι' ὕδατος καὶ αἵματος, Ἰησοῦς ὁ Χριστός· οὐκ ἐν τῷ ὕδατι μόνον, ἀλλ' ἐν τῷ ὕδατι καὶ τῷ αἵματι· καὶ τὸ Πνεῦμά ἐστι τὸ μαρτυροῦν, ὅτι τὸ Πνεῦμά ἐστιν ἡ ἀλήθεια. Ὅτι τρεῖς εἰσιν οἱ μαρτυροῦντες ἐν τῷ οὐρανῷ, ὁ Πατήρ, ὁ Λόγος, καὶ τὸ ἅγιον Πνεῦμα· καὶ οὗτοι οἱ τρεῖς ἕν εἰσι. Καὶ τρεῖς εἰσιν οἱ μαρτυροῦντες ἐν τῇ γῇ, τὸ πνεῦμα, καὶ τὸ ὕδωρ, καὶ τὸ αἷμα· καὶ οἱ τρεῖς εἰς τὸ ἕν εἰσιν. Εἰ τὴν μαρτυρίαν τῶν ἀνθρώπων λαμβάνομεν, ἡ μαρτυρία τοῦ Θεοῦ μείζων ἐστίν· ὅτι αὕτη ἐστὶν ἡ μαρτυρία τοῦ Θεοῦ, ἣν μεμαρτύρηκε περὶ τοῦ Υἱοῦ αὐτοῦ. Ὁ πιστεύων εἰς τὸν Υἱὸν τοῦ Θεοῦ, ἔχει τὴν μαρτυρίαν ἐν ἑαυτῷ· ὁ μὴ πιστεύων τῷ Θεῷ, ψεύστην πεποίηκεν αὐτόν, ὅτι οὐ πεπίστευκεν εἰς τὴν μαρτυρίαν ἣν μεμαρτύρηκεν ὁ Θεὸς περὶ τοῦ Υἱοῦ αὐτοῦ. Καὶ αὕτη ἐστὶν ἡ μαρτυρία, ὅτι ζωὴν αἰώνιον ἔδωκεν ἡμῖν ὁ Θεός· καὶ αὕτη ἡ ζωὴ ἐν τῷ Υἱῷ αὐτοῦ ἐστιν. Ὁ ἔχων τὸν Υἱὸν ἔχει τὴν ζωήν· ὁ μὴ ἔχων τὸν Υἱὸν τὴν ζωὴν οὐκ ἔχει.

Εὐαγγέλιον.

Ἰωάν. Κ΄ 19.

ΟΥσης οὖν ὀψίας τῇ ἡμέρᾳ ἐκείνῃ, τῇ μιᾷ τῶν σαββάτων, καὶ τῶν θυρῶν κεκλεισμένων, ὅπου ἦσαν οἱ μαθηταὶ συνηγμένοι διὰ τὸν φόβον τῶν Ἰουδαίων, ἦλθεν ὁ Ἰησοῦς καὶ ἔστη εἰς τὸ μέσον, καὶ λέγει αὐτοῖς, Εἰρήνη ὑμῖν. Καὶ τοῦτο εἰπών, ἔδειξεν αὐτοῖς τὰς χεῖρας καὶ τὴν πλευρὰν αὐτοῦ. Ἐχάρησαν οὖν οἱ μαθηταὶ ἰδόντες τὸν Κύριον. Εἶπεν οὖν αὐτοῖς ὁ Ἰησοῦς πάλιν, Εἰρήνη ὑμῖν· Καθὼς ἀπέσταλκέ με ὁ πατήρ, κἀγὼ πέμπω ὑμᾶς. Καὶ τοῦτο εἰπών, ἐνεφύσησε καὶ λέγει αὐτοῖς, Λάβετε Πνεῦμα

ἅγιον. Ἄν τινων ἀφῆτε τὰς ἁμαρτίας, ἀφίενται αὐτοῖς· ἄν τινων κρατῆτε, κεκράτηνται.

ΚΥΡΙΑΚΗ ΔΕΥΤΕΡΑ ΜΕΤΑ ΤΟ ΠΑΣΧΑ.

Εὐχή.

Ὁ Θεὸς ὁ Παντοκράτωρ, ὁ δεδωκὼς τὸν μονογενῆ σου Υἱὸν θυσίαν ἡμῖν γενέσθαι ὑπὲρ τῆς ἁμαρτίας καὶ ὑπογραμμὸν πρὸς τὴν εὐσέβειαν· Αὐτὸς χάρισαι ἡμῖν ἐκείνην πάντοτε τὴν ἀνεκτίμητον αὐτοῦ εὐεργεσίαν μετὰ πάσης παραδέξασθαι εὐγνωμοσύνης, καὶ καθ᾽ ἑκάστην ἡμέραν φιλοτιμεῖσθαι τοῖς τοῦ παναγίου αὐτοῦ βίου εὐλογητοῖς ἐπακολουθεῖν ἴχνεσι, διὰ τοῦ αὐτοῦ Ἰησοῦ Χριστοῦ τοῦ Κυρίου ἡμῶν. Ἀμήν.

Ἐπιστολή.

Τοῦτο χάρις, εἰ διὰ συνείδησιν Θεοῦ ὑποφέρει τις λύπας, πάσχων ἀδίκως. Ποῖον γὰρ κλέος, εἰ ἁμαρτάνοντες καὶ κολαφιζόμενοι ὑπομενεῖτε; Ἀλλ᾽ εἰ ἀγαθοποιοῦντες καὶ πάσχοντες ὑπομενεῖτε, τοῦτο χάρις παρὰ Θεῷ. Εἰς τοῦτο γὰρ ἐκλήθητε· ὅτι καὶ Χριστὸς ἔπαθεν ὑπὲρ ἡμῶν, ἡμῖν ὑπολιμπάνων ὑπογραμμόν, ἵνα ἐπακολουθήσητε τοῖς ἴχνεσιν αὐτοῦ· Ὃς ἁμαρτίαν οὐκ ἐποίησεν, οὐδὲ εὑρέθη δόλος ἐν τῷ στόματι αὐτοῦ· Ὃς λοιδορούμενος οὐκ ἀντελοιδόρει· πάσχων οὐκ ἠπείλει· παρεδίδου δὲ τῷ κρίνοντι δικαίως· Ὃς τὰς ἁμαρτίας ἡμῶν αὐτὸς ἀνήνεγκεν ἐν τῷ σώματι αὐτοῦ ἐπὶ τὸ ξύλον, ἵνα ταῖς ἁμαρτίαις ἀπογενόμενοι τῇ δικαιοσύνῃ ζήσωμεν· οὗ τῷ μώλωπι αὐτοῦ ἰάθητε. Ἦτε γὰρ ὡς πρόβατα πλανώμενα· ἀλλ᾽ ἐπεστράφητε νῦν ἐπὶ τὸν Ποιμένα καὶ Ἐπίσκοπον τῶν ψυχῶν ὑμῶν. Α′ Πέτρ. Β′ 19.

Εὐαγγέλιον.

Εἶπεν ὁ Ἰησοῦς, Ἐγώ εἰμι ὁ ποιμὴν ὁ καλός· ὁ ποιμὴν ὁ καλὸς τὴν ψυχὴν αὐτοῦ τίθησιν ὑπὲρ τῶν προβάτων. Ἰωάν. Ι′ 11.

Ὁ μισθωτὸς δέ, καὶ οὐκ ὢν ποιμήν, οὗ οὐκ εἰσὶ τὰ πρόβατα ἴδια, θεωρεῖ τὸν λύκον ἐρχόμενον, καὶ ἀφίησι τὰ πρόβατα, καὶ φεύγει· καὶ ὁ λύκος ἁρπάζει αὐτά, καὶ σκορπίζει τὰ πρόβατα. Ὁ δὲ μισθωτὸς φεύγει, ὅτι μισθωτός ἐστι, καὶ οὐ μέλει αὐτῷ περὶ τῶν προβάτων. Ἐγώ εἰμι ὁ ποιμὴν ὁ καλός, καὶ γινώσκω τὰ ἐμά, καὶ γινώσκομαι ὑπὸ τῶν ἐμῶν. Καθὼς γινώσκει με ὁ Πατήρ, κἀγὼ γινώσκω τὸν Πατέρα· καὶ τὴν ψυχήν μου τίθημι ὑπὲρ τῶν προβάτων. Καὶ ἄλλα πρόβατα ἔχω ἃ οὐκ ἔστιν ἐκ τῆς αὐλῆς ταύτης· κἀκεῖνά με δεῖ ἀγαγεῖν, καὶ τῆς φωνῆς μου ἀκούσουσι· καὶ γενήσεται μία ποίμνη, εἷς ποιμήν.

ΚΥΡΙΑΚΗ ΤΡΙΤΗ ΜΕΤΑ ΤΟ ΠΑΣΧΑ.

Εὐχή.

Ὁ Θεὸς ὁ Παντοκράτωρ, ὁ ἐπιδεικνύων τοῖς πεπλανημένοις τὸ φῶς τῆς σῆς ἀληθείας, ἵνα εἰς τὴν ὁδὸν ἐπιστρέψωσι τῆς δικαιοσύνης· Αὐτὸς δὸς πᾶσι τοῖς συντελοῦσιν εἰς τὴν Χριστιανικὴν θρησκείαν τὰ τῇ ὁμολογίᾳ αὐτῶν ἐναντία ἀποπτύειν, καὶ πάντα διώκειν τὰ ταύτῃ ἁρμόδια, διὰ τοῦ Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ. Ἀμήν.

Ἐπιστολή.

Α′ Πέτρ. Β′ 11.

Ἀγαπητοί, παρακαλῶ ὡς παροίκους καὶ παρεπιδήμους, ἀπέχεσθαι τῶν σαρκικῶν ἐπιθυμιῶν, αἵτινες στρατεύονται κατὰ τῆς ψυχῆς· τὴν ἀναστροφὴν ὑμῶν ἐν τοῖς Ἔθνεσιν ἔχοντες καλήν· ἵνα ἐν ᾧ καταλαλοῦσιν ὑμῶν ὡς κακοποιῶν, ἐκ τῶν καλῶν ἔργων ἐποπτεύσαντες δοξάσωσι τὸν Θεὸν ἐν ἡμέρᾳ ἐπισκοπῆς. Ὑποτάγητε οὖν πάσῃ ἀνθρωπίνῃ κτίσει διὰ τὸν Κύριον, εἴτε Βασιλεῖ, ὡς ὑπερέχοντι· εἴτε ἡγεμόσιν, ὡς δι' αὐτοῦ πεμπομένοις, εἰς ἐκδίκησιν μὲν κακοποιῶν, ἔπαινον δὲ ἀγαθοποιῶν. Ὅτι οὕτως ἐστὶ

τὸ θέλημα τοῦ Θεοῦ, ἀγαθοποιοῦντας φιμοῦν τὴν τῶν ἀφρόνων ἀνθρώπων ἀγνωσίαν· ὡς ἐλεύθεροι, καὶ μὴ ὡς ἐπικάλυμμα ἔχοντες τῆς κακίας τὴν ἐλευθερίαν· ἀλλ' ὡς δοῦλοι Θεοῦ. Πάντας τιμήσατε. Τὴν ἀδελφότητα ἀγαπᾶτε. Τὸν Θεὸν φοβεῖσθε. Τὸν Βασιλέα τιμᾶτε.

Εὐαγγέλιον.

ΕΙπεν ὁ Ἰησοῦς τοῖς μαθηταῖς αὐτοῦ, Μικρὸν καὶ οὐ Ἰωάν. ΙϚ΄
θεωρεῖτέ με· καὶ πάλιν, μικρὸν καὶ ὄψεσθέ με, ὅτι ἐγὼ 16.
ὑπάγω πρὸς τὸν Πατέρα. Εἶπον οὖν ἐκ τῶν μαθητῶν αὐτοῦ πρὸς ἀλλήλους, Τί ἐστι τοῦτο ὃ λέγει ἡμῖν, Μικρὸν καὶ οὐ θεωρεῖτέ με· καὶ πάλιν, μικρὸν καὶ ὄψεσθέ με· καὶ Ὅτι ἐγὼ ὑπάγω πρὸς τὸν Πατέρα; Ἔλεγον οὖν, Τοῦτο τί ἐστιν ὃ λέγει, Τὸ μικρόν; οὐκ οἴδαμεν τί λαλεῖ. Ἔγνω οὖν ὁ Ἰησοῦς ὅτι ἤθελον αὐτὸν ἐρωτᾷν, καὶ εἶπεν αὐτοῖς, Περὶ τούτου ζητεῖτε μετ' ἀλλήλων ὅτι εἶπον, Μικρόν, καὶ οὐ θεωρεῖτέ με· καὶ πάλιν, μικρὸν καὶ ὄψεσθέ με; Ἀμήν, ἀμὴν λέγω ὑμῖν, ὅτι κλαύσετε καὶ θρηνήσετε ὑμεῖς, ὁ δὲ κόσμος χαρήσεται· ὑμεῖς δὲ λυπηθήσεσθε, ἀλλ' ἡ λύπη ὑμῶν εἰς χαρὰν γενήσεται. Ἡ γυνὴ ὅταν τίκτῃ, λύπην ἔχει, ὅτι ἦλθεν ἡ ὥρα αὐτῆς· ὅταν δὲ γεννήσῃ τὸ παιδίον, οὐκέτι μνημονεύει τῆς θλίψεως, διὰ τὴν χαρὰν ὅτι ἐγεννήθη ἄνθρωπος εἰς τὸν κόσμον. Καὶ ὑμεῖς οὖν λύπην μὲν νῦν ἔχετε· πάλιν δὲ ὄψομαι ὑμᾶς, καὶ χαρήσεται ὑμῶν ἡ καρδία, καὶ τὴν χαρὰν ὑμῶν οὐδεὶς αἴρει ἀφ' ὑμῶν.

ΚΥΡΙΑΚΗ ΤΕΤΑΡΤΗ ΜΕΤΑ ΤΟ ΠΑΣΧΑ.

Εὐχή.

Ὁ Θεὸς ὁ Παντοκράτωρ, ὁ μόνος δυνάμενος τὰ ἀνυπότακτα διευθύνειν θελήματα καὶ φρονήματα τῶν ἁμαρτωλῶν· Δὸς τῷ λαῷ σου τὸ ὑπό σου ἐντεταλμένον

ἀγαπᾷν, καὶ τοῦ ἐπηγγελμένου ἐπιθυμεῖν, ὥστε ἐν ταῖς πολλαῖς καὶ πολυπλόκοις βιωτικαῖς ἀσταθείαις, ἐκεῖ στηριχθῆναι τὰς καρδίας ἡμῶν, ἔνθα ἀληθινὰ ἀπόκειται χάρματα, διὰ Ἰησοῦ Χριστοῦ τοῦ Κυρίου ἡμῶν. Ἀμήν.

Ἐπιστολή.

Ἰακ. Α´ 17. ΠΑσα δόσις ἀγαθὴ καὶ πᾶν δώρημα τέλειον ἄνωθέν ἐστι, καταβαῖνον ἀπὸ τοῦ Πατρὸς τῶν φώτων, παρ' ᾧ οὐκ ἔνι παραλλαγή, ἢ τροπῆς ἀποσκίασμα. Βουληθεὶς ἀπεκύησεν ἡμᾶς λόγῳ ἀληθείας, εἰς τὸ εἶναι ἡμᾶς ἀπαρχήν τινα τῶν αὐτοῦ κτισμάτων. Ὥστε, ἀδελφοί μου ἀγαπητοί, ἔστω πᾶς ἄνθρωπος ταχὺς εἰς τὸ ἀκοῦσαι, βραδὺς εἰς τὸ λαλῆσαι, βραδὺς εἰς ὀργήν· ὀργὴ γὰρ ἀνδρὸς δικαιοσύνην Θεοῦ οὐ κατεργάζεται. Διὸ ἀποθέμενοι πᾶσαν ῥυπαρίαν καὶ περισσείαν κακίας, ἐν πραΰτητι δέξασθε τὸν ἔμφυτον λόγον, τὸν δυνάμενον σῶσαι τὰς ψυχὰς ὑμῶν.

Εὐαγγέλιον.

Ἰωάν. ΙϚ´ 5. ΕΙπεν ὁ Ἰησοῦς τοῖς ἑαυτοῦ μαθηταῖς, Νῦν ὑπάγω πρὸς τὸν πέμψαντά με, καὶ οὐδεὶς ἐξ ὑμῶν ἐρωτᾷ με, Ποῦ ὑπάγεις; Ἀλλ' ὅτι ταῦτα λελάληκα ὑμῖν ἡ λύπη πεπλήρωκεν ὑμῶν τὴν καρδίαν. Ἀλλ' ἐγὼ τὴν ἀλήθειαν λέγω ὑμῖν, συμφέρει ὑμῖν ἵνα ἐγὼ ἀπέλθω· ἐὰν γὰρ μὴ ἀπέλθω, ὁ Παράκλητος οὐκ ἐλεύσεται πρὸς ὑμᾶς· ἐὰν δὲ πορευθῶ, πέμψω αὐτὸν πρὸς ὑμᾶς. Καὶ ἐλθὼν ἐκεῖνος ἐλέγξει τὸν κόσμον περὶ ἁμαρτίας, καὶ περὶ δικαιοσύνης, καὶ περὶ κρίσεως· Περὶ ἁμαρτίας μέν, ὅτι οὐ πιστεύουσιν εἰς ἐμέ· Περὶ δικαιοσύνης δέ, ὅτι πρὸς τὸν Πατέρα μου ὑπάγω, καὶ οὐκέτι θεωρεῖτέ με· Περὶ δὲ κρίσεως, ὅτι ὁ ἄρχων τοῦ κόσμου τούτου κέκριται. Ἔτι πολλὰ ἔχω λέγειν ὑμῖν, ἀλλ' οὐ δύνασθε βαστάζειν ἄρτι. Ὅταν δὲ ἔλθῃ ἐκεῖνος, τὸ Πνεῦμα τῆς ἀληθείας, ὁδηγήσει ὑμᾶς εἰς πᾶσαν τὴν ἀλή-

θειαν· οὐ γὰρ λαλήσει ἀφ' ἑαυτοῦ· ἀλλ' ὅσα ἂν ἀκούσῃ λαλήσει, καὶ τὰ ἐρχόμενα ἀναγγελεῖ ὑμῖν. Ἐκεῖνος ἐμὲ δοξάσει· ὅτι ἐκ τοῦ ἐμοῦ λήψεται, καὶ ἀναγγελεῖ ὑμῖν. Πάντα *ὅσα ἔχει ὁ* Πατήρ, *ἐμά ἐστι· διὰ τοῦτο εἶπον, ὅτι ἐκ τοῦ ἐμοῦ λήψεται, καὶ ἀναγγελεῖ ὑμῖν.*

ΚΥΡΙΑΚΗ ΠΕΜΠΤΗ ΜΕΤΑ ΤΟ ΠΑΣΧΑ.

Εὐχή.

Κ*Υριε, παρ' οὗ πάντα τὰ ἀγαθά·* Χάρισαι *ἡμῖν τοῖς ταπεινοῖς σου δούλοις, ἵνα τὰ ὀρθά,* Σοῦ *ἐμπνέοντος, ἐνθυμώμεθα, καί,* Σοῦ *εὐσπλάγχνως ὁδηγοῦντος, ἐκτελέσωμεν αὐτά, διὰ τοῦ* Κυρίου *ἡμῶν* Ἰησοῦ Χριστοῦ. Ἀμήν.

Ἐπιστολή.

Γ*Ινεσθε ποιηταὶ λόγου, καὶ μὴ μόνον ἀκροαταί, παρα-* Ἰακ. Α' 22.
λογιζόμενοι ἑαυτούς. Ὅ*τι εἴ τις ἀκροατὴς λόγου ἐστὶ καὶ οὐ ποιητής, οὗτος ἔοικεν ἀνδρὶ κατανοοῦντι τὸ πρόσωπον τῆς γενέσεως αὐτοῦ ἐν ἐσόπτρῳ.* Κατενόησε *γὰρ ἑαυτόν, καὶ ἀπελήλυθε, καὶ εὐθέως ἐπελάθετο ὁποῖος ἦν.* Ὁ *δὲ παρακύψας εἰς νόμον τέλειον τὸν τῆς ἐλευθερίας, καὶ παραμείνας, οὗτος οὐκ ἀκροατὴς ἐπιλησμονῆς γενόμενος, ἀλλὰ ποιητὴς ἔργου, οὗτος μακάριος ἐν τῇ ποιήσει αὐτοῦ ἔσται.* Εἴ *τις δοκεῖ θρῆσκος εἶναι ἐν ὑμῖν, μὴ χαλιναγωγῶν γλῶσσαν αὐτοῦ, ἀλλ' ἀπατῶν καρδίαν αὐτοῦ, τούτου μάταιος ἡ θρησκεία.* Θρησκεία *καθαρά, καὶ ἀμίαντος παρὰ τῷ* Θεῷ *καὶ* Πατρί, *αὕτη ἐστίν·* Ἐπισκέπτεσθαι *ὀρφανοὺς καὶ χήρας ἐν τῇ θλίψει αὐτῶν, ἄσπιλον ἑαυτὸν τηρεῖν ἀπὸ τοῦ κόσμου.*

Εὐαγγέλιον.

Ἀ Μήν, *ἀμὴν λέγω ὑμῖν, ὅτι* Ὅσα *ἂν αἰτήσητε τὸν* Πατέρα Ἰωάν. ΙϚ' 23.
ἐν τῷ Ὀνόματί *μου, δώσει ὑμῖν.* Ἕως *ἄρτι οὐκ*

ᾐτήσατε οὐδὲν ἐν τῷ ὀνόματί μου· Αἰτεῖτε, καὶ λήψεσθε, ἵνα ἡ χαρὰ ὑμῶν ᾖ πεπληρωμένη. Ταῦτα ἐν παροιμίαις λελάληκα ὑμῖν· ἀλλ' ἔρχεται ὥρα ὅτε οὐκέτι ἐν παροιμίαις λαλήσω ὑμῖν, ἀλλὰ παρρησίᾳ περὶ τοῦ Πατρὸς ἀναγγελῶ ὑμῖν. Ἐν ἐκείνῃ τῇ ἡμέρᾳ ἐν τῷ Ὀνόματί μου αἰτήσεσθε· καὶ οὐ λέγω ὑμῖν, ὅτι ἐγὼ ἐρωτήσω τὸν Πατέρα περὶ ὑμῶν· αὐτὸς γὰρ ὁ Πατὴρ φιλεῖ ὑμᾶς, ὅτι ὑμεῖς ἐμὲ πεφιλήκατε, καὶ πεπιστεύκατε ὅτι ἐγὼ παρὰ τοῦ Θεοῦ ἐξῆλθον. Ἐξῆλθον παρὰ τοῦ Πατρός, καὶ ἐλήλυθα εἰς τὸν κόσμον· Πάλιν ἀφίημι τὸν κόσμον, καὶ πορεύομαι πρὸς τὸν Πατέρα. Λέγουσιν αὐτῷ οἱ μαθηταὶ αὐτοῦ· Ἴδε, νῦν παρρησίᾳ λαλεῖς, καὶ παροιμίαν οὐδεμίαν λέγεις. Νῦν οἴδαμεν ὅτι οἶδας πάντα, καὶ οὐ χρείαν ἔχεις ἵνα τίς σε ἐρωτᾷ· ἐν τούτῳ πιστεύομεν ὅτι ἀπὸ Θεοῦ ἐξῆλθες. Ἀπεκρίθη αὐτοῖς ὁ Ἰησοῦς, Ἄρτι πιστεύετε; Ἰδοὺ ἔρχεται ὥρα, καὶ νῦν ἐλήλυθεν, ἵνα σκορπισθῆτε ἕκαστος εἰς τὰ ἴδια, καὶ ἐμὲ μόνον ἀφῆτε· καὶ οὐκ εἰμὶ μόνος, ὅτι ὁ Πατὴρ μετ' ἐμοῦ ἐστι. Ταῦτα λελάληκα ὑμῖν, ἵνα ἐν ἐμοὶ εἰρήνην ἔχητε. Ἐν τῷ κόσμῳ θλίψιν ἕξετε· ἀλλὰ θαρσεῖτε, ἐγὼ νενίκηκα τὸν κόσμον.

Η ΠΕΜΠΤΗ ΤΗΣ ΑΝΑΛΗΨΕΩΣ.

Εὐχή.

ΔΕόμεθά σου, Θεὲ Παντοκράτορ, χάρισαι ἡμῖν τοῖς πιστεύουσι τὸν μονογενῆ σου Υἱόν, Κυρίον δὲ ἡμῶν Ἰησοῦν Χριστὸν εἰς οὐρανοὺς ἀναβῆναι, ἵνα καὶ αὐτοὶ ἐκεῖσε καρδίᾳ τε καὶ διανοίᾳ ἀναβάντες μετ' αὐτοῦ διηνεκῶς κατοικῶμεν, τοῦ σὺν Σοὶ καὶ τῷ ἁγίῳ Πνεύματι συζῶντος καὶ συμβασιλεύοντος, ἑνὸς Θεοῦ, εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

Η ΠΕΜΠΤΗ ΤΗΣ ΑΝΑΛΗΨΕΩΣ

Ἀντὶ τοῦ Ἀποστόλου.

ΤΟν μὲν πρῶτον λόγον ἐποιησάμην περὶ πάντων, ὦ Θεόφιλε, ὧν ἤρξατο ὁ Ἰησοῦς ποιεῖν τε καὶ διδάσκειν, ἄχρι ἧς ἡμέρας ἐντειλάμενος τοῖς Ἀποστόλοις διὰ Πνεύματος ἁγίου, οὓς ἐξελέξατο, ἀνελήφθη. Οἷς καὶ παρέστησεν ἑαυτὸν ζῶντα μετὰ τὸ παθεῖν αὐτόν, ἐν πολλοῖς τεκμηρίοις, δι' ἡμερῶν τεσσαράκοντα ὀπτανόμενος αὐτοῖς, καὶ λέγων τὰ περὶ τῆς βασιλείας τοῦ Θεοῦ· Καὶ συναλιζόμενος, παρήγγειλεν αὐτοῖς ἀπὸ Ἱεροσολύμων μὴ χωρίζεσθαι, ἀλλὰ περιμένειν τὴν ἐπαγγελίαν τοῦ Πατρός, ἣν ἠκούσατέ μου. Ὅτι Ἰωάννης μὲν ἐβάπτισεν ὕδατι, ὑμεῖς δὲ βαπτισθήσεσθε ἐν Πνεύματι ἁγίῳ οὐ μετὰ πολλὰς ταύτας ἡμέρας. Οἱ μὲν οὖν συνελθόντες ἐπηρώτων αὐτόν, λέγοντες, Κύριε, εἰ ἐν τῷ χρόνῳ τούτῳ ἀποκαθιστάνεις τὴν βασιλείαν τῷ Ἰσραήλ; Εἶπε δὲ πρὸς αὐτούς, Οὐχ ὑμῶν ἐστι γνῶναι χρόνους, ἢ καιρούς, οὓς ὁ Πατὴρ ἔθετο ἐν τῇ ἰδίᾳ ἐξουσίᾳ. Ἀλλὰ λήψεσθε δύναμιν ἐπελθόντος τοῦ ἁγίου Πνεύματος ἐφ' ὑμᾶς· καὶ ἔσεσθέ μοι μάρτυρες, ἔν τε Ἱερουσαλὴμ καὶ ἐν πάσῃ τῇ Ἰουδαίᾳ, καὶ Σαμαρείᾳ, καὶ ἕως ἐσχάτου τῆς γῆς. Καὶ ταῦτα εἰπών, βλεπόντων αὐτῶν, ἐπήρθη, καὶ νεφέλη ὑπέλαβεν αὐτὸν ἀπὸ τῶν ὀφθαλμῶν αὐτῶν. Καὶ ὡς ἀτενίζοντες ἦσαν εἰς τὸν οὐρανόν, πορευομένου αὐτοῦ, καὶ ἰδού, ἄνδρες δύο παρειστήκεισαν αὐτοῖς ἐν ἐσθῆτι λευκῇ· οἳ καὶ εἶπον, Ἄνδρες Γαλιλαῖοι, τί ἑστήκατε ἐμβλέποντες εἰς τὸν οὐρανόν; Οὗτος ὁ Ἰησοῦς ὁ ἀναληφθεὶς ἀφ' ὑμῶν εἰς τὸν οὐρανόν, οὕτως ἐλεύσεται ὃν τρόπον ἐθεάσασθε αὐτὸν πορευόμενον εἰς τὸν οὐρανόν.

Πράξ. Α' 1.

Εὐαγγέλιον.

Ἀνακειμένοις αὐτοῖς τοῖς ἕνδεκα ἐφανερώθη ὁ Ἰησοῦς, καὶ ὠνείδισε τὴν ἀπιστίαν αὐτῶν καὶ σκληροκαρδίαν, ὅτι τοῖς θεασαμένοις αὐτὸν ἐγηγερμένον οὐκ ἐπίστευσαν. Καὶ

Μάρκ. ΙϚ' 14.

εἶπεν αὐτοῖς, Πορευθέντες εἰς τὸν κόσμον ἅπαντα κηρύξατε τὸ εὐαγγέλιον πάσῃ τῇ κτίσει. Ὁ πιστεύσας καὶ βαπτισθείς, σωθήσεται· ὁ δὲ ἀπιστήσας, κατακριθήσεται. Σημεῖα δὲ τοῖς πιστεύσασι ταῦτα παρακολουθήσει· Ἐν τῷ Ὀνόματί μου δαιμόνια ἐκβαλοῦσι, γλώσσαις λαλήσουσι καιναῖς, ὄφεις ἀροῦσι, κἂν θανάσιμόν τι πίωσιν, οὐ μὴ αὐτοὺς βλάψει· ἐπὶ ἀρρώστους χεῖρας ἐπιθήσουσι, καὶ καλῶς ἕξουσιν. Ὁ μὲν οὖν Κύριος, μετὰ τὸ λαλῆσαι αὐτοῖς, ἀνελήφθη εἰς τὸν οὐρανόν, καὶ ἐκάθισεν ἐκ δεξιῶν τοῦ Θεοῦ. Ἐκεῖνοι δὲ ἐξελθόντες ἐκήρυξαν πανταχοῦ, τοῦ Κυρίου συνεργοῦντος, καὶ τὸν λόγον βεβαιοῦντος διὰ τῶν ἐπακολουθούντων σημείων.

Η ΚΥΡΙΑΚΗ ΜΕΤΑ ΤΗΝ ΠΕΜΠΤΗΝ ΤΗΣ ΑΝΑΛΗΨΕΩΣ.

Εὐχή.

Ὁ Θεός, ὁ Βασιλεὺς τῆς δόξης, ὁ τὸν μονογενῆ σου Υἱὸν Ἰησοῦν Χριστὸν εἰς τὴν ἐπουράνιόν σου βασιλείαν τροπαιοφοροῦντα ἀνυψώσας· Μὴ ἀφῇς ἡμᾶς ὀρφανούς, δεόμεθά σου, ἀλλ' ἐξαπόστειλον πρὸς ἡμᾶς τὸ Πνεῦμά σου τὸ ἅγιον τοῦ παρακαλέσαι ἡμᾶς, καὶ ἐκεῖσε ἡμᾶς ἀνυψῶσαι, ὅποι προέδραμεν ὁ Σωτὴρ ἡμῶν Χριστός, ὁ σὺν Σοὶ καὶ τῷ ἁγίῳ Πνεύματι συζῶν καὶ συμβασιλεύων, εἷς Θεός, εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

Ἐπιστολή.

Α' Πέτρ. Δ' 7.

ΠΑντων δὲ τὸ τέλος ἤγγικε· σωφρονήσατε οὖν, καὶ νήψατε εἰς τὰς προσευχάς. Πρὸ πάντων δὲ τὴν εἰς ἑαυτοὺς ἀγάπην ἐκτενῆ ἔχοντες· ὅτι ἡ ἀγάπη καλύψει πλῆθος ἁμαρτιῶν. Φιλόξενοι εἰς ἀλλήλους ἄνευ γογγυσμῶν. Ἕκαστος καθὼς ἔλαβε χάρισμα, εἰς ἑαυτοὺς αὐτὸ διακονοῦντες, ὡς καλοὶ οἰκονόμοι ποικίλης χάριτος Θεοῦ.

Εἴ τις λαλεῖ, ὡς λόγια Θεοῦ· Εἴ τις διακονεῖ, ὡς ἐξ ἰσχύος ἧς χορηγεῖ ὁ Θεός, ἵνα ἐν πᾶσι δοξάζηται ὁ Θεὸς διὰ Ἰησοῦ Χριστοῦ, ᾧ ἐστιν ἡ δόξα καὶ τὸ κράτος εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

Εὐαγγέλιον.

Ὅταν ἔλθῃ ὁ Παράκλητος, ὃν ἐγὼ πέμψω ὑμῖν παρὰ τοῦ Πατρός, τὸ Πνεῦμα τῆς ἀληθείας, ὃ παρὰ τοῦ Πατρὸς ἐκπορεύεται, ἐκεῖνος μαρτυρήσει περὶ ἐμοῦ. Καὶ ὑμεῖς δὲ μαρτυρεῖτε, ὅτι ἀπ᾽ ἀρχῆς μετ᾽ ἐμοῦ ἐστε. Ταῦτα λελάληκα ὑμῖν, ἵνα μὴ σκανδαλισθῆτε. Ἀποσυναγώγους ποιήσουσιν ὑμᾶς· ἀλλ᾽ ἔρχεται ὥρα, ἵνα πᾶς ὁ ἀποκτείνας ὑμᾶς δόξῃ λατρείαν προσφέρειν τῷ Θεῷ. Καὶ ταῦτα ποιήσουσιν ὑμῖν, ὅτι οὐκ ἔγνωσαν τὸν Πατέρα, οὐδὲ ἐμέ· ἀλλὰ ταῦτα λελάληκα ὑμῖν, ἵνα ὅταν ἔλθῃ ἡ ὥρα, μνημονεύητε αὐτῶν, ὅτι ἐγὼ εἶπον ὑμῖν.

Ἰωάν. ΙΕ´ 26 καὶ μέρος Κεφ. Ιϛ´.

Η ΚΥΡΙΑΚΗ ΤΗΣ ΠΕΝΤΗΚΟΣΤΗΣ.

Εὐχή.

Ὁ Θεὸς ὁ διὰ τοῦ φωτισμοῦ τοῦ ἁγίου σου Πνεύματος ὡσεὶ ἐν τούτῳ τῷ καιρῷ τὰς τῶν πιστῶν σου καρδίας διδάξας· Αὐτὸς καὶ νῦν δὸς ἡμῖν ἐν τῷ αὐτῷ Πνεύματι περὶ πάντων ὀρθὰ φρονεῖν, καὶ ἐν τῇ ἁγίᾳ αὐτοῦ διηνεκῶς χαίρειν παρακλήσει, διὰ τὴν ἀξιομισθίαν τοῦ Χριστοῦ Ἰησοῦ τοῦ Σωτῆρος ἡμῶν τοῦ σὺν Σοὶ συζῶντος καὶ συμβασιλεύοντος, ἐν τῇ ἑνότητι τοῦ αὐτοῦ Πνεύματος, ἑνὸς Θεοῦ, εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

Ἀντὶ τοῦ Ἀποστόλου.

Ἐν τῷ συμπληροῦσθαι τὴν ἡμέραν τῆς Πεντηκοστῆς, ἦσαν ἅπαντες ὁμοθυμαδὸν ἐπὶ τὸ αὐτό. Καὶ ἐγένετο ἄφνω ἐκ τοῦ οὐρανοῦ ἦχος, ὥσπερ φερομένης πνοῆς βιαίας,

Πράξ. Β´ 1.

καὶ ἐπλήρωσεν ὅλον τὸν οἶκον οὗ ἦσαν καθήμενοι. Καὶ ὤφθησαν αὐτοῖς διαμεριζόμεναι γλῶσσαι, ὡσεὶ πυρός, ἐκάθισέ τε ἐφ' ἕνα ἕκαστον αὐτῶν· Καὶ ἐπλήσθησαν ἅπαντες Πνεύματος ἁγίου, καὶ ἤρξαντο λαλεῖν ἑτέραις γλώσσαις, καθὼς τὸ Πνεῦμα ἐδίδου αὐτοῖς ἀποφθέγγεσθαι. Ἦσαν δὲ ἐν Ἱερουσαλὴμ κατοικοῦντες Ἰουδαῖοι, ἄνδρες εὐλαβεῖς, ἀπὸ παντὸς ἔθνους τῶν ὑπὸ τὸν οὐρανόν. Γενομένης δὲ τῆς φωνῆς ταύτης, συνῆλθε τὸ πλῆθος, καὶ συνεχύθη, ὅτι ἤκουον εἷς ἕκαστος τῇ ἰδίᾳ διαλέκτῳ λαλούντων αὐτῶν. Ἐξίσταντο δὲ πάντες, καὶ ἐθαύμαζον, λέγοντες πρὸς ἀλλήλους, Οὐκ ἰδοὺ πάντες οὗτοί εἰσιν οἱ λαλοῦντες Γαλιλαῖοι; Καὶ πῶς ἡμεῖς ἀκούομεν ἕκαστος τῇ ἰδίᾳ διαλέκτῳ ἡμῶν ἐν ᾗ ἐγεννήθημεν; Πάρθοι, καὶ Μῆδοι, καὶ Ἐλαμῖται, καὶ οἱ κατοικοῦντες τὴν Μεσοποταμίαν, Ἰουδαίαν τε καὶ Καππαδοκίαν, Πόντον καὶ τὴν Ἀσίαν, Φρυγίαν τε καὶ Παμφυλίαν, Αἴγυπτον, καὶ τὰ μέρη τῆς Λιβύης τῆς κατὰ Κυρήνην, καὶ οἱ ἐπιδημοῦντες Ῥωμαῖοι, Ἰουδαῖοί τε καὶ Προσήλυτοι, Κρῆτες καὶ Ἄραβες, ἀκούομεν λαλούντων αὐτῶν ταῖς ἡμετέραις γλώσσαις τὰ μεγαλεῖα τοῦ Θεοῦ.

Εὐαγγέλιον.

Ἰωάν. ΙΔ΄ 15. ΕἾπεν ὁ Ἰησοῦς τοῖς ἑαυτοῦ μαθηταῖς, Ἐὰν ἀγαπᾶτέ με, τὰς ἐντολὰς τὰς ἐμὰς τηρήσατε. Καὶ ἐγὼ ἐρωτήσω τὸν Πατέρα, καὶ ἄλλον Παράκλητον δώσει ὑμῖν, ἵνα μένῃ μεθ' ὑμῶν εἰς τὸν αἰῶνα, τὸ Πνεῦμα τῆς ἀληθείας, ὃ ὁ κόσμος οὐ δύναται λαβεῖν, ὅτι οὐ θεωρεῖ αὐτό, οὐδὲ γινώσκει αὐτό· ὑμεῖς δὲ γινώσκετε αὐτό· ὅτι παρ' ὑμῖν μένει, καὶ ἐν ὑμῖν ἔσται. Οὐκ ἀφήσω ὑμᾶς ὀρφανούς· ἔρχομαι πρὸς ὑμᾶς. Ἔτι μικρόν, καὶ ὁ κόσμος με οὐκέτι θεωρεῖ· ὑμεῖς δὲ θεωρεῖτέ με· ὅτι ἐγὼ ζῶ, καὶ ὑμεῖς ζήσεσθε. Ἐν ἐκείνῃ τῇ ἡμέρᾳ γνώσεσθε ὑμεῖς, ὅτι ἐγὼ ἐν τῷ Πατρί μου, καὶ ὑμεῖς ἐν ἐμοί, κἀγὼ ἐν ὑμῖν. Ὁ ἔχων τὰς ἐντολάς μου

καὶ τηρῶν αὐτάς, ἐκεῖνός ἐστιν ὁ ἀγαπῶν με· ὁ δὲ ἀγαπῶν με, ἀγαπηθήσεται ὑπὸ τοῦ Πατρός *μου, καὶ ἐγὼ ἀγαπήσω αὐτόν, καὶ ἐμφανίσω αὐτῷ ἐμαυτόν. Λέγει αὐτῷ Ἰούδας (οὐχ ὁ Ἰσκαριώτης),* Κύριε, *τί γέγονεν ὅτι ἡμῖν μέλλεις ἐμφανίζειν σεαυτόν, καὶ οὐχὶ τῷ κόσμῳ; Ἀπεκρίθη ὁ Ἰησοῦς, καὶ εἶπεν αὐτῷ, Ἐάν τις ἀγαπᾷ με, τὸν λόγον μου τηρήσει· καὶ ὁ* Πατήρ *μου ἀγαπήσει αὐτόν, καὶ πρὸς αὐτὸν ἐλευσόμεθα, καὶ μονὴν παρ' αὐτῷ ποιήσομεν. Ὁ μὴ ἀγαπῶν με, τοὺς λόγους μου οὐ τηρεῖ· καὶ ὁ λόγος ὃν ἀκούετε, οὐκ ἔστιν ἐμός, ἀλλὰ τοῦ πέμψαντός με* Πατρός. Ταῦτα *λελάληκα ὑμῖν, παρ' ὑμῖν μένων. Ὁ δὲ* Παράκλητος, *τὸ* Πνεῦμα *τὸ ἅγιον, ὃ πέμψει ὁ* Πατὴρ *ἐν τῷ ὀνόματί μου, ἐκεῖνος ὑμᾶς διδάξει πάντα, καὶ ὑπομνήσει ὑμᾶς πάντα ἃ εἶπον ὑμῖν.* Εἰρήνην *ἀφίημι ὑμῖν, εἰρήνην τὴν ἐμὴν δίδωμι ὑμῖν· οὐ καθὼς ὁ κόσμος δίδωσιν, ἐγὼ δίδωμι ὑμῖν.* Μὴ *ταρασσέσθω ὑμῶν ἡ καρδία, μηδὲ δειλιάτω.* Ἠκούσατε *ὅτι ἐγὼ εἶπον ὑμῖν,* Ὑπάγω *καὶ ἔρχομαι πρὸς ὑμᾶς.* Εἰ *ἠγαπᾶτέ με, ἐχάρητε ἄν, ὅτι εἶπον,* Πορεύομαι *πρὸς τὸν* Πατέρα· *ὅτι ὁ* Πατήρ *μου μείζων μού ἐστι.* Καὶ *νῦν εἴρηκα ὑμῖν πρὶν γενέσθαι, ἵνα ὅταν γένηται πιστεύσητε.* Οὐκέτι *πολλὰ λαλήσω μεθ' ὑμῶν· ἔρχεται γὰρ ὁ τοῦ κόσμου τούτου ἄρχων, καὶ ἐν ἐμοὶ οὐκ ἔχει οὐδέν.* Ἀλλ' *ἵνα γνῷ ὁ κόσμος ὅτι ἀγαπῶ τὸν* Πατέρα, *καὶ καθὼς ἐνετείλατό μοι ὁ* Πατήρ, *οὕτω ποιῶ.*

Η ΔΕΥΤΕΡΑ ΤΗΣ ΕΒΔΟΜΑΔΟΣ ΤΗΣ ΠΕΝΤΗΚΟΣΤΗΣ.

Εὐχή.

Ὁ Θεὸς ὁ διὰ τοῦ φωτισμοῦ τοῦ ἁγίου σου Πνεύματος ὡσεὶ ἐν τούτῳ τῷ καιρῷ τὰς τῶν πιστῶν σου καρδίας διδάξας· Αὐτὸς καὶ νῦν δὸς ἡμῖν ἐν τῷ αὐτῷ Πνεύματι περὶ πάντων ὀρθὰ φρονεῖν, καὶ ἐν τῇ ἁγίᾳ αὐτοῦ διηνεκῶς

χαίρειν παρακλήσει, διὰ τὴν ἀξιομισθίαν τοῦ Χριστοῦ Ἰησοῦ τοῦ Σωτῆρος ἡμῶν τοῦ σὺν Σοὶ συζῶντος καὶ συμβασιλεύοντος, ἐν τῇ ἑνότητι τοῦ αὐτοῦ Πνεύματος, ἑνὸς Θεοῦ, εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

Ἀντὶ τοῦ Ἀποστόλου.

Πράξ. Ι′ 34. ἈΝοίξας δὲ Πέτρος τὸ στόμα εἶπεν, Ἐπ᾽ ἀληθείας καταλαμβάνομαι ὅτι οὐκ ἔστι προσωπολήπτης ὁ Θεός· ἀλλ᾽ ἐν παντὶ ἔθνει ὁ φοβούμενος αὐτόν, καὶ ἐργαζόμενος δικαιοσύνην, δεκτὸς αὐτῷ ἐστι. Τὸν λόγον ὃν ἀπέστειλε τοῖς υἱοῖς Ἰσραήλ, εὐαγγελιζόμενος εἰρήνην διὰ Ἰησοῦ Χριστοῦ (οὗτός ἐστι πάντων Κύριος), ὑμεῖς οἴδατε τὸ γενόμενον ῥῆμα καθ᾽ ὅλης τῆς Ἰουδαίας, ἀρξάμενον ἀπὸ τῆς Γαλιλαίας, μετὰ τὸ βάπτισμα ὃ ἐκήρυξεν Ἰωάννης· Ἰησοῦν τὸν ἀπὸ Ναζαρέτ, ὡς ἔχρισεν αὐτὸν ὁ Θεὸς Πνεύματι ἁγίῳ καὶ δυνάμει, ὃς διῆλθεν εὐεργετῶν, καὶ ἰώμενος πάντας τοὺς καταδυναστευομένους ὑπὸ τοῦ διαβόλου· ὅτι ὁ Θεὸς ἦν μετ᾽ αὐτοῦ. Καὶ ἡμεῖς ἐσμεν μάρτυρες πάντων ὧν ἐποίησεν, ἔν τε τῇ χώρᾳ τῶν Ἰουδαίων, καὶ ἐν Ἱερουσαλήμ· ὃν ἀνεῖλον κρεμάσαντες ἐπὶ ξύλου· Τοῦτον ὁ Θεὸς ἤγειρε τῇ τρίτῃ ἡμέρᾳ, καὶ ἔδωκεν αὐτὸν ἐμφανῆ γενέσθαι· οὐ παντὶ τῷ λαῷ, ἀλλὰ μάρτυσι τοῖς προκεχειροτονημένοις ὑπὸ τοῦ Θεοῦ, ἡμῖν οἵτινες συνεφάγομεν καὶ συνεπίομεν αὐτῷ μετὰ τὸ ἀναστῆναι αὐτὸν ἐκ νεκρῶν. Καὶ παρήγγειλεν ἡμῖν κηρύξαι τῷ λαῷ, καὶ διαμαρτύρασθαι ὅτι αὐτός ἐστιν ὁ ὡρισμένος ὑπὸ τοῦ Θεοῦ κριτὴς ζώντων καὶ νεκρῶν. Τούτῳ πάντες οἱ προφῆται μαρτυροῦσιν, ἄφεσιν ἁμαρτιῶν λαβεῖν διὰ τοῦ Ὀνόματος αὐτοῦ πάντα τὸν πιστεύοντα εἰς αὐτόν. Ἔτι λαλοῦντος τοῦ Πέτρου τὰ ῥήματα ταῦτα, ἐπέπεσε τὸ Πνεῦμα τὸ ἅγιον ἐπὶ πάντας τοὺς ἀκούοντας τὸν λόγον. Καὶ ἐξέστησαν οἱ ἐκ περιτομῆς πιστοί, ὅσοι συνῆλθον τῷ Πέτρῳ, ὅτι καὶ ἐπὶ τὰ Ἔθνη ἡ δωρεὰ τοῦ ἁγίου Πνεύματος

ἐκκέχυται. Ἤκουον γὰρ αὐτῶν λαλούντων γλώσσαις, καὶ μεγαλυνόντων τὸν Θεόν. Τότε ἀπεκρίθη ὁ Πέτρος, Μήτι τὸ ὕδωρ κωλῦσαι δύναταί τις, τοῦ μὴ βαπτισθῆναι τούτους, οἵτινες τὸ Πνεῦμα τὸ ἅγιον ἔλαβον ὡς καὶ ἡμεῖς; Προσέταξεν δὲ αὐτοὺς ἐν τῷ Ὀνόματι τοῦ Κυρίου βαπτισθῆναι. Τότε ἠρώτησαν αὐτὸν ἐπιμεῖναι ἡμέρας τινάς.

Εὐαγγέλιον.

ΟΥτω ἠγάπησεν ὁ Θεὸς τὸν κόσμον, ὥστε τὸν Υἱὸν αὐτοῦ τὸν μονογενῆ ἔδωκεν, ἵνα πᾶς ὁ πιστεύων εἰς αὐτόν, μὴ ἀπόληται, ἀλλ' ἔχῃ ζωὴν αἰώνιον. Οὐ γὰρ ἀπέστειλεν ὁ Θεὸς τὸν Υἱὸν αὐτοῦ εἰς τὸν κόσμον ἵνα κρίνῃ τὸν κόσμον, ἀλλ' ἵνα σωθῇ ὁ κόσμος δι' αὐτοῦ. Ὁ πιστεύων εἰς αὐτόν, οὐ κρίνεται· ὁ δὲ μὴ πιστεύων ἤδη κέκριται, ὅτι μὴ πεπίστευκεν εἰς τὸ Ὄνομα τοῦ μονογενοῦς Υἱοῦ τοῦ Θεοῦ. Αὕτη δέ ἐστιν ἡ κρίσις, ὅτι τὸ φῶς ἐλήλυθεν εἰς τὸν κόσμον, καὶ ἠγάπησαν οἱ ἄνθρωποι μᾶλλον τὸ σκότος ἢ τὸ φῶς· ἦν γὰρ πονηρὰ αὐτῶν τὰ ἔργα. Πᾶς γὰρ ὁ φαῦλα πράσσων, μισεῖ τὸ φῶς, καὶ οὐκ ἔρχεται πρὸς τὸ φῶς, ἵνα μὴ ἐλεγχθῇ τὰ ἔργα αὐτοῦ. Ὁ δὲ ποιῶν τὴν ἀλήθειαν, ἔρχεται πρὸς τὸ φῶς, ἵνα φανερωθῇ αὐτοῦ τὰ ἔργα, ὅτι ἐν Θεῷ ἐστιν εἰργασμένα. Ἰωάν. Γ' 16.

Η ΤΡΙΤΗ ΤΗΣ ΕΒΔΟΜΑΔΟΣ ΤΗΣ ΠΕΝΤΗΚΟΣΤΗΣ.

Εὐχή.

Ὁ Θεὸς ὁ διὰ τοῦ φωτισμοῦ τοῦ ἁγίου σου Πνεύματος ὡσεὶ ἐν τούτῳ τῷ καιρῷ τὰς τῶν πιστῶν σου καρδίας διδάξας· Αὐτὸς καὶ νῦν δὸς ἡμῖν ἐν τῷ αὐτῷ Πνεύματι περὶ πάντων ὀρθὰ φρονεῖν, καὶ ἐν τῇ ἁγίᾳ αὐτοῦ διηνεκῶς χαίρειν παρακλήσει, διὰ τὴν ἀξιομισθίαν τοῦ Χριστοῦ

Ἰησοῦ τοῦ Σωτῆρος ἡμῶν τοῦ σὺν Σοὶ συζῶντος καὶ συμβασιλεύοντος, ἐν τῇ ἑνότητι τοῦ αὐτοῦ Πνεύματος, ἑνὸς Θεοῦ, εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

Ἀντὶ τοῦ Ἀποστόλου.

Πράξ. Η΄ 14. ἈΚούσαντες δὲ οἱ ἐν Ἱεροσολύμοις ἀπόστολοι, ὅτι δέδεκται ἡ Σαμάρεια τὸν λόγον τοῦ Θεοῦ, ἀπέστειλαν πρὸς αὐτοὺς τὸν Πέτρον καὶ Ἰωάννην· οἵτινες καταβάντες προσηύξαντο περὶ αὐτῶν, ὅπως λάβωσι Πνεῦμα ἅγιον. (Οὔπω γὰρ ἦν ἐπ' οὐδενὶ αὐτῶν ἐπιπεπτωκός· μόνον δὲ βεβαπτισμένοι ὑπῆρχον εἰς τὸ ὄνομα τοῦ Κυρίου Ἰησοῦ.) Τότε ἐπετίθουν τὰς χεῖρας ἐπ' αὐτούς, καὶ ἐλάμβανον Πνεῦμα ἅγιον.

Εὐαγγέλιον.

Ἰωάν. Ι΄ 1. ἈΜήν, ἀμὴν λέγω ὑμῖν, Ὁ μὴ εἰσερχόμενος διὰ τῆς θύρας εἰς τὴν αὐλὴν τῶν προβάτων, ἀλλὰ ἀναβαίνων ἀλλαχόθεν, ἐκεῖνος κλέπτης ἐστὶ καὶ λῃστής. Ὁ δὲ εἰσερχόμενος διὰ τῆς θύρας, ποιμήν ἐστι τῶν προβάτων. Τούτῳ ὁ θυρωρὸς ἀνοίγει· καὶ τὰ πρόβατα τῆς φωνῆς αὐτοῦ ἀκούει, καὶ τὰ ἴδια πρόβατα καλεῖ κατ' ὄνομα, καὶ ἐξάγει αὐτά. Καὶ ὅταν τὰ ἴδια πρόβατα ἐκβάλῃ, ἔμπροσθεν αὐτῶν πορεύεται, καὶ τὰ πρόβατα αὐτῷ ἀκολουθεῖ· ὅτι οἴδασι τὴν φωνὴν αὐτοῦ. Ἀλλοτρίῳ δὲ οὐ μὴ ἀκολουθήσωσιν· ἀλλὰ φεύξονται ἀπ' αὐτοῦ· ὅτι οὐκ οἴδασι τῶν ἀλλοτρίων τὴν φωνήν. Ταύτην τὴν παροιμίαν εἶπεν αὐτοῖς ὁ Ἰησοῦς· ἐκεῖνοι δὲ οὐκ ἔγνωσαν τίνα ἦν ἃ ἐλάλει αὐτοῖς. Εἶπεν οὖν πάλιν αὐτοῖς ὁ Ἰησοῦς· Ἀμήν, ἀμὴν λέγω ὑμῖν, ὅτι ἐγώ εἰμι ἡ θύρα τῶν προβάτων. Πάντες ὅσοι πρὸ ἐμοῦ ἦλθον κλέπται εἰσὶ καὶ λῃσταί· ἀλλ' οὐκ ἤκουσαν αὐτῶν τὰ πρόβατα. Ἐγώ εἰμι ἡ θύρα· δι' ἐμοῦ ἐάν τις εἰσέλθῃ, σωθήσεται, καὶ εἰσελεύσεται καὶ ἐξελεύσεται, καὶ νομὴν

εὑρήσει. Ὁ κλέπτης οὐκ ἔρχεται εἰ μὴ ἵνα κλέψῃ, καὶ θύσῃ, καὶ ἀπολέσῃ· ἐγὼ ἦλθον ἵνα ζωὴν ἔχωσι, καὶ περισσὸν ἔχωσιν.

Η ΚΥΡΙΑΚΗ ΤΗΣ ΑΓΙΑΣ ΤΡΙΑΔΟΣ.

Εὐχή.

Ὁ Θεὸς ὁ παντοκράτωρ καὶ αἰώνιος, ὁ χαρισάμενος ἡμῖν τοῖς δούλοις σου ἐν τῇ ὁμολογίᾳ τῆς ἀληθοῦς πίστεως τὴν δόξαν ἀναγνωρίσαι τῆς αἰωνίου Τριάδος, καὶ ἐν τῇ δυνάμει τῆς θείας Μεγαλειότητος λατρεύειν τῇ Ἑνότητι· Δεόμεθά σου, διατήρησον ἡμᾶς ἑδραίους ἐν ταύτῃ τῇ πίστει, καὶ εἰς τὸ διηνεκὲς ὑπεράσπιζε ἡμᾶς ἀπὸ παντὸς ἐναντίου, Σὺ ὁ ζῶν καὶ βασιλεύων εἷς Θεὸς εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

Ἀντὶ τοῦ Ἀποστόλου.

ΜΕτὰ ταῦτα εἶδον, καὶ ἰδού, θύρα ἠνεῳγμένη ἐν τῷ Ἀποκ.
οὐρανῷ· καὶ ἡ φωνὴ ἡ πρώτη ἣν ἤκουσα, ὡς σάλ- Δ′ 1.
πιγγος λαλούσης μετ᾽ ἐμοῦ· λέγουσα, Ἀνάβα ὧδε, καὶ δείξω σοι ἃ δεῖ γενέσθαι μετὰ ταῦτα. Καὶ εὐθέως ἐγενόμην ἐν Πνεύματι· καὶ ἰδού, θρόνος ἔκειτο ἐν τῷ οὐρανῷ, καὶ ἐπὶ τοῦ θρόνου καθήμενος, καὶ ὁ καθήμενος ἦν ὅμοιος ὁράσει λίθῳ ἰάσπιδι καὶ σαρδίνῳ· καὶ ἶρις κυκλόθεν τοῦ θρόνου, ὅμοιος ὁράσει σμαραγδίνῳ. Καὶ κυκλόθεν τοῦ θρόνου θρόνοι εἴκοσι καὶ τέσσαρες· καὶ ἐπὶ τοὺς θρόνους εἶδον τοὺς εἴκοσι καὶ τέσσαρας πρεσβυτέρους καθημένους, περιβεβλημένους ἐν ἱματίοις λευκοῖς· καὶ ἔσχον ἐπὶ τὰς κεφαλὰς αὐτῶν στεφάνους χρυσοῦς. Καὶ ἐκ τοῦ θρόνου ἐκπορεύονται ἀστραπαί, καὶ βρονταί, καὶ φωναί. Καὶ ἑπτὰ λαμπάδες πυρὸς καιόμεναι ἐνώπιον τοῦ θρόνου, αἵ εἰσι τὰ ἑπτὰ πνεύματα τοῦ Θεοῦ. Καὶ ἐνώπιον τοῦ θρόνου θάλασσα ὑαλίνη

ὁμοία κρυστάλλῳ· καὶ ἐν μέσῳ τοῦ θρόνου, καὶ κύκλῳ τοῦ θρόνου τέσσαρα ζῶα γέμοντα ὀφθαλμῶν ἔμπροσθεν καὶ ὄπισθεν. Καὶ τὸ ζῶον τὸ πρῶτον ὅμοιον λέοντι, καὶ τὸ δεύτερον ζῶον ὅμοιον μόσχῳ, καὶ τὸ τρίτον ζῶον ἔχον τὸ πρόσωπον ὡς ἄνθρωπος, καὶ τὸ τέταρτον ζῶον ὅμοιον ἀετῷ πετωμένῳ. Καὶ τέσσαρα ζῶα ἓν καθ' ἑαυτὸ εἶχον ἀνὰ πτέρυγας ἓξ κυκλόθεν, καὶ ἔσωθεν γέμοντα ὀφθαλμῶν, καὶ ἀνάπαυσιν οὐκ ἔχουσιν ἡμέρας καὶ νυκτός, λέγοντα, Ἅγιος, ἅγιος, ἅγιος, Κύριος ὁ Θεὸς ὁ Παντοκράτωρ, ὁ ἦν, καὶ ὁ ὤν, καὶ ὁ ἐρχόμενος. Καὶ ὅταν δώσουσι τὰ ζῶα δόξαν, καὶ τιμήν, καὶ εὐχαριστίαν τῷ καθημένῳ ἐπὶ τοῦ θρόνου, τῷ ζῶντι εἰς τοὺς αἰῶνας τῶν αἰώνων, πεσοῦνται οἱ εἴκοσι καὶ τέσσαρες πρεσβύτεροι ἐνώπιον τοῦ καθημένου ἐπὶ τοῦ θρόνου, καὶ προσκυνήσουσι τῷ ζῶντι εἰς τοὺς αἰῶνας τῶν αἰώνων, καὶ βαλοῦσι τοὺς στεφάνους αὐτῶν ἐνώπιον τοῦ θρόνου, λέγοντες, Ἄξιος εἶ, Κύριε, λαβεῖν τὴν δόξαν, καὶ τὴν τιμήν, καὶ τὴν δύναμιν· ὅτι σὺ ἔκτισας τὰ πάντα, καὶ διὰ τὸ θέλημά σου εἰσὶ καὶ ἐκτίσθησαν.

Εὐαγγέλιον.

Ἰωάν. Γ′ 1. ἮΝ ἄνθρωπος ἐκ τῶν Φαρισαίων, Νικόδημος ὄνομα αὐτῷ, ἄρχων τῶν Ἰουδαίων. Οὗτος ἦλθε πρὸς τὸν Ἰησοῦν νυκτός, καὶ εἶπεν αὐτῷ, Ῥαββί, οἴδαμεν ὅτι ἀπὸ Θεοῦ ἐλήλυθας διδάσκαλος· Οὐδεὶς γὰρ ταῦτα τὰ σημεῖα δύναται ποιεῖν ἃ σὺ ποιεῖς, ἐὰν μὴ ᾖ ὁ Θεὸς μετ' αὐτοῦ. Ἀπεκρίθη ὁ Ἰησοῦς καὶ εἶπεν αὐτῷ, Ἀμήν, ἀμὴν λέγω σοι, Ἐὰν μή τις γεννηθῇ ἄνωθεν, οὐ δύναται ἰδεῖν τὴν βασιλείαν τοῦ Θεοῦ. Λέγει πρὸς αὐτὸν ὁ Νικόδημος, Πῶς δύναται ἄνθρωπος γεννηθῆναι γέρων ὤν; μὴ δύναται εἰς τὴν κοιλίαν τῆς μητρὸς αὐτοῦ δεύτερον εἰσελθεῖν, καὶ γεννηθῆναι; Ἀπεκρίθη ὁ Ἰησοῦς, Ἀμήν, ἀμὴν λέγω σοι, Ἐὰν μή τις γεννηθῇ ἐξ ὕδατος, καὶ Πνεύματος, οὐ δύναται εἰσελθεῖν εἰς

τὴν βασιλείαν τοῦ Θεοῦ. Τὸ γεγεννημένον ἐκ τῆς σαρκός, σάρξ ἐστι· καὶ τὸ γεγεννημένον ἐκ τοῦ Πνεύματος, Πνεῦμά ἐστι. Μὴ θαυμάσῃς ὅτι εἶπόν σοι, Δεῖ ὑμᾶς γεννηθῆναι ἄνωθεν. Τὸ πνεῦμα ὅπου θέλει πνεῖ, καὶ τὴν φωνὴν αὐτοῦ ἀκούεις· ἀλλ' οὐκ οἶδας πόθεν ἔρχεται, καὶ ποῦ ὑπάγει· οὕτως ἐστὶ πᾶς ὁ γεγεννημένος ἐκ τοῦ Πνεύματος. Ἀπεκρίθη Νικόδημος καὶ εἶπεν αὐτῷ· Πῶς δύναται ταῦτα γενέσθαι; Ἀπεκρίθη ὁ Ἰησοῦς καὶ εἶπεν αὐτῷ, Σὺ εἶ ὁ διδάσκαλος τοῦ Ἰσραήλ, καὶ ταῦτα οὐ γινώσκεις; Ἀμήν, ἀμὴν λέγω σοι, ὅτι Ὃ οἴδαμεν λαλοῦμεν, καὶ ὃ ἑωράκαμεν μαρτυροῦμεν, καὶ τὴν μαρτυρίαν ἡμῶν οὐ λαμβάνετε. Εἰ τὰ ἐπίγεια εἶπον ὑμῖν, καὶ οὐ πιστεύετε· πῶς ἐὰν εἴπω ὑμῖν τὰ ἐπουράνια πιστεύσετε; Καὶ οὐδεὶς ἀναβέβηκεν εἰς τὸν οὐρανόν, εἰ μὴ ὁ ἐκ τοῦ οὐρανοῦ καταβάς, ὁ Υἱὸς τοῦ ἀνθρώπου, ὁ ὢν ἐν τῷ οὐρανῷ. Καὶ καθὼς Μωσῆς ὕψωσε τὸν ὄφιν ἐν τῇ ἐρήμῳ· οὕτως ὑψωθῆναι δεῖ τὸν Υἱὸν τοῦ ἀνθρώπου· ἵνα πᾶς ὁ πιστεύων εἰς αὐτόν, μὴ ἀπόληται, ἀλλ' ἔχῃ ζωὴν αἰώνιον.

ΚΥΡΙΑΚΗ ΠΡΩΤΗ ΜΕΤΑ ΤΗΝ ΤΗΣ ΑΓΙΑΣ ΤΡΙΑΔΟΣ.

Εὐχή.

Ὁ Θεός, ὁ ἀντιλήπτωρ πάντων τῶν ἐλπιζόντων ἐπὶ Σέ, τῇ ἐπικλήσει ἡμῶν ἵλεως πάρεσο· καὶ διότι χωρὶς Σοῦ ὅλως ἀδυνατεῖ ἡ τῶν θνητῶν ἀσθένεια, αὐτὸς χορήγησον ἡμῖν τὴν βοήθειαν τῆς χάριτός σου, ἵνα ἐν τῇ τηρήσει τῶν ἐντολῶν σου κατὰ θέλησίν τε καὶ πρᾶξιν εὐαρεστῶμέν σοι, διὰ Ἰησοῦ Χριστοῦ τοῦ Κυρίου ἡμῶν. Ἀμήν.

Ἐπιστολή.

Ἀγαπητοί, ἀγαπῶμεν ἀλλήλους· ὅτι ἡ ἀγάπη ἐκ τοῦ Θεοῦ Α' Ἰωάν.
ἐστι, καὶ πᾶς ὁ ἀγαπῶν ἐκ τοῦ Θεοῦ γεγέννηται, καὶ Δ' 7.

γινώσκει τὸν Θεόν. Ὁ μὴ ἀγαπῶν, οὐκ ἔγνω τὸν Θεόν· ὅτι ὁ Θεὸς ἀγάπη ἐστίν. Ἐν τούτῳ ἐφανερώθη ἡ ἀγάπη τοῦ Θεοῦ ἐν ἡμῖν, ὅτι τὸν Υἱὸν αὐτοῦ τὸν μονογενῆ ἀπέσταλκεν ὁ Θεὸς εἰς τὸν κόσμον, ἵνα ζήσωμεν δι᾽ αὐτοῦ. Ἐν τούτῳ ἐστὶν ἡ ἀγάπη, οὐχ ὅτι ἡμεῖς ἠγαπήσαμεν τὸν Θεόν, ἀλλ᾽ ὅτι αὐτὸς ἠγάπησεν ἡμᾶς, καὶ ἀπέστειλε τὸν Υἱὸν αὐτοῦ ἱλασμὸν περὶ τῶν ἁμαρτιῶν ἡμῶν. Ἀγαπητοί, εἰ οὕτως ὁ Θεὸς ἠγάπησεν ἡμᾶς, καὶ ἡμεῖς ὀφείλομεν ἀλλήλους ἀγαπᾷν. Θεὸν οὐδεὶς πώποτε τεθέαται. Ἐὰν ἀγαπῶμεν ἀλλήλους, ὁ Θεὸς ἐν ἡμῖν μένει, καὶ ἡ ἀγάπη αὐτοῦ τετελειωμένη ἐστὶν ἐν ἡμῖν. Ἐν τούτῳ γινώσκομεν ὅτι ἐν αὐτῷ μένομεν, καὶ αὐτὸς ἐν ἡμῖν, ὅτι ἐκ τοῦ Πνεύματος αὐτοῦ δέδωκεν ἡμῖν. Καὶ ἡμεῖς τεθεάμεθα καὶ μαρτυροῦμεν, ὅτι ὁ Πατὴρ ἀπέσταλκε τὸν Υἱὸν Σωτῆρα τοῦ κόσμου. Ὃς ἂν ὁμολογήσῃ ὅτι Ἰησοῦς ἐστιν ὁ Υἱὸς τοῦ Θεοῦ, ὁ Θεὸς ἐν αὐτῷ μένει, καὶ αὐτὸς ἐν τῷ Θεῷ. Καὶ ἡμεῖς ἐγνώκαμεν καὶ πεπιστεύκαμεν τὴν ἀγάπην ἣν ἔχει ὁ Θεὸς ἐν ἡμῖν. Ὁ Θεὸς ἀγάπη ἐστί· καὶ ὁ μένων ἐν τῇ ἀγάπῃ, ἐν τῷ Θεῷ μένει, καὶ ὁ Θεὸς ἐν αὐτῷ. Ἐν τούτῳ τετελείωται ἡ ἀγάπη μεθ᾽ ἡμῶν, ἵνα παρρησίαν ἔχωμεν ἐν τῇ ἡμέρᾳ τῆς κρίσεως, ὅτι καθὼς ἐκεῖνός ἐστι, καὶ ἡμεῖς ἐσμεν ἐν τῷ κόσμῳ τούτῳ. Φόβος οὐκ ἔστιν ἐν τῇ ἀγάπῃ, ἀλλ᾽ ἡ τελεία ἀγάπη ἔξω βάλλει τὸν φόβον, ὅτι ὁ φόβος κόλασιν ἔχει· Ὁ δὲ φοβούμενος οὐ τετελείωται ἐν τῇ ἀγάπῃ. Ἡμεῖς ἀγαπῶμεν αὐτόν, ὅτι αὐτὸς πρῶτος ἠγάπησεν ἡμᾶς. Ἐάν τις εἴπῃ ὅτι Ἀγαπῶ τὸν Θεόν, καὶ τὸν ἀδελφὸν αὐτοῦ μισῇ, ψεύστης ἐστίν· ὁ γὰρ μὴ ἀγαπῶν τὸν ἀδελφὸν αὐτοῦ, ὃν ἑώρακε, τὸν Θεόν, ὃν οὐχ ἑώρακεν, πῶς δύναται ἀγαπᾷν; Καὶ ταύτην τὴν ἐντολὴν ἔχομεν ἀπ᾽ αὐτοῦ, ἵνα ὁ ἀγαπῶν τὸν Θεόν, ἀγαπᾷ καὶ τὸν ἀδελφὸν αὐτοῦ.

ΚΥΡΙΑΚΗ Α΄ ΜΕΤΑ ΤΗΝ ΤΗΣ ΤΡΙΑΔΟΣ

Εὐαγγέλιον.

ἌΝθρωπός τις ἦν πλούσιος, καὶ ἐνεδιδύσκετο πορφύραν, Λουκ.
καὶ βύσσον, εὐφραινόμενος καθ᾽ ἡμέραν λαμπρῶς. ΙϚ΄ 19.
Πτωχὸς δέ τις ἦν ὀνόματι Λάζαρος, ὃς ἐβέβλητο πρὸς τὸν πυλῶνα αὐτοῦ ἡλκωμένος· καὶ ἐπιθυμῶν χορτασθῆναι ἀπὸ τῶν ψιχίων, τῶν πιπτόντων ἀπὸ τῆς τραπέζης τοῦ πλουσίου· ἀλλὰ καὶ οἱ κύνες ἐρχόμενοι ἀπέλειχον τὰ ἕλκη αὐτοῦ. Ἐγένετο δὲ ἀποθανεῖν τὸν πτωχόν, καὶ ἀπενεχθῆναι αὐτὸν ὑπὸ τῶν ἀγγέλων εἰς τὸν κόλπον τοῦ Ἀβραάμ· ἀπέθανε δὲ καὶ ὁ πλούσιος καὶ ἐτάφη. Καὶ ἐν τῷ ᾅδῃ ἐπάρας τοὺς ὀφθαλμοὺς αὐτοῦ ὑπάρχων ἐν βασάνοις, ὁρᾷ τὸν Ἀβραὰμ ἀπὸ μακρόθεν, καὶ Λάζαρον ἐν τοῖς κόλποις αὐτοῦ. Καὶ αὐτὸς φωνήσας εἶπε, Πάτερ Ἀβραάμ, ἐλέησόν με, καὶ πέμψον Λάζαρον ἵνα βάψῃ τὸ ἄκρον τοῦ δακτύλου αὐτοῦ ὕδατος, καὶ καταψύξῃ τὴν γλῶσσάν μου, ὅτι ὀδυνῶμαι ἐν τῇ φλογὶ ταύτῃ. Εἶπε δὲ Ἀβραάμ, Τέκνον, μνήσθητι, ὅτι ἀπέλαβες σὺ τὰ ἀγαθά σου ἐν τῇ ζωῇ σου, καὶ Λάζαρος ὁμοίως τὰ κακά· νῦν δὲ ὅδε παρακαλεῖται, σὺ δὲ ὀδυνᾶσαι. Καὶ ἐπὶ πᾶσι τούτοις, μεταξὺ ἡμῶν καὶ ὑμῶν χάσμα μέγα ἐστήρικται· ὅπως οἱ θέλοντες διαβῆναι ἔνθεν πρὸς ὑμᾶς μὴ δύνωνται· μηδὲ οἱ ἐκεῖθεν πρὸς ἡμᾶς διαπερῶσιν. Εἶπε δέ, Ἐρωτῶ οὖν σε, πάτερ, ἵνα πέμψῃς αὐτὸν εἰς τὸν οἶκον τοῦ πατρός μου· Ἔχω γὰρ πέντε ἀδελφούς· ὅπως διαμαρτύρηται αὐτοῖς, ἵνα μὴ καὶ αὐτοὶ ἔλθωσιν εἰς τὸν τόπον τοῦτον τῆς βασάνου. Λέγει αὐτῷ Ἀβραάμ, Ἔχουσι Μωυσέα καὶ τοὺς προφήτας· ἀκουσάτωσαν αὐτῶν. Ὁ δὲ εἶπεν, Οὐχί, πάτερ Ἀβραάμ· ἀλλ᾽ ἐάν τις ἀπὸ νεκρῶν πορευθῇ πρὸς αὐτούς, μετανοήσουσιν. Εἶπε δὲ αὐτῷ, Εἰ Μωυσέως καὶ τῶν προφητῶν οὐκ ἀκούουσιν, οὐδὲ ἐάν τις ἐκ νεκρῶν ἀναστῇ, πεισθήσονται.

ΚΥΡΙΑΚΗ Β′ ΜΕΤΑ ΤΗΝ ΤΗΣ ΤΡΙΑΔΟΣ

ΚΥΡΙΑΚΗ ΔΕΥΤΕΡΑ ΜΕΤΑ ΤΗΝ ΤΗΣ ΤΡΙΑΔΟΣ.

Εὐχή.

ΚΥριε ὁ μήποτε τῆς σῆς βοηθείας καὶ κυβερνήσεως ἐκείνους ἀποστερῶν οὓς ἐν τῷ ἑδραίῳ σου φόβῳ καὶ ἀγάπῃ ἀνατρέφεις· Αὐτός, δεόμεθά σου, διαφύλαξον ἡμᾶς ὑπὸ τὴν σκέπην τῆς ἀγαθῆς σου προνοίας, καὶ ποίησον ἡμᾶς διηνεκῆ ἔχειν τὸν φόβον καὶ τὴν ἀγάπην τοῦ ἁγίου σου Ὀνόματος, διὰ Ἰησοῦ Χριστοῦ τοῦ Κυρίου ἡμῶν. Ἀμήν.

Ἐπιστολή.

Α′ Ἰωάν. Γ′ 13.

ΜΗ θαυμάζετε, ἀδελφοί μου, εἰ μισεῖ ὑμᾶς ὁ κόσμος. Ἡμεῖς οἴδαμεν ὅτι μεταβεβήκαμεν ἐκ τοῦ θανάτου εἰς τὴν ζωήν, ὅτι ἀγαπῶμεν τοὺς ἀδελφούς· Ὁ μὴ ἀγαπῶν τὸν ἀδελφὸν μένει ἐν τῷ θανάτῳ. Πᾶς ὁ μισῶν τὸν ἀδελφὸν αὐτοῦ, ἀνθρωποκτόνος ἐστί· καὶ οἴδατε ὅτι πᾶς ἀνθρωποκτόνος οὐκ ἔχει ζωὴν αἰώνιον ἐν αὐτῷ μένουσαν. Ἐν τούτῳ ἐγνώκαμεν τὴν ἀγάπην, ὅτι ἐκεῖνος ὑπὲρ ἡμῶν τὴν ψυχὴν αὐτοῦ ἔθηκε· καὶ ἡμεῖς ὀφείλομεν ὑπὲρ τῶν ἀδελφῶν τὰς ψυχὰς τιθέναι. Ὃς δ᾽ ἂν ἔχῃ τὸν βίον τοῦ κόσμου, καὶ θεωρῇ τὸν ἀδελφὸν αὐτοῦ χρείαν ἔχοντα, καὶ κλείσῃ τὰ σπλάγχνα αὐτοῦ ἀπ᾽ αὐτοῦ· πῶς ἡ ἀγάπη τοῦ Θεοῦ μένει ἐν αὐτῷ; Τεκνία μου, μὴ ἀγαπῶμεν λόγῳ, μηδὲ γλώσσῃ· ἀλλ᾽ ἔργῳ καὶ ἀληθείᾳ. Καὶ ἐν τούτῳ γινώσκομεν ὅτι ἐκ τῆς ἀληθείας ἐσμέν, καὶ ἔμπροσθεν αὐτοῦ πείσομεν τὰς καρδίας ἡμῶν. Ὅτι ἐὰν καταγινώσκῃ ἡμῶν ἡ καρδία, ὅτι μείζων ἐστὶν ὁ Θεὸς τῆς καρδίας ἡμῶν, καὶ γινώσκει πάντα. Ἀγαπητοί, ἐὰν ἡ καρδία ἡμῶν μὴ καταγινώσκῃ ἡμῶν, παρρησίαν ἔχομεν πρὸς τὸν Θεόν. Καὶ ὃ ἐὰν αἰτῶμεν, λαμβάνομεν παρ᾽ αὐτοῦ, ὅτι τὰς ἐντολὰς αὐτοῦ τηροῦμεν, καὶ τὰ ἀρεστὰ ἐνώπιον αὐτοῦ ποιοῦμεν. Καὶ αὕτη ἐστὶν ἡ ἐντολὴ αὐτοῦ, ἵνα πιστεύσωμεν τῷ Ὀνόματι τοῦ Υἱοῦ

αὐτοῦ Ἰησοῦ Χριστοῦ, καὶ ἀγαπῶμεν ἀλλήλους καθὼς ἔδωκεν ἐντολὴν ἡμῖν. Καὶ ὁ τηρῶν τὰς ἐντολὰς αὐτοῦ ἐν αὐτῷ μένει, καὶ αὐτὸς ἐν αὐτῷ· καὶ ἐν τούτῳ γινώσκομεν ὅτι μένει ἐν ἡμῖν, ἐκ τοῦ Πνεύματος οὗ ἡμῖν ἔδωκεν.

Εὐαγγέλιον.

ἌΝθρωπός τις ἐποίησε δεῖπνον μέγα, καὶ ἐκάλεσε πολλούς· Λουκ.
Καὶ ἀπέστειλε τὸν δοῦλον αὐτοῦ τῇ ὥρᾳ τοῦ δείπνου ΙΔ' 16.
εἰπεῖν τοῖς κεκλημένοις, Ἔρχεσθε, ὅτι ἤδη ἕτοιμά ἐστι πάντα. Καὶ ἤρξαντο ἀπὸ μιᾶς παραιτεῖσθαι πάντες. Ὁ πρῶτος εἶπεν αὐτῷ, Ἀγρὸν ἠγόρασα, καὶ ἔχω ἀνάγκην ἐξελθεῖν καὶ ἰδεῖν αὐτόν· ἐρωτῶ σε ἔχε με παρῃτημένον. Καὶ ἕτερος εἶπε, Ζεύγη βοῶν ἠγόρασα πέντε, καὶ πορεύομαι δοκιμάσαι αὐτά· ἐρωτῶ σε ἔχε με παρῃτημένον. Καὶ ἕτερος εἶπε, Γυναῖκα ἔγημα, καὶ διὰ τοῦτο οὐ δύναμαι ἐλθεῖν. Καὶ παραγενόμενος ὁ δοῦλος ἐκεῖνος ἀπήγγειλε τῷ Κυρίῳ αὐτοῦ ταῦτα. Τότε ὀργισθεὶς ὁ οἰκοδεσπότης εἶπε τῷ δούλῳ αὐτοῦ, Ἔξελθε ταχέως εἰς τὰς πλατείας καὶ ῥύμας τῆς πόλεως, καὶ τοὺς πτωχούς, καὶ ἀναπήρους, καὶ χωλούς, καὶ τυφλοὺς εἰσάγαγε ὧδε. Καὶ εἶπεν ὁ δοῦλος, Κύριε, γέγονεν ὡς ἐπέταξας, καὶ ἔτι τόπος ἐστί. Καὶ εἶπεν ὁ Κύριος πρὸς τὸν δοῦλον, Ἔξελθε εἰς τὰς ὁδούς, καὶ φραγμούς, καὶ ἀνάγκασον εἰσελθεῖν, ἵνα γεμισθῇ ὁ οἶκός μου. Λέγω γὰρ ὑμῖν, ὅτι οὐδεὶς τῶν ἀνδρῶν ἐκείνων τῶν κεκλημένων γεύσεταί μου τοῦ Δείπνου.

ΚΥΡΙΑΚΗ ΤΡΙΤΗ ΜΕΤΑ ΤΗΝ ΤΗΣ ΤΡΙΑΔΟΣ.

Εὐχή.

ΔΕόμεθά σου, Κύριε, ἵλεως ἐπάκουσον ἡμῶν· καὶ οἷς τὴν προθυμίαν ἐδωρήσω τοῦ προσεύχεσθαι, ἐν πάσῃ

περιστάσει καὶ δυστυχίᾳ τὴν τῆς κραταιᾶς σου βοηθείας παράσχου ὑπεράσπισιν καὶ παραμυθίαν, διὰ Ἰησοῦ Χριστοῦ τοῦ Κυρίου ἡμῶν. Ἀμήν.

Ἐπιστολή.

Α' Πέτρ. Ε' 5. ΠΑντες ἀλλήλοις ὑποτασσόμενοι, τὴν ταπεινοφροσύνην ἐγκομβώσασθε· ὅτι ὁ Θεὸς ὑπερηφάνοις ἀντιτάσσεται, ταπεινοῖς δὲ δίδωσι χάριν. Ταπεινώθητε οὖν ὑπὸ τὴν κραταιὰν χεῖρα τοῦ Θεοῦ, ἵνα ὑμᾶς ὑψώσῃ ἐν καιρῷ· πᾶσαν τὴν μέριμναν ὑμῶν ἐπιρρίψαντες ἐπ' αὐτόν, ὅτι αὐτῷ μέλει περὶ ὑμῶν. Νήψατε, γρηγορήσατε, ὅτι ὁ ἀντίδικος ὑμῶν διάβολος, ὡς λέων ὠρυόμενος, περιπατεῖ ζητῶν τίνα καταπίῃ. Ὧ ἀντίστητε στερεοὶ τῇ πίστει, εἰδότες τὰ αὐτὰ τῶν παθημάτων τῇ ἐν κόσμῳ ὑμῶν ἀδελφότητι ἐπιτελεῖσθαι. Ὁ δὲ Θεὸς πάσης χάριτος, ὁ καλέσας ἡμᾶς εἰς τὴν αἰώνιον αὐτοῦ δόξαν ἐν Χριστῷ Ἰησοῦ, ὀλίγον παθόντας, αὐτὸς καταρτίσαι ὑμᾶς, στηρίξαι, σθενώσαι, θεμελιώσαι. Αὐτῷ ἡ δόξα καὶ τὸ κράτος εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

Εὐαγγέλιον.

Λουκ. ΙΕ' 1. Ἦσαν δὲ ἐγγίζοντες αὐτῷ πάντες οἱ τελῶναι καὶ οἱ ἁμαρτωλοὶ ἀκούειν αὐτοῦ. Καὶ διεγόγγυζον οἱ Φαρισαῖοι καὶ οἱ Γραμματεῖς, λέγοντες ὅτι Οὗτος ἁμαρτωλοὺς προσδέχεται, καὶ συνεσθίει αὐτοῖς. Εἶπε δὲ πρὸς αὐτοὺς τὴν παραβολὴν ταύτην, λέγων, Τίς ἄνθρωπος ἐξ ὑμῶν ἔχων ἑκατὸν πρόβατα, καὶ ἀπολέσας ἓν ἐξ αὐτῶν, οὐ καταλείπει τὰ ἐννενηκονταεννέα ἐν τῇ ἐρήμῳ, καὶ πορεύεται ἐπὶ τὸ ἀπολωλός, ἕως εὕρῃ αὐτό; Καὶ εὑρών, ἐπιτίθησιν ἐπὶ τοὺς ὤμους ἑαυτοῦ, χαίρων. Καὶ ἐλθὼν εἰς τὸν οἶκον, συγκαλεῖ τοὺς φίλους καὶ τοὺς γείτονας λέγων αὐτοῖς, Συγχάρητέ μοι, ὅτι εὗρον τὸ πρόβατόν μου τὸ ἀπολωλός. Λέγω ὑμῖν, ὅτι οὕτω χαρὰ ἔσται ἐν τῷ οὐρανῷ ἐπὶ ἑνὶ

ἁμαρτωλῷ μετανοοῦντι, ἢ ἐπὶ ἐννενηκονταεννέα δικαίοις, οἵτινες οὐ χρείαν ἔχουσι μετανοίας. Ἢ τίς γυνή, δραχμὰς ἔχουσα δέκα, ἐὰν ἀπολέσῃ δραχμὴν μίαν, οὐχὶ ἅπτει λύχνον, καὶ σαροῖ τὴν οἰκίαν, καὶ ζητεῖ ἐπιμελῶς ἕως ὅτου εὕρῃ; Καὶ εὑροῦσα, συγκαλεῖται τὰς φίλας καὶ τὰς γείτονας, λέγουσα, Συγχάρητέ μοι, ὅτι εὗρον τὴν δραχμὴν ἣν ἀπώλεσα. Οὕτω λέγω ὑμῖν, Χαρὰ γίνεται ἐνώπιον τῶν ἀγγέλων τοῦ Θεοῦ, ἐπὶ ἑνὶ ἁμαρτωλῷ μετανοοῦντι.

ΚΥΡΙΑΚΗ ΤΕΤΑΡΤΗ ΜΕΤΑ ΤΗΝ ΤΗΣ ΤΡΙΑΔΟΣ.

Εὐχή.

Ὁ Θεός, ὁ ὑπερασπιστὴς πάντων τῶν ἐλπιζόντων ἐπὶ Σέ, οὗ χωρὶς οὐδέν ἐστιν ἰσχυρόν, οὐδὲν ἅγιον· Πλήθυνον ἐφ' ἡμᾶς τὸ ἔλεός σου, ἵνα Σοῦ διευθύνοντος καὶ ὁδηγοῦντος ἡμᾶς, οὕτω τὰ πρόσκαιρα διέλθωμεν, ὥστε μὴ ἐπὶ τέλους ἀποβαλέσθαι τὰ αἰώνια· Τοῦτο παράσχου, ἐπουράνιε Πάτερ, διὰ Ἰησοῦν Χριστὸν τὸν Κύριον ἡμῶν. Ἀμήν.

Ἀπόστολος.

ΛΟγίζομαι ὅτι οὐκ ἄξια τὰ παθήματα τοῦ νῦν καιροῦ Ῥωμ.
πρὸς τὴν μέλλουσαν δόξαν ἀποκαλυφθῆναι εἰς ἡμᾶς. Η' 18.
Ἡ γὰρ ἀποκαραδοκία τῆς κτίσεως τὴν ἀποκάλυψιν τῶν υἱῶν τοῦ Θεοῦ ἀπεκδέχεται. Τῇ γὰρ ματαιότητι ἡ κτίσις ὑπετάγη, οὐχ ἑκοῦσα, ἀλλὰ διὰ τὸν ὑποτάξαντα ἐπ' ἐλπίδι· Ὅτι καὶ αὐτὴ ἡ κτίσις ἐλευθερωθήσεται ἀπὸ τῆς δουλείας τῆς φθορᾶς εἰς τὴν ἐλευθερίαν τῆς δόξης τῶν τέκνων τοῦ Θεοῦ. Οἴδαμεν γὰρ ὅτι πᾶσα ἡ κτίσις συστενάζει καὶ συνωδίνει ἄχρι τοῦ νῦν. Οὐ μόνον δέ, ἀλλὰ καὶ αὐτοί, τὴν ἀπαρχὴν τοῦ πνεύματος ἔχοντες, καὶ ἡμεῖς αὐτοὶ ἐν ἑαυτοῖς στενάζομεν, υἱοθεσίαν ἀπεκδεχόμενοι, τὴν ἀπολύτρωσιν τοῦ σώματος ἡμῶν.

ΚΥΡΙΑΚΗ Ε′ ΜΕΤΑ ΤΗΝ ΤΗΣ ΤΡΙΑΔΟΣ

Εὐαγγέλιον.

Λουκ. ϛ′ 36. ΓΙνεσθε οὖν οἰκτίρμονες, καθὼς καὶ ὁ Πατὴρ ὑμῶν οἰκτίρμων ἐστί. Καὶ μὴ κρίνετε, καὶ οὐ μὴ κριθῆτε· μὴ καταδικάζετε, καὶ οὐ μὴ καταδικασθῆτε· ἀπολύετε, καὶ ἀπολυθήσεσθε· δίδοτε, καὶ δοθήσεται ὑμῖν· μέτρον καλόν, πεπιεσμένον, καὶ σεσαλευμένον, καὶ ὑπερεκχυνόμενον δώσουσιν εἰς τὸν κόλπον ὑμῶν. Τῷ γὰρ αὐτῷ μέτρῳ ᾧ μετρεῖτε, ἀντιμετρηθήσεται ὑμῖν. Εἶπε δὲ παραβολὴν αὐτοῖς, Μήτι δύναται τυφλὸς τυφλὸν ὁδηγεῖν; οὐχὶ ἀμφότεροι εἰς βόθυνον πεσοῦνται; Οὐκ ἔστι μαθητὴς ὑπὲρ τὸν διδάσκαλον αὐτοῦ· κατηρτισμένος δὲ πᾶς ἔσται ὡς ὁ διδάσκαλος αὐτοῦ. Τί δὲ βλέπεις τὸ κάρφος τὸ ἐν τῷ ὀφθαλμῷ τοῦ ἀδελφοῦ σου, τὴν δὲ δοκὸν τὴν ἐν τῷ ἰδίῳ ὀφθαλμῷ οὐ κατανοεῖς; Ἢ πῶς δύνασαι λέγειν τῷ ἀδελφῷ σου, Ἀδελφέ, ἄφες ἐκβάλω τὸ κάρφος τὸ ἐν τῷ ὀφθαλμῷ σου, αὐτὸς τὴν ἐν τῷ ὀφθαλμῷ σου δοκὸν οὐ βλέπων; Ὑποκριτά, ἔκβαλε πρῶτον τὴν δοκὸν ἐκ τοῦ ὀφθαλμοῦ σου, καὶ τότε διαβλέψεις ἐκβαλεῖν τὸ κάρφος τὸ ἐν τῷ ὀφθαλμῷ τοῦ ἀδελφοῦ σου.

ΚΥΡΙΑΚΗ ΠΕΜΠΤΗ ΜΕΤΑ ΤΗΝ ΤΗΣ ΤΡΙΑΔΟΣ.

Εὐχή.

ΠΑράσχου, Κύριε, δεόμεθά σου, ἵνα ὁ δρόμος τοῦ κόσμου τούτου οὕτω διὰ τῆς σῆς κυβερνήσεως ἐν εἰρήνῃ διευθύνηται, ὥστε τὴν Ἐκκλησίαν σου χαίρουσαν ἐν πάσῃ Σοὶ λατρεύειν ἠρεμίᾳ, διὰ Ἰησοῦ Χριστοῦ τοῦ Κυρίου ἡμῶν. Ἀμήν.

Ἐπιστολή.

Α′ Πέτρ. Γ′ 8. ΠΑντες ὁμόφρονες, συμπαθεῖς, φιλάδελφοι, εὔσπλαγχνοι, φιλόφρονες· μὴ ἀποδιδόντες κακὸν ἀντὶ κακοῦ, ἢ

λοιδορίαν ἀντὶ λοιδορίας· τοὐναντίον δὲ εὐλογοῦντες· εἰδότες ὅτι εἰς τοῦτο ἐκλήθητε, ἵνα εὐλογίαν κληρονομήσητε. Ὁ γὰρ θέλων ζωὴν ἀγαπᾷν, καὶ ἰδεῖν ἡμέρας ἀγαθάς, παυσάτω τὴν γλῶσσαν αὐτοῦ ἀπὸ κακοῦ, καὶ χείλη αὐτοῦ τοῦ μὴ λαλῆσαι δόλον. Ἐκκλινάτω ἀπὸ κακοῦ, καὶ ποιησάτω ἀγαθόν· ζητησάτω εἰρήνην, καὶ διωξάτω αὐτήν. Ὅτι οἱ ὀφθαλμοὶ Κυρίου ἐπὶ δικαίους, καὶ ὦτα αὐτοῦ εἰς δέησιν αὐτῶν· πρόσωπον δὲ Κυρίου ἐπὶ ποιοῦντας κακά. Καὶ τίς ὁ κακώσων ὑμᾶς, ἐὰν τοῦ ἀγαθοῦ μιμηταὶ γένησθε; Ἀλλ' εἰ καὶ πάσχοιτε διὰ δικαιοσύνην, μακάριοι, τὸν δὲ φόβον αὐτῶν μὴ φοβηθῆτε, μηδὲ ταραχθῆτε· Κύριον δὲ τὸν Θεὸν ἁγιάσατε ἐν ταῖς καρδίαις ὑμῶν.

Εὐαγγέλιον.

ἘΓένετο, ἐν τῷ τὸν ὄχλον ἐπικεῖσθαι αὐτῷ τοῦ ἀκούειν τὸν λόγον τοῦ Θεοῦ, καὶ αὐτὸς ἦν ἑστὼς παρὰ τὴν λίμνην Γεννησαρέτ· καὶ εἶδε δύο πλοῖα ἑστῶτα παρὰ τὴν λίμνην· οἱ δὲ ἁλιεῖς ἀποβάντες ἀπ' αὐτῶν ἀπέπλυναν τὰ δίκτυα. Ἐμβὰς δὲ εἰς ἓν τῶν πλοίων, ὃ ἦν τοῦ Σίμωνος, ἠρώτησεν αὐτὸν ἀπὸ τῆς γῆς ἐπαναγαγεῖν ὀλίγον· καὶ καθίσας ἐδίδασκεν ἐκ τοῦ πλοίου τοὺς ὄχλους. Ὡς δὲ ἐπαύσατο λαλῶν, εἶπε πρὸς τὸν Σίμωνα, Ἐπανάγαγε εἰς τὸ βάθος, καὶ χαλάσατε τὰ δίκτυα ὑμῶν εἰς ἄγραν. Καὶ ἀποκριθεὶς ὁ Σίμων εἶπεν αὐτῷ, Ἐπιστάτα, δι' ὅλης τῆς νυκτὸς κοπιάσαντες, οὐδὲν ἐλάβομεν· ἐπὶ δὲ τῷ ῥήματί σου χαλάσω τὸ δίκτυον. Καὶ τοῦτο ποιήσαντες, συνέκλεισαν ἰχθύων πλῆθος πολύ, διερρήγνυτο δὲ τὸ δίκτυον αὐτῶν. Καὶ κατένευσαν τοῖς μετόχοις τοῖς ἐν τῷ ἑτέρῳ πλοίῳ, τοῦ ἐλθόντας συλλαβέσθαι αὐτοῖς. Καὶ ἦλθον καὶ ἔπλησαν ἀμφότερα τὰ πλοῖα, ὥστε βυθίζεσθαι αὐτά. Ἰδὼν δὲ Σίμων Πέτρος προσέπεσε τοῖς γόνασι τοῦ Ἰησοῦ, λέγων, Ἔξελθε ἀπ' ἐμοῦ, ὅτι ἀνὴρ ἁμαρτωλός εἰμι, Κύριε. Θάμβος γὰρ

Λουκ. Ε′ 1.

περιέσχεν αὐτόν, καὶ πάντας τοὺς σὺν αὐτῷ, ἐπὶ τῇ ἄγρᾳ τῶν ἰχθύων ᾗ συνέλαβον· Ὁμοίως δὲ καὶ Ἰάκωβον, καὶ Ἰωάννην, υἱοὺς Ζεβεδαίου, οἳ ἦσαν κοινωνοὶ τῷ Σίμωνι. Καὶ εἶπε πρὸς τὸν Σίμωνα ὁ Ἰησοῦς, Μὴ φοβοῦ, ἀπὸ τοῦ νῦν ἀνθρώπους ἔσῃ ζωγρῶν. Καὶ καταγαγόντες τὰ πλοῖα ἐπὶ τὴν γῆν, ἀφέντες ἅπαντα, ἠκολούθησαν αὐτῷ.

ΚΥΡΙΑΚΗ ΕΚΤΗ ΜΕΤΑ ΤΗΝ ΤΗΣ ΤΡΙΑΔΟΣ.

Εὐχή.

Ὁ Θεός, ὁ τοῖς ἀγαπῶσί σε ἀγαθὰ ἑτοιμάσας τὰ ὑπερέχοντα νοῦν ἀνθρώπινον· Ἔγχεον ταῖς καρδίαις ἡμῶν τοσαύτην πρὸς Σὲ ἀγάπην, ὥστε ὑπὲρ πάντα Σὲ ἀγαπῶντας, τὰς ἐπαγγελίας σου κομίσασθαι, τὰς πᾶσαν ἡμῶν ὑπερεχούσας ἐπιπόθησιν, διὰ Ἰησοῦ Χριστοῦ τοῦ Κυρίου ἡμῶν. Ἀμήν.

Ἀπόστολος.

Ῥωμ. Ϛʹ 3. *Ἀγνοεῖτε, ὅτι ὅσοι ἐβαπτίσθημεν εἰς Ἰησοῦν Χριστόν, εἰς τὸν θάνατον αὐτοῦ ἐβαπτίσθημεν; Συνετάφημεν οὖν αὐτῷ διὰ τοῦ βαπτίσματος εἰς τὸν θάνατον, ἵνα ὥσπερ ἠγέρθη Χριστὸς ἐκ νεκρῶν διὰ τῆς δόξης τοῦ Πατρός· οὕτω καὶ ἡμεῖς ἐν καινότητι ζωῆς περιπατήσωμεν. Εἰ γὰρ σύμφυτοι γεγόναμεν τῷ ὁμοιώματι τοῦ θανάτου αὐτοῦ, ἀλλὰ καὶ τῆς ἀναστάσεως ἐσόμεθα· Τοῦτο γινώσκοντες, ὅτι ὁ παλαιὸς ἡμῶν ἄνθρωπος συνεσταυρώθη, ἵνα καταργηθῇ τὸ σῶμα τῆς ἁμαρτίας, τοῦ μηκέτι δουλεύειν ἡμᾶς τῇ ἁμαρτίᾳ. Ὁ γὰρ ἀποθανὼν δεδικαίωται ἀπὸ τῆς ἁμαρτίας. Εἰ δὲ ἀπεθάνομεν σὺν Χριστῷ, πιστεύομεν ὅτι καὶ συζήσομεν αὐτῷ· εἰδότες, ὅτι Χριστὸς ἐγερθεὶς ἐκ νεκρῶν, οὐκέτι ἀποθνήσκει· θάνατος αὐτοῦ οὐκέτι κυριεύει. Ὃ γὰρ ἀπέθανε, τῇ ἁμαρτίᾳ ἀπέθανεν ἐφάπαξ· ὃ δὲ ζῇ, ζῇ τῷ Θεῷ.*

Οὕτω καὶ ὑμεῖς λογίζεσθε ἑαυτοὺς νεκροὺς μὲν εἶναι τῇ ἁμαρτίᾳ· ζῶντας δὲ τῷ Θεῷ, ἐν Ἰησοῦ Χριστῷ τῷ Κυρίῳ ἡμῶν.

Εὐαγγέλιον.

ΕΙπεν ὁ Ἰησοῦς τοῖς ἑαυτοῦ μαθηταῖς, Ἐὰν μὴ περισσεύσῃ ἡ δικαιοσύνη ὑμῶν πλεῖον τῶν Γραμματέων καὶ Φαρισαίων, οὐ μὴ εἰσέλθητε εἰς τὴν βασιλείαν τῶν οὐρανῶν. Ἠκούσατε, ὅτι ἐρρέθη τοῖς ἀρχαίοις, Οὐ φονεύσεις· ὃς δ' ἂν φονεύσῃ, ἔνοχος ἔσται τῇ κρίσει. Ἐγὼ δὲ λέγω ὑμῖν, ὅτι πᾶς ὁ ὀργιζόμενος τῷ ἀδελφῷ αὐτοῦ εἰκῆ ἔνοχος ἔσται τῇ κρίσει· ὃς δ' ἂν εἴπῃ τῷ ἀδελφῷ αὐτοῦ, Ῥακά, ἔνοχος ἔσται τῷ συνεδρίῳ· ὃς δ' ἂν εἴπῃ, Μωρέ, ἔνοχος ἔσται εἰς τὴν γέενναν τοῦ πυρός. Ἐὰν οὖν προσφέρῃς τὸ δῶρόν σου ἐπὶ τὸ θυσιαστήριον, κἀκεῖ μνησθῇς ὅτι ὁ ἀδελφός σου ἔχει τὶ κατὰ σοῦ· ἄφες ἐκεῖ τὸ δῶρόν σου ἔμπροσθεν τοῦ θυσιαστηρίου, καὶ ὕπαγε, πρῶτον διαλλάγηθι τῷ ἀδελφῷ σου, καὶ τότε ἐλθὼν πρόσφερε τὸ δῶρόν σου. Ἴσθι εὐνοῶν τῷ ἀντιδίκῳ σου ταχύ, ἕως ὅτου εἶ ἐν τῇ ὁδῷ μετ' αὐτοῦ· μήποτέ σε παραδῷ ὁ ἀντίδικος τῷ κριτῇ, καὶ ὁ κριτής σε παραδῷ τῷ ὑπηρέτῃ, καὶ εἰς φυλακὴν βληθήσῃ. Ἀμὴν λέγω σοι, οὐ μὴ ἐξέλθῃς ἐκεῖθεν, ἕως ἂν ἀποδῷς τὸν ἔσχατον κοδράντην. Ματθ. Ε′ 20.

ΚΥΡΙΑΚΗ ΕΒΔΟΜΗ ΜΕΤΑ ΤΗΝ ΤΗΣ ΤΡΙΑΔΟΣ.

Εὐχή.

ΚΥριε πάσης δυνάμεως καὶ κράτους, ὁ πάντων ἀγαθῶν αἴτιος καὶ δοτήρ· Ἐμφύτευσον ἐν ταῖς καρδίαις ἡμῶν τὴν ἀγάπην τοῦ Ὀνόματός σου, πλήθυνον ἐν ἡμῖν τὴν ἀληθινὴν θρησκείαν, πάσῃ ἡμᾶς διάθρεψον τῇ ἀγαθότητι, καὶ διὰ τὴν πολλήν σου εὐσπλαγχνίαν ἐν αὐτῇ διατήρησον ἡμᾶς, διὰ Ἰησοῦ Χριστοῦ τοῦ Κυρίου ἡμῶν. Ἀμήν.

ΚΥΡΙΑΚΗ Ζ′ ΜΕΤΑ ΤΗΝ ΤΗΣ ΤΡΙΑΔΟΣ

Ἀπόστολος.

Ῥωμ. ϛ′ 19. ἈΝθρώπινον λέγω, διὰ τὴν ἀσθένειαν τῆς σαρκὸς ὑμῶν· ὥσπερ γὰρ παρεστήσατε τὰ μέλη ὑμῶν δοῦλα τῇ ἀκαθαρσίᾳ, καὶ τῇ ἀνομίᾳ, εἰς τὴν ἀνομίαν· οὕτω νῦν παραστήσατε τὰ μέλη ὑμῶν δοῦλα τῇ δικαιοσύνῃ, εἰς ἁγιασμόν. Ὅτε γὰρ δοῦλοι ἦτε τῆς ἁμαρτίας, ἐλεύθεροι ἦτε τῇ δικαιοσύνῃ. Τίνα οὖν καρπὸν εἴχετε τότε, ἐφ᾽ οἷς νῦν ἐπαισχύνεσθε; τὸ γὰρ τέλος ἐκείνων θάνατος. Νυνὶ δὲ ἐλευθερωθέντες ἀπὸ τῆς ἁμαρτίας, δουλωθέντες δὲ τῷ Θεῷ, ἔχετε τὸν καρπὸν ὑμῶν εἰς ἁγιασμόν, τὸ δὲ τέλος ζωὴν αἰώνιον. Τὰ γὰρ ὀψώνια τῆς ἁμαρτίας θάνατος· τὸ δὲ χάρισμα τοῦ Θεοῦ ζωὴ αἰώνιος, ἐν Ἰησοῦ Χριστῷ τῷ Κυρίῳ ἡμῶν.

Εὐαγγέλιον.

Μάρκ. Η′ 1. ἘΝ ἐκείναις ταῖς ἡμέραις παμπόλλου ὄχλου ὄντος, καὶ μὴ ἐχόντων τί φάγωσι, προσκαλεσάμενος ὁ Ἰησοῦς τοὺς μαθητὰς αὐτοῦ λέγει αὐτοῖς, Σπλαγχνίζομαι ἐπὶ τὸν ὄχλον, ὅτι ἤδη ἡμέρας τρεῖς προσμένουσί μοι, καὶ οὐκ ἔχουσι τί φάγωσι· Καὶ ἐὰν ἀπολύσω αὐτοὺς νήστεις εἰς οἶκον αὐτῶν, ἐκλυθήσονται ἐν τῇ ὁδῷ· τινὲς γὰρ αὐτῶν μακρόθεν ἥκασι. Καὶ ἀπεκρίθησαν αὐτῷ οἱ μαθηταὶ αὐτοῦ, Πόθεν τούτους δυνήσεταί τις ὧδε χορτάσαι ἄρτων ἐπ᾽ ἐρημίας; Καὶ ἐπηρώτα αὐτούς, Πόσους ἔχετε ἄρτους; Οἱ δὲ εἶπον, Ἑπτά. Καὶ παρήγγειλε τῷ ὄχλῳ ἀναπεσεῖν ἐπὶ τῆς γῆς. Καὶ λαβὼν τοὺς ἑπτὰ ἄρτους, εὐχαριστήσας ἔκλασε, καὶ ἐδίδου τοῖς μαθηταῖς αὐτοῦ ἵνα παραθῶσι, καὶ παρέθηκαν τῷ ὄχλῳ. Καὶ εἶχον ἰχθύδια ὀλίγα· καὶ εὐλογήσας εἶπε παραθεῖναι καὶ αὐτά. Ἔφαγον δέ, καὶ ἐχορτάσθησαν· Καὶ ἦραν περισσεύματα κλασμάτων, ἑπτὰ σπυρίδας. Ἦσαν δὲ οἱ φαγόντες ὡς τετρακισχίλιοι. Καὶ ἀπέλυσεν αὐτούς.

ΚΥΡΙΑΚΗ Η΄ ΜΕΤΑ ΤΗΝ ΤΗΣ ΤΡΙΑΔΟΣ

ΚΥΡΙΑΚΗ ΟΓΔΟΗ ΜΕΤΑ ΤΗΝ ΤΗΣ ΤΡΙΑΔΟΣ.

Εὐχή.

Ὁ Θεός, ὁ διὰ τῆς ἀλαθήτου σου προνοίας πάντα διοικῶν τά τε ἐν οὐρανοῖς καὶ τὰ ἐπὶ τῆς γῆς· Ταπεινῶς δυσωποῦμέν σε ἵνα ἀποστήσῃς ἀφ' ἡμῶν πάντα τὰ βλαβερά, καὶ πάντα ἡμῖν τὰ συμφέροντα δωρήσῃ, διὰ Ἰησοῦ Χριστοῦ τοῦ Κυρίου ἡμῶν. Ἀμήν.

Ἀπόστολος.

Ἀδελφοί, ὀφειλέται ἐσμέν, οὐ τῇ σαρκί, τοῦ κατὰ σάρκα ʽΡωμ.
ζῆν· Εἰ γὰρ κατὰ σάρκα ζῆτε, μέλλετε ἀποθνήσκειν· Η΄ 12.
εἰ δὲ Πνεύματι τὰς πράξεις τοῦ σώματος θανατοῦτε, ζήσεσθε. Ὅσοι γὰρ Πνεύματι Θεοῦ ἄγονται, οὗτοί εἰσιν υἱοὶ Θεοῦ. Οὐ γὰρ ἐλάβετε πνεῦμα δουλείας πάλιν εἰς φόβον· ἀλλ' ἐλάβετε Πνεῦμα υἱοθεσίας, ἐν ᾧ κράζομεν, Ἀββᾶ, ὁ Πατήρ. Αὐτὸ τὸ Πνεῦμα συμμαρτυρεῖ τῷ πνεύματι ἡμῶν, ὅτι ἐσμὲν τέκνα Θεοῦ. Εἰ δὲ τέκνα, καὶ κληρονόμοι· κληρονόμοι μὲν Θεοῦ, συγκληρονόμοι δὲ Χριστοῦ· εἴπερ συμπάσχομεν, ἵνα καὶ συνδοξασθῶμεν.

Εὐαγγέλιον.

Προσέχετε ἀπὸ τῶν ψευδοπροφητῶν, οἵτινες ἔρχονται Ματθ.
πρὸς ὑμᾶς ἐν ἐνδύμασι προβάτων, ἔσωθεν δέ εἰσι λύκοι Ζ΄ 15.
ἅρπαγες. Ἀπὸ τῶν καρπῶν αὐτῶν ἐπιγνώσεσθε αὐτούς· Μήτι συλλέγουσιν ἀπὸ ἀκανθῶν σταφυλήν, ἢ ἀπὸ τριβόλων σῦκα; Οὕτω πᾶν δένδρον ἀγαθὸν καρποὺς καλοὺς ποιεῖ· τὸ δὲ σαπρὸν δένδρον καρποὺς πονηροὺς ποιεῖ. Οὐ δύναται δένδρον ἀγαθὸν καρποὺς πονηροὺς ποιεῖν· οὐδὲ δένδρον σαπρὸν καρποὺς καλοὺς ποιεῖν. Πᾶν δένδρον μὴ ποιοῦν καρπὸν καλόν, ἐκκόπτεται, καὶ εἰς πῦρ βάλλεται. Ἄραγε ἀπὸ τῶν καρπῶν αὐτῶν ἐπιγνώσεσθε αὐτούς. Οὐ πᾶς ὁ

λέγων μοι, Κύριε, Κύριε, εἰσελεύσεται εἰς τὴν βασιλείαν τῶν οὐρανῶν· ἀλλ' ὁ ποιῶν τὸ θέλημα τοῦ Πατρός μου τοῦ ἐν οὐρανοῖς.

ΚΥΡΙΑΚΗ ΕΝΑΤΗ ΜΕΤΑ ΤΗΝ ΤΗΣ ΤΡΙΑΔΟΣ.

Εὐχή.

ΧΑρισαι ἡμῖν, δεόμεθά σου, Κύριε, τὸ Πνεῦμα τοῦ τὰ ὀρθὰ πάντοτε φρονεῖν τε καὶ πράττειν· ἵνα ἡμεῖς οἱ χωρὶς Σοῦ ἀγαθόν τι ποιῆσαι ἀδυνατοῦντες, παρὰ Σοῦ εἰς τὸ κατὰ Σὲ ζῆσαι κατισχυθῶμεν, διὰ Ἰησοῦ Χριστοῦ τοῦ Κυρίου ἡμῶν. Ἀμήν.

Ἀπόστολος.

Α′ Κορ. Ι′ 1. ΟΥ θέλω ὑμᾶς ἀγνοεῖν, ἀδελφοί, ὅτι οἱ πατέρες ἡμῶν πάντες ὑπὸ τὴν νεφέλην ἦσαν, καὶ πάντες διὰ τῆς θαλάσσης διῆλθον· καὶ πάντες εἰς τὸν Μωσῆν ἐβαπτίσαντο ἐν τῇ νεφέλῃ, καὶ ἐν τῇ θαλάσσῃ· καὶ πάντες τὸ αὐτὸ βρῶμα πνευματικὸν ἔφαγον, καὶ πάντες τὸ αὐτὸ πόμα πνευματικὸν ἔπιον· (ἔπινον γὰρ ἐκ πνευματικῆς ἀκολουθούσης πέτρας· ἡ δὲ πέτρα ἦν ὁ Χριστός.) Ἀλλ' οὐκ ἐν τοῖς πλείοσιν αὐτῶν εὐδόκησεν ὁ Θεός· κατεστρώθησαν γὰρ ἐν τῇ ἐρήμῳ. Ταῦτα δὲ τύποι ἡμῶν ἐγενήθησαν, εἰς τὸ μὴ εἶναι ἡμᾶς ἐπιθυμητὰς κακῶν, καθὼς κἀκεῖνοι ἐπεθύμησαν. Μηδὲ εἰδωλολάτραι γίνεσθε, καθώς τινες αὐτῶν· ὡς γέγραπται, Ἐκάθισεν ὁ λαὸς φαγεῖν καὶ πιεῖν, καὶ ἀνέστησαν παίζειν. Μηδὲ πορνεύωμεν, καθώς τινες αὐτῶν ἐπόρνευσαν, καὶ ἔπεσον ἐν μιᾷ ἡμέρᾳ εἰκοσιτρεῖς χιλιάδες. Μηδὲ ἐκπειράζωμεν τὸν Χριστόν, καθὼς καί τινες αὐτῶν ἐπείρασαν, καὶ ὑπὸ τῶν ὄφεων ἀπώλοντο. Μηδὲ γογγύζετε, καθὼς καί τινες αὐτῶν ἐγόγγυσαν, καὶ ἀπώλοντο ὑπὸ τοῦ ὀλοθρευτοῦ.

Ταῦτα δὲ πάντα τύποι συνέβαινον ἐκείνοις· ἐγράφη δὲ πρὸς νουθεσίαν ἡμῶν, εἰς οὓς τὰ τέλη τῶν αἰώνων κατήντησεν. Ὥστε ὁ δοκῶν ἑστάναι, βλεπέτω μὴ πέσῃ. Πειρασμὸς ὑμᾶς οὐκ εἴληφεν, εἰ μὴ ἀνθρώπινος· πιστὸς δὲ ὁ Θεός, ὃς οὐκ ἐάσει ὑμᾶς πειρασθῆναι ὑπὲρ ὃ δύνασθε· ἀλλὰ ποιήσει σὺν τῷ πειρασμῷ καὶ τὴν ἔκβασιν, τοῦ δύνασθαι ὑμᾶς ὑπενεγκεῖν.

Εὐαγγέλιον.

Ἔλεγε ὁ Ἰησοῦς πρὸς τοὺς μαθητὰς αὐτοῦ, Ἄνθρωπός Λουκ.
τις ἦν πλούσιος ὃς εἶχεν οἰκονόμον, καὶ οὗτος διεβλήθη ιϛʹ 1.
αὐτῷ, ὡς διασκορπίζων τὰ ὑπάρχοντα αὐτοῦ. Καὶ φωνήσας αὐτὸν εἶπεν αὐτῷ, Τί τοῦτο ἀκούω περὶ σοῦ; Ἀπόδος τὸν λόγον τῆς οἰκονομίας σου· οὐ γὰρ δυνήσῃ ἔτι οἰκονομεῖν. Εἶπε δὲ ἐν ἑαυτῷ ὁ οἰκονόμος, Τί ποιήσω; ὅτι ὁ κύριός μου ἀφαιρεῖται τὴν οἰκονομίαν ἀπ' ἐμοῦ· σκάπτειν οὐκ ἰσχύω, ἐπαιτεῖν αἰσχύνομαι. Ἔγνων τί ποιήσω, ἵνα, ὅταν μετασταθῶ τῆς οἰκονομίας, δέξωνταί με εἰς τοὺς οἴκους αὐτῶν. Καὶ προσκαλεσάμενος ἕνα ἕκαστον τῶν χρεωφειλετῶν τοῦ κυρίου ἑαυτοῦ, ἔλεγε τῷ πρώτῳ, Πόσον ὀφείλεις τῷ κυρίῳ μου; Ὁ δὲ εἶπεν, Ἑκατὸν βάτους ἐλαίου. Καὶ εἶπεν αὐτῷ, Δέξαι σου τὸ γράμμα, καὶ καθίσας ταχέως γράψον πεντήκοντα. Ἔπειτα ἑτέρῳ εἶπε, Σὺ δὲ πόσον ὀφείλεις; Ὁ δὲ εἶπεν, Ἑκατὸν κόρους σίτου. Καὶ λέγει αὐτῷ, Δέξαι σου τὸ γράμμα, καὶ γράψον ὀγδοήκοντα. Καὶ ἐπῄνεσεν ὁ κύριος τὸν οἰκονόμον τῆς ἀδικίας, ὅτι φρονίμως ἐποίησεν· ὅτι οἱ υἱοὶ τοῦ αἰῶνος τούτου φρονιμώτεροι ὑπὲρ τοὺς υἱοὺς τοῦ φωτὸς εἰς τὴν γενεὰν τὴν ἑαυτῶν εἰσι. Κἀγὼ ὑμῖν λέγω, Ποιήσατε ἑαυτοῖς φίλους ἐκ τοῦ Μαμωνᾶ τῆς ἀδικίας, ἵνα, ὅταν ἐκλίπητε, δέξωνται ὑμᾶς εἰς τὰς αἰωνίους σκηνάς.

ΚΥΡΙΑΚΗ Ι' ΜΕΤΑ ΤΗΝ ΤΗΣ ΤΡΙΑΔΟΣ

ΚΥΡΙΑΚΗ ΔΕΚΑΤΗ ΜΕΤΑ ΤΗΝ ΤΗΣ ΤΡΙΑΔΟΣ.

Εὐχή.

Ἔστωσαν, Κύριε, τὰ ὦτα τοῦ ἐλέους σου ἀνεῳγμένα εἰς τὰς δεήσεις τῶν ταπεινῶν σου δούλων· καὶ ἵνα ἐπιτύχωσι τῶν αἰτημάτων αὐτῶν, ποίησον αὐτοὺς αἰτεῖσθαι τὰ Σοὶ εὐάρεστα, διὰ Ἰησοῦ Χριστοῦ τοῦ Κυρίου ἡμῶν. Ἀμήν.

Ἀπόστολος.

Α' Κορ. Περὶ τῶν πνευματικῶν, ἀδελφοί, οὐ θέλω ὑμᾶς ἀγνοεῖν.
ΙΒ' 1. Οἴδατε ὅτι Ἔθνη ἦτε πρὸς τὰ εἴδωλα τὰ ἄφωνα, ὡς ἂν ἤγεσθε, ἀπαγόμενοι. Διὸ γνωρίζω ὑμῖν, ὅτι οὐδεὶς ἐν Πνεύματι Θεοῦ λαλῶν, λέγει ἀνάθεμα Ἰησοῦν· καὶ οὐδεὶς δύναται εἰπεῖν Κύριον Ἰησοῦν, εἰ μὴ ἐν Πνεύματι ἁγίῳ. Διαιρέσεις δὲ χαρισμάτων εἰσί, τὸ δὲ αὐτὸ Πνεῦμα. Καὶ διαιρέσεις διακονιῶν εἰσι, καὶ ὁ αὐτὸς Κύριος. Καὶ διαιρέσεις ἐνεργημάτων εἰσίν, ὁ δὲ αὐτός ἐστι Θεός, ὁ ἐνεργῶν τὰ πάντα ἐν πᾶσιν. Ἑκάστῳ δὲ δίδοται ἡ φανέρωσις τοῦ Πνεύματος πρὸς τὸ συμφέρον. Ὧ μὲν γὰρ διὰ τοῦ Πνεύματος δίδοται λόγος σοφίας· ἄλλῳ δὲ λόγος γνώσεως κατὰ τὸ αὐτὸ Πνεῦμα· ἑτέρῳ δὲ πίστις ἐν τῷ αὐτῷ Πνεύματι· ἄλλῳ δὲ χαρίσματα ἰαμάτων ἐν τῷ αὐτῷ Πνεύματι· ἄλλῳ δὲ ἐνεργήματα δυνάμεων· ἄλλῳ δὲ προφητεία· ἄλλῳ δὲ διακρίσεις πνευμάτων· ἑτέρῳ δὲ γένη γλωσσῶν· ἄλλῳ δὲ ἑρμηνεία γλωσσῶν. Πάντα δὲ ταῦτα ἐνεργεῖ τὸ ἓν καὶ τὸ αὐτὸ Πνεῦμα, διαιροῦν ἰδίᾳ ἑκάστῳ καθὼς βούλεται.

Εὐαγγέλιον.

Λουκ. Καὶ ὡς ἤγγισεν, ἰδὼν τὴν πόλιν, ἔκλαυσεν ἐπ' αὐτῇ,
ΙΘ' 41. λέγων ὅτι Εἰ ἔγνως, καὶ σύ, καί γε ἐν τῇ ἡμέρᾳ σου ταύτῃ, τὰ πρὸς εἰρήνην σου· νῦν δὲ ἐκρύβη ἀπὸ ὀφθαλμῶν σου. Ὅτι ἥξουσιν ἡμέραι ἐπὶ σέ, καὶ περιβαλοῦσιν οἱ

ἐχθροί σου χάρακά σοι, καὶ περικυκλώσουσί σε, καὶ συνέξουσί σε πάντοθεν, καὶ ἐδαφιοῦσί σε, καὶ τὰ τέκνα σου ἐν σοί· καὶ οὐκ ἀφήσουσιν ἐν σοὶ λίθον ἐπὶ λίθῳ, ἀνθ' ὧν οὐκ ἔγνως τὸν καιρὸν τῆς ἐπισκοπῆς σου. Καὶ εἰσελθὼν εἰς τὸ ἱερόν, ἤρξατο ἐκβάλλειν τοὺς πωλοῦντας ἐν αὐτῷ καὶ ἀγοράζοντας, λέγων αὐτοῖς, Γέγραπται, Ὁ οἶκός μου οἶκος προσευχῆς ἐστιν, ὑμεῖς δὲ αὐτὸν ἐποιήσατε σπήλαιον λῃστῶν. Καὶ ἦν διδάσκων τὸ καθ' ἡμέραν ἐν τῷ ἱερῷ.

ΚΥΡΙΑΚΗ ΕΝΔΕΚΑΤΗ ΜΕΤΑ ΤΗΝ ΤΗΣ ΤΡΙΑΔΟΣ.

Εὐχή.

Ὁ Θεός, ὁ τὴν Παντοδυναμίαν σου πρὸ πάντων διὰ τοῦ φείδεσθαι καὶ ἐλεεῖν ἐκφανερῶν· Τοσαύτην ἡμῖν τὴν χάριν σου ἵλεως παράσχου, ὥστε τὴν ὁδὸν τῶν ἐντολῶν σου δραμόντας κομίσασθαι ἡμᾶς τὰς ἐπαγγελίας τοῦ ἐλέους σου, καὶ τῶν ἐπουρανίων σου μετόχους γενέσθαι θησαυρῶν, διὰ Ἰησοῦ Χριστοῦ τοῦ Κυρίου ἡμῶν. Ἀμήν.

Ἀπόστολος.

Γνωρίζω ὑμῖν, ἀδελφοί, τὸ Εὐαγγέλιον ὃ εὐηγγελισάμην ὑμῖν, ὃ καὶ παρελάβετε, ἐν ᾧ καὶ ἑστήκατε. Δι' οὗ καὶ σώζεσθε, τίνι λόγῳ εὐηγγελισάμην ὑμῖν εἰ κατέχετε, ἐκτὸς εἰ μὴ εἰκῇ ἐπιστεύσατε. Παρέδωκα γὰρ ὑμῖν ἐν πρώτοις, ὃ καὶ παρέλαβον, ὅτι Χριστὸς ἀπέθανεν ὑπὲρ τῶν ἁμαρτιῶν ἡμῶν, κατὰ τὰς Γραφάς· καὶ ὅτι ἐτάφη· καὶ ὅτι ἐγήγερται τῇ τρίτῃ ἡμέρᾳ κατὰ τὰς Γραφάς· καὶ ὅτι ὤφθη Κηφᾷ, εἶτα τοῖς δώδεκα. Ἔπειτα ὤφθη ἐπάνω πεντακοσίοις ἀδελφοῖς ἐφάπαξ· ἐξ ὧν οἱ πλείους μένουσιν ἕως ἄρτι· τινὲς δὲ καὶ ἐκοιμήθησαν. Ἔπειτα ὤφθη Ἰακώβῳ· εἶτα τοῖς Ἀποστόλοις πᾶσιν· ἔσχατον δὲ πάντων, ὡσπερεὶ τῷ ἐκτρώματι, ὤφθη κἀμοί· Ἐγὼ γάρ εἰμι ὁ ἐλάχιστος τῶν

Αʹ Κορ. ΙΕʹ 1.

Ἀποστόλων, ὃς οὐκ εἰμὶ ἱκανὸς καλεῖσθαι Ἀπόστολος, διότι ἐδίωξα τὴν Ἐκκλησίαν τοῦ Θεοῦ. Χάριτι δὲ Θεοῦ εἰμι ὅ εἰμι· καὶ ἡ χάρις αὐτοῦ ἡ εἰς ἐμὲ οὐ κενὴ ἐγενήθη· ἀλλὰ περισσότερον αὐτῶν πάντων ἐκοπίασα· οὐκ ἐγὼ δέ, ἀλλ' ἡ χάρις τοῦ Θεοῦ ἡ σὺν ἐμοί· Εἴτε οὖν ἐγὼ εἴτε ἐκεῖνοι, οὕτω κηρύσσομεν, καὶ οὕτως ἐπιστεύσατε.

Εὐαγγέλιον.

Λουκ. ΙΗʹ 9. ΕἾπεν ὁ Ἰησοῦς πρός τινας τοὺς πεποιθότας ἐφ' ἑαυτοῖς, ὅτι εἰσὶ δίκαιοι, καὶ ἐξουθενοῦντας τοὺς λοιπούς, τὴν παραβολὴν ταύτην· Ἄνθρωποι δύο ἀνέβησαν εἰς τὸ ἱερὸν προσεύξασθαι· ὁ εἷς Φαρισαῖος, καὶ ὁ ἕτερος Τελώνης. Ὁ Φαρισαῖος σταθεὶς πρὸς ἑαυτὸν ταῦτα προσηύχετο, Ὁ Θεός, εὐχαριστῶ σοι, ὅτι οὐκ εἰμὶ ὥσπερ οἱ λοιποὶ τῶν ἀνθρώπων, ἅρπαγες, ἄδικοι, μοιχοί, ἢ καὶ ὡς οὗτος ὁ Τελώνης. Νηστεύω δὶς τοῦ σαββάτου, ἀποδεκατῶ πάντα ὅσα κτῶμαι. Καὶ ὁ Τελώνης μακρόθεν ἑστώς, οὐκ ἤθελεν οὐδὲ τοὺς ὀφθαλμοὺς εἰς τὸν οὐρανὸν ἐπᾶραι, ἀλλ' ἔτυπτεν εἰς τὸ στῆθος αὐτοῦ, λέγων, Ὁ Θεός, ἱλάσθητί μοι τῷ ἁμαρτωλῷ. Λέγω ὑμῖν, κατέβη οὗτος δεδικαιωμένος εἰς τὸν οἶκον αὐτοῦ ἢ ἐκεῖνος· ὅτι πᾶς ὁ ὑψῶν ἑαυτὸν ταπεινωθήσεται· ὁ δὲ ταπεινῶν ἑαυτόν, ὑψωθήσεται.

ΚΥΡΙΑΚΗ ΔΩΔΕΚΑΤΗ ΜΕΤΑ ΤΗΝ ΤΗΣ ΤΡΙΑΔΟΣ.

Εὐχή.

Ὁ Θεὸς ὁ παντοκράτωρ καὶ αἰώνιος, ὁ πάντοτε εἰς τὸ ἐπακοῦσαι προθυμότερος ὑπάρχων ἢ ἡμεῖς ἐσμεν εἰς τὸ αἰτήσασθαι, ὁ καὶ εἰωθὼς διδόναι περισσότερον ὧν ἡμεῖς ἐπιποθοῦμεν ἢ ἐπάξιοί ἐσμεν· Αὐτὸς ἔκχεον ἐφ' ἡμᾶς τὸν πλοῦτον τοῦ οἰκτιρμοῦ σου, συγχωρῶν ἡμῖν ὅσα φοβεῖται ἡ συνείδησις ἡμῶν, καὶ τὰ ἀγαθὰ δωρούμενος ὅσα ἀνάξιοί

ἐσμεν τοῦ αἰτήσασθαι, εἰ μὴ διὰ τὴν ἀξιομισθίαν καὶ μεσιτείαν τοῦ σοῦ Υἱοῦ, Κυρίου δὲ ἡμῶν Ἰησοῦ Χριστοῦ. Ἀμήν.

Ἀπόστολος.

ΠΕποίθησιν τοιαύτην ἔχομεν διὰ τοῦ Χριστοῦ πρὸς τὸν Θεόν. Οὐχ ὅτι ἱκανοί ἐσμεν ἀφ' ἑαυτῶν λογίσασθαί τι ὡς ἐξ ἑαυτῶν· ἀλλ' ἡ ἱκανότης ἡμῶν ἐκ τοῦ Θεοῦ. Ὃς καὶ ἱκάνωσεν ἡμᾶς διακόνους καινῆς Διαθήκης· οὐ γράμματος, ἀλλὰ Πνεύματος· τὸ γὰρ γράμμα ἀποκτείνει, τὸ δὲ Πνεῦμα ζωοποιεῖ. Εἰ δὲ ἡ διακονία τοῦ θανάτου ἐν γράμμασιν ἐντετυπωμένη ἐν λίθοις ἐγενήθη ἐν δόξῃ, ὥστε μὴ δύνασθαι ἀτενίσαι τοὺς υἱοὺς Ἰσραὴλ εἰς τὸ πρόσωπον Μωσέως διὰ τὴν δόξαν τοῦ προσώπου αὐτοῦ τὴν καταργουμένην· Πῶς οὐχὶ μᾶλλον ἡ διακονία τοῦ Πνεύματος ἔσται ἐν δόξῃ; Εἰ γὰρ ἡ διακονία τῆς κατακρίσεως δόξα, πολλῷ μᾶλλον περισσεύει ἡ διακονία τῆς δικαιοσύνης ἐν δόξῃ. Βʹ Κορ. Γʹ 4.

Εὐαγγέλιον.

Ὁ Ἰησοῦς ἐξελθὼν ἐκ τῶν ὁρίων Τύρου καὶ Σιδῶνος, ἦλθε πρὸς τὴν θάλασσαν τῆς Γαλιλαίας, ἀνὰ μέσον τῶν ὁρίων Δεκαπόλεως. Καὶ φέρουσιν αὐτῷ κωφὸν μογιλάλον· καὶ παρακαλοῦσιν αὐτὸν ἵνα ἐπιθῇ αὐτῷ τὴν χεῖρα. Καὶ ἀπολαβόμενος αὐτὸν ἀπὸ τοῦ ὄχλου κατ' ἰδίαν, ἔβαλε τοὺς δακτύλους αὐτοῦ εἰς τὰ ὦτα αὐτοῦ, καὶ πτύσας ἥψατο τῆς γλώσσης αὐτοῦ· καὶ ἀναβλέψας εἰς τὸν οὐρανόν, ἐστέναξε, καὶ λέγει αὐτῷ, Ἐφφαθά, ὅ ἐστι, Διανοίχθητι. Καὶ εὐθέως διηνοίχθησαν αὐτοῦ αἱ ἀκοαί, καὶ ἐλύθη ὁ δεσμὸς τῆς γλώσσης αὐτοῦ, καὶ ἐλάλει ὀρθῶς. Καὶ διεστείλατο αὐτοῖς ἵνα μηδενὶ εἴπωσιν· ὅσον δὲ αὐτὸς αὐτοῖς διεστέλλετο, μᾶλλον περισσότερον ἐκήρυσσον, καὶ ὑπερπερισσῶς ἐξεπλήσσοντο, λέγοντες, Καλῶς πάντα πεποίηκε· καὶ τοὺς κωφοὺς ποιεῖ ἀκούειν, καὶ τοὺς ἀλάλους λαλεῖν. Μάρκ. Ζʹ 31.

ΚΥΡΙΑΚΗ ΔΕΚΑΤΗ ΤΡΙΤΗ ΜΕΤΑ ΤΗΝ ΤΗΣ ΤΡΙΑΔΟΣ.

Εὐχή.

Ὁ Θεὸς ὁ παντοκράτωρ καὶ ἐλεήμων, οὗ μόνου τῇ δωρεᾷ γίνεται ὅτι ἀξίως καὶ ἐπαινετῶς σοι λατρεύει ὁ πιστός σου λαός· Αὐτὸς παράσχου ἡμῖν, δεόμεθά σου, ἐν τούτῳ τῷ βίῳ οὕτως σοι πιστῶς λατρεύειν, ὥστε μὴ ἐπὶ τέλους ἀστοχήσασθαι τῶν ἐπουρανίων σου ἐπαγγελιῶν, διὰ τὴν ἀξιομισθίαν Ἰησοῦ Χριστοῦ τοῦ Κυρίου ἡμῶν. Ἀμήν.

Ἀπόστολος.

Γαλ. Γ´ 16. ΤΩ Ἀβραὰμ ἐρρήθησαν αἱ ἐπαγγελίαι καὶ τῷ σπέρματι αὐτοῦ. Οὐ λέγει, Καὶ τοῖς σπέρμασιν, ὡς ἐπὶ πολλῶν· ἀλλ' ὡς ἐφ' ἑνός, Καὶ τῷ σπέρματί σου, ὅς ἐστι Χριστός. Τοῦτο δὲ λέγω, διαθήκην προκεκυρωμένην ὑπὸ τοῦ Θεοῦ εἰς Χριστόν, ὁ μετὰ ἔτη τετρακόσια καὶ τριάκοντα γεγονὼς νόμος οὐκ ἀκυροῖ, εἰς τὸ καταργῆσαι τὴν ἐπαγγελίαν. Εἰ γὰρ ἐκ νόμου ἡ κληρονομία, οὐκέτι ἐξ ἐπαγγελίας· τῷ δὲ Ἀβραὰμ δι' ἐπαγγελίας κεχάρισται ὁ Θεός. Τί οὖν ὁ νόμος; Τῶν παραβάσεων χάριν προσετέθη, ἄχρις οὗ ἔλθῃ τὸ σπέρμα, ᾧ ἐπήγγελται· διαταγεὶς δι' ἀγγέλων ἐν χειρὶ μεσίτου. Ὁ δὲ μεσίτης ἑνὸς οὐκ ἔστιν, ὁ δὲ Θεὸς εἷς ἐστιν. Ὁ οὖν νόμος κατὰ τῶν ἐπαγγελιῶν τοῦ Θεοῦ; Μὴ γένοιτο· εἰ γὰρ ἐδόθη νόμος ὁ δυνάμενος ζωοποιῆσαι, ὄντως ἂν ἐκ νόμου ἦν ἡ δικαιοσύνη. Ἀλλὰ συνέκλεισεν ἡ Γραφὴ τὰ πάντα ὑπὸ ἁμαρτίαν, ἵνα ἡ ἐπαγγελία ἐκ πίστεως Ἰησοῦ Χριστοῦ δοθῇ τοῖς πιστεύουσι.

Εὐαγγέλιον.

Λουκ. Ι´ 23. ΜΑκάριοι οἱ ὀφθαλμοὶ οἱ βλέποντες ἃ βλέπετε. Λέγω γὰρ ὑμῖν, ὅτι πολλοὶ προφῆται καὶ βασιλεῖς ἠθέλησαν ἰδεῖν ἃ ὑμεῖς βλέπετε, καὶ οὐκ εἶδον· καὶ ἀκοῦσαι ἃ ἀκούετε, καὶ οὐκ ἤκουσαν. Καὶ ἰδού, νομικός τις ἀνέστη, ἐκπειράζων

αὐτόν, καὶ λέγων, Διδάσκαλε, τί ποιήσας ζωὴν αἰώνιον κληρονομήσω; Ὁ δὲ εἶπε πρὸς αὐτόν, Ἐν τῷ νόμῳ τί γέγραπται; πῶς ἀναγινώσκεις; Ὁ δὲ ἀποκριθεὶς εἶπεν, Ἀγαπήσεις Κύριον τὸν Θεόν σου ἐξ ὅλης τῆς καρδίας σου, καὶ ἐξ ὅλης τῆς ψυχῆς σου, καὶ ἐξ ὅλης τῆς ἰσχύος σου, καὶ ἐξ ὅλης τῆς διανοίας σου, καὶ τὸν πλησίον σου ὡς σεαυτόν. Εἶπε δὲ αὐτῷ, Ὀρθῶς ἀπεκρίθης· τοῦτο ποίει, καὶ ζήσῃ. Ὁ δὲ θέλων δικαιοῦν ἑαυτόν, εἶπε πρὸς τὸν Ἰησοῦν, Καὶ τίς ἐστί μου πλησίον; Ὑπολαβὼν δὲ ὁ Ἰησοῦς εἶπεν, Ἄνθρωπός τις κατέβαινεν ἀπὸ Ἱερουσαλὴμ εἰς Ἱεριχώ, καὶ λῃσταῖς περιέπεσεν, οἳ καὶ ἐκδύσαντες αὐτόν, καὶ πληγὰς ἐπιθέντες, ἀπῆλθον ἀφέντες ἡμιθανῆ τυγχάνοντα. Κατὰ συγκυρίαν δὲ ἱερεύς τις κατέβαινεν ἐν τῇ ὁδῷ ἐκείνῃ, καὶ ἰδὼν αὐτόν, ἀντιπαρῆλθεν. Ὁμοίως δὲ καὶ Λευΐτης, γενόμενος κατὰ τὸν τόπον, ἐλθὼν καὶ ἰδὼν ἀντιπαρῆλθεν. Σαμαρείτης δέ τις, ὁδεύων, ἦλθε κατ' αὐτόν· καὶ ἰδὼν αὐτόν, ἐσπλαγχνίσθη, καὶ προσελθὼν κατέδησε τὰ τραύματα αὐτοῦ, ἐπιχέων ἔλαιον καὶ οἶνον, ἐπιβιβάσας δὲ αὐτὸν ἐπὶ τὸ ἴδιον κτῆνος, ἤγαγεν αὐτὸν εἰς πανδοχεῖον, καὶ ἐπεμελήθη αὐτοῦ. Καὶ ἐπὶ τὴν αὔριον ἐξελθών, ἐκβαλὼν δύο δηνάρια ἔδωκε τῷ πανδοχεῖ, καὶ εἶπεν αὐτῷ, Ἐπιμελήθητι αὐτοῦ, καὶ ὅ τι ἂν προσδαπανήσῃς, ἐγὼ ἐν τῷ ἐπανέρχεσθαί με ἀποδώσω σοι. Τίς οὖν τούτων τῶν τριῶν δοκεῖ σοι πλησίον γεγονέναι τοῦ ἐμπεσόντος εἰς τοὺς λῃστάς; Ὁ δὲ εἶπεν, Ὁ ποιήσας τὸ ἔλεος μετ' αὐτοῦ. Εἶπεν οὖν αὐτῷ ὁ Ἰησοῦς, Πορεύου καὶ σὺ ποίει ὁμοίως.

ΚΥΡΙΑΚΗ ΔΕΚΑΤΗ ΤΕΤΑΡΤΗ ΜΕΤΑ ΤΗΝ ΤΗΣ ΤΡΙΑΔΟΣ.

Εὐχή.

Ὁ Θεὸς ὁ παντοκράτωρ καὶ αἰώνιος, δὸς ἡμῖν τὴν αὔξησιν τῆς πίστεως, τῆς ἐλπίδος, καὶ τῆς ἀγάπης· καὶ ἵνα

κομισώμεθα ὅσα ἐπαγγέλλῃ, ποίησον ἡμᾶς ἀγαπᾷν ὅσα ἐντέλλῃ, διὰ Ἰησοῦ Χριστοῦ τοῦ Κυρίου ἡμῶν. Ἀμήν.

Ἀπόστολος.

Γαλ. Ε' 16. *ΛΕγω δέ, Πνεύματι περιπατεῖτε, καὶ ἐπιθυμίαν σαρκὸς οὐ μὴ τελέσητε. Ἡ γὰρ σὰρξ ἐπιθυμεῖ κατὰ τοῦ Πνεύματος, τὸ δὲ Πνεῦμα κατὰ τῆς σαρκός· ταῦτα δὲ ἀντίκειται ἀλλήλοις· ἵνα μὴ ἃ ἂν θέλητε, ταῦτα ποιῆτε. Εἰ δὲ Πνεύματι ἄγεσθε, οὐκ ἐστὲ ὑπὸ νόμον. Φανερὰ δέ ἐστι τὰ ἔργα τῆς σαρκός, ἅτινά ἐστι, Μοιχεία, πορνεία, ἀκαθαρσία, ἀσέλγεια, εἰδωλολατρεία, φαρμακεία, ἔχθραι, ἔρεις, ζῆλοι, θυμοί, ἐριθεῖαι, διχοστασίαι, αἱρέσεις, φθόνοι, φόνοι, μέθαι, κῶμοι, καὶ τὰ ὅμοια τούτοις· ἃ προλέγω ὑμῖν, καθὼς καὶ προεῖπον, ὅτι οἱ τὰ τοιαῦτα πράσσοντες βασιλείαν Θεοῦ οὐ κληρονομήσουσιν. Ὁ δὲ καρπὸς τοῦ Πνεύματός ἐστιν ἀγάπη, χαρά, εἰρήνη, μακροθυμία, χρηστότης, ἀγαθωσύνη, πίστις, πρᾳότης, ἐγκράτεια· κατὰ τῶν τοιούτων οὐκ ἔστι νόμος. Οἱ δὲ τοῦ Χριστοῦ τὴν σάρκα ἐσταύρωσαν σὺν τοῖς παθήμασι καὶ ταῖς ἐπιθυμίαις.*

Εὐαγγέλιον.

Λουκ. ΙΖ' 11. ΚΑὶ ἐγένετο, ἐν τῷ πορεύεσθαι τὸν Ἰησοῦν εἰς Ἱερουσαλήμ, καὶ αὐτὸς διήρχετο διὰ μέσου Σαμαρείας καὶ Γαλιλαίας. Καὶ εἰσερχομένου αὐτοῦ εἴς τινα κώμην, ἀπήντησαν αὐτῷ δέκα λεπροὶ ἄνδρες, οἳ ἔστησαν πόρρωθεν. Καὶ αὐτοὶ ἦραν φωνὴν λέγοντες, Ἰησοῦ ἐπιστάτα, ἐλέησον ἡμᾶς. Καὶ ἰδὼν εἶπεν αὐτοῖς, Πορευθέντες ἐπιδείξατε ἑαυτοὺς τοῖς ἱερεῦσι. Καὶ ἐγένετο, ἐν τῷ ὑπάγειν αὐτούς, ἐκαθαρίσθησαν. Εἷς δὲ ἐξ αὐτῶν, ἰδὼν ὅτι ἰάθη, ὑπέστρεψε, μετὰ φωνῆς μεγάλης δοξάζων τὸν Θεόν, καὶ ἔπεσεν ἐπὶ πρόσωπον παρὰ τοὺς πόδας αὐτοῦ, εὐχαριστῶν αὐτῷ· καὶ αὐτὸς ἦν Σαμαρείτης. Ἀποκριθεὶς δὲ ὁ Ἰησοῦς εἶπεν,

Οὐχὶ οἱ δέκα ἐκαθαρίσθησαν; οἱ δὲ ἐννέα ποῦ; Οὐχ εὑρέθησαν ὑποστρέψαντες δοῦναι δόξαν τῷ Θεῷ, εἰ μὴ ὁ ἀλλογενὴς οὗτος. Καὶ εἶπεν αὐτῷ, Ἀναστὰς πορεύου· ἡ πίστις σου σέσωκέ σε.

ΚΥΡΙΑΚΗ ΔΕΚΑΤΗ ΠΕΜΠΤΗ ΜΕΤΑ ΤΗΝ ΤΗΣ ΤΡΙΑΔΟΣ.

Εὐχή.

ΤΗν σὴν Ἐκκλησίαν διαφύλαξον, δεόμεθά σου, Κύριε, διὰ τοῦ διηνεκοῦς σου ἱλασμοῦ· Καὶ ἐφ᾽ ᾧ χωρὶς Σοῦ ἀδυνατεῖ μὴ παραρρυῆναι ἡ ἀνθρωπίνη ἀδυναμία, διαφύλαξον ἡμᾶς διαπαντὸς διὰ τῆς σῆς βοηθείας ἀπὸ πάντων τῶν βλαβερῶν, καὶ ὁδήγησον ἡμᾶς εἰς πάντα τὰ εἰς τὴν σωτηρίαν ἡμῶν συμφέροντα, διὰ Ἰησοῦ Χριστοῦ τοῦ Κυρίου ἡμῶν. Ἀμήν.

Ἀπόστολος.

ΙΔετε πηλίκοις ὑμῖν γράμμασιν ἔγραψα τῇ ἐμῇ χειρί. Ὅσοι θέλουσιν εὐπροσωπῆσαι ἐν σαρκί, οὗτοι ἀναγκάζουσιν ὑμᾶς περιτέμνεσθαι· μόνον ἵνα μὴ τῷ σταυρῷ τοῦ Χριστοῦ διώκωνται. Οὐδὲ γὰρ οἱ περιτεμνόμενοι αὐτοὶ νόμον φυλάσσουσιν· ἀλλὰ θέλουσιν ὑμᾶς περιτέμνεσθαι, ἵνα ἐν τῇ ὑμετέρᾳ σαρκὶ καυχήσωνται. Ἐμοὶ δὲ μὴ γένοιτο καυχᾶσθαι, εἰ μὴ ἐν τῷ σταυρῷ τοῦ Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ, δι᾽ οὗ ἐμοὶ κόσμος ἐσταύρωται, κἀγὼ τῷ κόσμῳ. Ἐν γὰρ Χριστῷ Ἰησοῦ οὔτε περιτομή τι ἰσχύει, οὔτε ἀκροβυστία, ἀλλὰ καινὴ κτίσις. Καὶ ὅσοι τῷ κανόνι τούτῳ στοιχήσουσιν, εἰρήνη ἐπ᾽ αὐτούς, καὶ ἔλεος, καὶ ἐπὶ τὸν Ἰσραὴλ τοῦ Θεοῦ. Τοῦ λοιποῦ κόπους μοι μηδεὶς παρεχέτω, ἐγὼ γὰρ τὰ στίγματα τοῦ Κυρίου Ἰησοῦ ἐν τῷ σώματί μου βαστάζω. Ἡ χάρις τοῦ Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ μετὰ τοῦ πνεύματος ὑμῶν, ἀδελφοί. Ἀμήν. Γαλ. ϛ΄ 11.

Εὐαγγέλιον.

Ματθ. ϛʹ 24. ΟΥδεὶς δύναται δυσὶ κυρίοις δουλεύειν· ἢ γὰρ τὸν ἕνα μισήσει, καὶ τὸν ἕτερον ἀγαπήσει· ἢ ἑνὸς ἀνθέξεται, καὶ τοῦ ἑτέρου καταφρονήσει. Οὐ δύνασθε Θεῷ δουλεύειν καὶ Μαμωνᾷ. Διὰ τοῦτο λέγω ὑμῖν, Μὴ μεριμνᾶτε τῇ ψυχῇ ὑμῶν, τί φάγητε, καὶ τί πίητε· μηδὲ τῷ σώματι ὑμῶν, τί ἐνδύσησθε· Οὐχὶ ἡ ψυχὴ πλεῖόν ἐστι τῆς τροφῆς, καὶ τὸ σῶμα τοῦ ἐνδύματος; Ἐμβλέψατε εἰς τὰ πετεινὰ τοῦ οὐρανοῦ· ὅτι οὐ σπείρουσιν, οὐδὲ θερίζουσιν, οὐδὲ συνάγουσιν εἰς ἀποθήκας· καὶ ὁ Πατὴρ ὑμῶν ὁ οὐράνιος τρέφει αὐτά· Οὐχ ὑμεῖς μᾶλλον διαφέρετε αὐτῶν; Τίς δὲ ἐξ ὑμῶν μεριμνῶν δύναται προσθεῖναι ἐπὶ τὴν ἡλικίαν αὐτοῦ πῆχυν ἕνα; Καὶ περὶ ἐνδύματος τί μεριμνᾶτε; Καταμάθετε τὰ κρίνα τοῦ ἀγροῦ πῶς αὐξάνει· οὐ κοπιᾷ, οὐδὲ νήθει· Λέγω δὲ ὑμῖν, ὅτι οὐδὲ Σολομὼν ἐν πάσῃ τῇ δόξῃ αὐτοῦ περιεβάλετο ὡς ἓν τούτων. Εἰ δὲ τὸν χόρτον τοῦ ἀγροῦ, σήμερον ὄντα, καὶ αὔριον εἰς κλίβανον βαλλόμενον, ὁ Θεὸς οὕτως ἀμφιέννυσιν· οὐ πολλῷ μᾶλλον ὑμᾶς, ὀλιγόπιστοι; Μὴ οὖν μεριμνήσητε λέγοντες, Τί φάγωμεν; ἢ τί πίωμεν; ἢ τί περιβαλώμεθα; (πάντα γὰρ ταῦτα τὰ ἔθνη ἐπιζητεῖ) οἶδε γὰρ ὁ Πατὴρ ὑμῶν ὁ οὐράνιος ὅτι χρῄζετε τούτων ἁπάντων. Ζητεῖτε δὲ πρῶτον τὴν βασιλείαν τοῦ Θεοῦ, καὶ τὴν δικαιοσύνην αὐτοῦ, καὶ ταῦτα πάντα προστεθήσεται ὑμῖν. Μὴ οὖν μεριμνήσητε εἰς τὸν αὔριον· ἡ γὰρ αὔριον μεριμνήσει τὰ ἑαυτῆς· ἀρκετὸν τῇ ἡμέρᾳ ἡ κακία αὐτῆς.

ΚΥΡΙΑΚΗ ΔΕΚΑΤΗ ΕΚΤΗ ΜΕΤΑ ΤΗΝ ΤΗΣ ΤΡΙΑΔΟΣ.

Εὐχή.

ΤΗν σὴν Ἐκκλησίαν, δεόμεθά σου, Κύριε, καθαριζέτω καὶ ὑπερασπιζέτω ὁ διαρκής σου οἰκτιρμός· καὶ ἐφʼ ᾧ

χωρὶς Σοῦ ἀδυνατεῖ αὐτὴ σῴα διατελεῖν, διὰ τῆς βοηθείας καὶ ἀγαθότητός σου διατήρησον αὐτὴν πάντοτε, διὰ Ἰησοῦ Χριστοῦ τοῦ Κυρίου ἡμῶν. Ἀμήν.

Ἀπόστολος.

ΑἸτοῦμαι μὴ ἐκκακεῖν ἐν ταῖς θλίψεσί μου ὑπὲρ ὑμῶν, ἥτις ἐστὶ δόξα ὑμῶν. Τούτου χάριν κάμπτω τὰ γόνατά μου πρὸς τὸν Πατέρα τοῦ Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ, ἐξ οὗ πᾶσα πατριὰ ἐν οὐρανοῖς καὶ ἐπὶ γῆς ὀνομάζεται, ἵνα δῴη ὑμῖν κατὰ τὸν πλοῦτον τῆς δόξης αὐτοῦ, δυνάμει κραταιωθῆναι διὰ τοῦ Πνεύματος αὐτοῦ εἰς τὸν ἔσω ἄνθρωπον· Κατοικῆσαι τὸν Χριστὸν διὰ τῆς πίστεως ἐν ταῖς καρδίαις ὑμῶν· ἐν ἀγάπῃ ἐρριζωμένοι καὶ τεθεμελιωμένοι, ἵνα ἐξισχύσητε καταλαβέσθαι σὺν πᾶσι τοῖς ἁγίοις, τί τὸ πλάτος, καὶ μῆκος, καὶ βάθος, καὶ ὕψος· γνῶναί τε τὴν ὑπερβάλλουσαν τῆς γνώσεως ἀγάπην τοῦ Χριστοῦ, ἵνα πληρωθῆτε εἰς πᾶν τὸ πλήρωμα τοῦ Θεοῦ. Τῷ δὲ δυναμένῳ ὑπὲρ πάντα ποιῆσαι ὑπὲρ ἐκ περισσοῦ ὧν αἰτούμεθα ἢ νοοῦμεν, κατὰ τὴν δύναμιν τὴν ἐνεργουμένην ἐν ἡμῖν, αὐτῷ ἡ δόξα ἐν τῇ Ἐκκλησίᾳ ἐν Χριστῷ Ἰησοῦ, εἰς πάσας τὰς γενεὰς τοῦ αἰῶνος τῶν αἰώνων. Ἀμήν. Ἐφεσ. Γʹ 13.

Εὐαγγέλιον.

ΚΑὶ ἐγένετο ἐν τῇ ἑξῆς, ἐπορεύετο ὁ Ἰησοῦς εἰς πόλιν καλουμένην Ναΐν, καὶ συνεπορεύοντο αὐτῷ οἱ μαθηταὶ αὐτοῦ ἱκανοί, καὶ ὄχλος πολύς. Ὡς δὲ ἤγγισε τῇ πύλῃ τῆς πόλεως, καὶ ἰδού, ἐξεκομίζετο τεθνηκώς, υἱὸς μονογενὴς τῇ μητρὶ αὐτοῦ, καὶ αὕτη χήρα· καὶ ὄχλος τῆς πόλεως ἱκανὸς ἦν σὺν αὐτῇ. Καὶ ἰδὼν αὐτὴν ὁ Κύριος ἐσπλαγχνίσθη ἐπ᾽ αὐτῇ, καὶ εἶπεν αὐτῇ, Μὴ κλαῖε. Καὶ προσελθὼν ἥψατο τῆς σοροῦ (οἱ δὲ βαστάζοντες ἔστησαν) καὶ εἶπε, Νεανίσκε, σοὶ λέγω, Ἐγέρθητι. Καὶ ἀνεκάθισεν ὁ νεκρός, Λουκ. Ζʹ 11.

καὶ ἤρξατο λαλεῖν· καὶ ἔδωκεν αὐτὸν τῇ μητρὶ αὐτοῦ. Ἔλαβε δὲ φόβος ἅπαντας, καὶ ἐδόξαζον τὸν Θεόν, λέγοντες ὅτι Προφήτης μέγας ἐγήγερται ἐν ἡμῖν, καὶ ὅτι Ἐπεσκέψατο ὁ Θεὸς τὸν λαὸν αὐτοῦ. Καὶ ἐξῆλθεν ὁ λόγος οὗτος ἐν ὅλῃ τῇ Ἰουδαίᾳ περὶ αὐτοῦ, καὶ ἐν πάσῃ τῇ περιχώρῳ.

ΚΥΡΙΑΚΗ ΔΕΚΑΤΗ ΕΒΔΟΜΗ ΜΕΤΑ ΤΗΝ ΤΗΣ ΤΡΙΑΔΟΣ.

Εὐχή.

ΔΕόμεθά σου, Κύριε, ἵνα ἡ χάρις σου διαπαντὸς ἡμᾶς προάγῃ καὶ ἐξακολουθῇ, καὶ ποιῇ ἡμᾶς εἰς πᾶν ἔργον ἀγαθὸν διηνεκῶς εἶναι ἐπιδεδομένους, διὰ Ἰησοῦ Χριστοῦ τοῦ Κυρίου ἡμῶν. Ἀμήν.

Ἀπόστολος.

Ἐφεσ. Δ′ 1. *ΠΑρακαλῶ οὖν ὑμᾶς ἐγὼ ὁ δέσμιος ἐν Κυρίῳ ἀξίως περιπατῆσαι τῆς κλήσεως ἧς ἐκλήθητε, μετὰ πάσης ταπεινοφροσύνης, καὶ πρᾳότητος, μετὰ μακροθυμίας, ἀνεχόμενοι ἀλλήλων ἐν ἀγάπῃ· σπουδάζοντες τηρεῖν τὴν ἑνότητα τοῦ πνεύματος ἐν τῷ συνδέσμῳ τῆς εἰρήνης. Ἓν σῶμα, καὶ ἓν Πνεῦμα, καθὼς καὶ ἐκλήθητε ἐν μιᾷ ἐλπίδι τῆς κλήσεως ὑμῶν· εἷς Κύριος, μία πίστις, ἓν βάπτισμα, εἷς Θεὸς καὶ Πατὴρ πάντων, ὁ ἐπὶ πάντων, καὶ διὰ πάντων, καὶ ἐν πᾶσιν ὑμῖν.*

Εὐαγγέλιον.

Λουκ. ΙΔ′ 1. *Ἐγένετο, ἐν τῷ ἐλθεῖν τὸν Ἰησοῦν εἰς οἶκόν τινος τῶν ἀρχόντων τῶν Φαρισαίων σαββάτῳ φαγεῖν ἄρτον, καὶ αὐτοὶ ἦσαν παρατηρούμενοι αὐτόν. Καὶ ἰδού, ἄνθρωπός τις ἦν ὑδρωπικὸς ἔμπροσθεν αὐτοῦ. Καὶ ἀποκριθεὶς ὁ Ἰησοῦς εἶπε πρὸς τοὺς νομικοὺς καὶ Φαρισαίους, λέγων, Εἰ ἔξεστι τῷ σαββάτῳ θεραπεύειν; Οἱ δὲ ἡσύχασαν. Καὶ*

ἐπιλαβόμενος ἰάσατο αὐτόν, καὶ ἀπέλυσε· καὶ ἀποκριθεὶς πρὸς αὐτοὺς εἶπε, Τίνος ὑμῶν ὄνος ἢ βοῦς εἰς φρέαρ ἐμπεσεῖται, καὶ οὐκ εὐθέως ἀνασπάσει αὐτὸν ἐν τῇ ἡμέρᾳ τοῦ σαββάτου; Καὶ οὐκ ἴσχυσαν ἀνταποκριθῆναι αὐτῷ πρὸς ταῦτα. Ἔλεγε δὲ πρὸς τοὺς κεκλημένους παραβολήν, ἐπέχων πῶς τὰς πρωτοκλισίας ἐξελέγοντο, λέγων πρὸς αὐτούς, Ὅταν κληθῇς ὑπό τινος εἰς γάμους, μὴ κατακλιθῇς εἰς τὴν πρωτοκλισίαν, μήποτε ἐντιμότερός σου ᾖ κεκλημένος ὑπ᾽ αὐτοῦ· Καὶ ἐλθὼν ὁ σὲ καὶ αὐτὸν καλέσας ἐρεῖ σοι, Δὸς τούτῳ τόπον· καὶ τότε ἄρξῃ μετ᾽ αἰσχύνης τὸν ἔσχατον τόπον κατέχειν. Ἀλλ᾽ ὅταν κληθῇς, πορευθεὶς ἀνάπεσε εἰς τὸν ἔσχατον τόπον, ἵνα ὅταν ἔλθῃ ὁ κεκληκώς σε, εἴπῃ σοι, Φίλε, προσανάβηθι ἀνώτερον· τότε ἔσται σοι δόξα ἐνώπιον τῶν συνανακειμένων σοί. Ὅτι πᾶς ὁ ὑψῶν ἑαυτόν, ταπεινωθήσεται· καὶ ὁ ταπεινῶν ἑαυτόν, ὑψωθήσεται.

ΚΥΡΙΑΚΗ ΔΕΚΑΤΗ ΟΓΔΟΗ ΜΕΤΑ ΤΗΝ ΤΗΣ ΤΡΙΑΔΟΣ.

Εὐχή.

ΠΑράσχου τῷ λαῷ σου, δεόμεθά σου, Κύριε, τὴν χάριν τοῦ ἀντιστῆναι τοῖς πειρασμοῖς τοῦ κόσμου, τῆς σαρκός, καὶ τοῦ διαβόλου, καὶ μετὰ καθαρῶν τῶν καρδιῶν καὶ διανοιῶν Σοὶ τῷ μόνῳ ἐξακολουθεῖν Θεῷ, διὰ Ἰησοῦ Χριστοῦ τοῦ Κυρίου ἡμῶν. Ἀμήν.

Ἀπόστολος.

ΕΥχαριστῶ τῷ Θεῷ μου πάντοτε περὶ ὑμῶν, ἐπὶ τῇ χάριτι Α′ Κορ.
τοῦ Θεοῦ τῇ δοθείσῃ ὑμῖν ἐν Ἰησοῦ Χριστῷ· ὅτι ἐν Α′ 4.
παντὶ ἐπλουτίσθητε ἐν αὐτῷ, ἐν παντὶ λόγῳ, καὶ πάσῃ γνώσει, καθὼς τὸ μαρτύριον τοῦ Χριστοῦ ἐβεβαιώθη ἐν ὑμῖν· Ὥστε ὑμᾶς μὴ ὑστερεῖσθαι ἐν μηδενὶ χαρίσματι·

ἀπεκδεχομένους τὴν ἀποκάλυψιν τοῦ Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ, ὃς καὶ βεβαιώσει ὑμᾶς ἕως τέλους, ἀνεγκλήτους ἐν τῇ ἡμέρᾳ τοῦ Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ.

Εὐαγγέλιον.

Ματθ. ΚΒ΄ 34. ΟΙ Φαρισαῖοι ἀκούσαντες ὅτι ἐφίμωσε ὁ Ἰησοῦς τοὺς Σαδδουκαίους, συνήχθησαν ἐπὶ τὸ αὐτό. Καὶ ἐπηρώτησεν εἷς ἐξ αὐτῶν, νομικός, πειράζων αὐτόν, καὶ λέγων, Διδάσκαλε, ποία ἐντολὴ μεγάλη ἐν τῷ νόμῳ; Ὁ δὲ Ἰησοῦς εἶπεν αὐτῷ, Ἀγαπήσεις Κύριον τὸν Θεόν σου ἐν ὅλῃ τῇ καρδίᾳ σου, καὶ ἐν ὅλῃ τῇ ψυχῇ σου, καὶ ἐν ὅλῃ τῇ διανοίᾳ σου. Αὕτη ἐστὶ πρώτη καὶ μεγάλη ἐντολή. Δευτέρα δὲ ὁμοία αὐτῇ, Ἀγαπήσεις τὸν πλησίον σου ὡς σεαυτόν. Ἐν ταύταις ταῖς δυσὶν ἐντολαῖς ὅλος ὁ νόμος καὶ οἱ προφῆται κρέμανται. Συνηγμένων δὲ τῶν Φαρισαίων, ἐπηρώτησεν αὐτοὺς ὁ Ἰησοῦς, λέγων, Τί ὑμῖν δοκεῖ περὶ τοῦ Χριστοῦ; τίνος υἱός ἐστι; Λέγουσιν αὐτῷ, Τοῦ Δαβίδ. Λέγει αὐτοῖς, Πῶς οὖν Δαβὶδ ἐν Πνεύματι Κύριον αὐτὸν καλεῖ, λέγων, Εἶπεν ὁ Κύριος τῷ Κυρίῳ μου, Κάθου ἐκ δεξιῶν μου, ἕως ἂν θῶ τοὺς ἐχθρούς σου ὑποπόδιον τῶν ποδῶν σου; Εἰ οὖν Δαβὶδ καλεῖ αὐτὸν Κύριον, πῶς Υἱὸς αὐτοῦ ἐστι; Καὶ οὐδεὶς ἐδύνατο αὐτῷ ἀποκριθῆναι λόγον, οὐδὲ ἐτόλμησέ τις (ἀπ᾽ ἐκείνης τῆς ἡμέρας) ἐπερωτῆσαι αὐτὸν οὐκέτι.

ΚΥΡΙΑΚΗ ΔΕΚΑΤΗ ΕΝΑΤΗ ΜΕΤΑ ΤΗΝ ΤΗΣ ΤΡΙΑΔΟΣ.

Εὐχή.

Ὁ Θεός, ἐπειδὴ χωρίς σου ἀδυνατοῦμέν σοι εὐαρεστῆσαι· Ἵλεως παράσχου, ἵνα ἐν πᾶσι τὸ Πνεῦμά σου τὸ ἅγιον τὰς καρδίας ἡμῶν διευθύνῃ καὶ κυβερνήσῃ, διὰ Ἰησοῦ Χριστοῦ τοῦ Κυρίου ἡμῶν. Ἀμήν.

ΚΥΡΙΑΚΗ ΙΘ′ ΜΕΤΑ ΤΗΝ ΤΗΣ ΤΡΙΑΔΟΣ

Ἀπόστολος.

ΤΟῦτο οὖν λέγω, καὶ μαρτύρομαι ἐν Κυρίῳ, μηκέτι ὑμᾶς περιπατεῖν καθὼς καὶ τὰ λοιπὰ Ἔθνη περιπατεῖ ἐν ματαιότητι τοῦ νοὸς αὐτῶν· ἐσκοτισμένοι τῇ διανοίᾳ ὄντες, ἀπηλλοτριωμένοι τῆς ζωῆς τοῦ Θεοῦ διὰ τὴν ἄγνοιαν τὴν οὖσαν ἐν αὐτοῖς, διὰ τὴν πώρωσιν τῆς καρδίας αὐτῶν· οἵτινες ἀπηλγηκότες, ἑαυτοὺς παρέδωκαν τῇ ἀσελγείᾳ, εἰς ἐργασίαν ἀκαθαρσίας πάσης ἐν πλεονεξίᾳ. Ὑμεῖς δὲ οὐχ οὕτως ἐμάθετε τὸν Χριστόν· Εἴγε αὐτὸν ἠκούσατε, καὶ ἐν αὐτῷ ἐδιδάχθητε, καθώς ἐστιν ἀλήθεια ἐν τῷ Ἰησοῦ· Ἀποθέσθαι ὑμᾶς, κατὰ τὴν προτέραν ἀναστροφήν, τὸν παλαιὸν ἄνθρωπον τὸν φθειρόμενον κατὰ τὰς ἐπιθυμίας τῆς ἀπάτης· ἀνανεοῦσθαι δὲ τῷ πνεύματι τοῦ νοὸς ὑμῶν· καὶ ἐνδύσασθαι τὸν καινὸν ἄνθρωπον, τὸν κατὰ Θεὸν κτισθέντα ἐν δικαιοσύνῃ καὶ ὁσιότητι τῆς ἀληθείας. Διὸ ἀποθέμενοι τὸ ψεῦδος, λαλεῖτε ἀλήθειαν ἕκαστος μετὰ τοῦ πλησίον αὐτοῦ· ὅτι ἐσμὲν ἀλλήλων μέλη. Ὀργίζεσθε καὶ μὴ ἁμαρτάνετε. Ὁ ἥλιος μὴ ἐπιδυέτω ἐπὶ τῷ παροργισμῷ ὑμῶν· Μήτε δίδοτε τόπον τῷ διαβόλῳ. Ὁ κλέπτων μηκέτι κλεπτέτω· μᾶλλον δὲ κοπιάτω, ἐργαζόμενος τὸ ἀγαθὸν ταῖς χερσίν, ἵνα ἔχῃ μεταδιδόναι τῷ χρείαν ἔχοντι. Πᾶς λόγος σαπρὸς ἐκ τοῦ στόματος ὑμῶν μὴ ἐκπορευέσθω, ἀλλ᾽ εἴ τις ἀγαθὸς πρὸς οἰκοδομὴν τῆς χρείας, ἵνα δῷ χάριν τοῖς ἀκούουσι. Καὶ μὴ λυπεῖτε τὸ Πνεῦμα τὸ ἅγιον τοῦ Θεοῦ, ἐν ᾧ ἐσφραγίσθητε εἰς ἡμέραν ἀπολυτρώσεως. Πᾶσα πικρία, καὶ θυμός, καὶ ὀργή, καὶ κραυγή, καὶ βλασφημία ἀρθήτω ἀφ᾽ ὑμῶν, σὺν πάσῃ κακίᾳ. Γίνεσθε δὲ εἰς ἀλλήλους χρηστοί, εὔσπλαγχνοι, χαριζόμενοι ἑαυτοῖς, καθὼς καὶ ὁ Θεὸς ἐν Χριστῷ ἐχαρίσατο ὑμῖν.

Ἐφεσ. Δ′ 17.

Εὐαγγέλιον.

Ἐμβὰς ὁ Ἰησοῦς εἰς τὸ πλοῖον διεπέρασε, καὶ ἦλθεν εἰς τὴν ἰδίαν πόλιν. Καὶ ἰδού, προσέφερον αὐτῷ παρα-

Ματθ. Θ′ 1.

λυτικόν, ἐπὶ κλίνης βεβλημένον. Καὶ ἰδὼν ὁ Ἰησοῦς τὴν πίστιν αὐτῶν, εἶπε τῷ παραλυτικῷ, Θάρσει, τέκνον, ἀφέωνταί σοι αἱ ἁμαρτίαι σου. Καὶ ἰδού, τινὲς τῶν Γραμματέων εἶπον ἐν ἑαυτοῖς, Οὗτος βλασφημεῖ. Καὶ ἰδὼν ὁ Ἰησοῦς τὰς ἐνθυμήσεις αὐτῶν, εἶπεν, Ἱνατί ὑμεῖς ἐνθυμεῖσθε πονηρὰ ἐν ταῖς καρδίαις ὑμῶν; Τί γάρ ἐστιν εὐκοπώτερον εἰπεῖν, Ἀφέωνταί σοι αἱ ἁμαρτίαι; ἢ εἰπεῖν, Ἔγειραι καὶ περιπάτει; Ἵνα δὲ εἰδῆτε ὅτι ἐξουσίαν ἔχει ὁ Υἱὸς τοῦ ἀνθρώπου ἐπὶ τῆς γῆς ἀφιέναι ἁμαρτίας, (τότε λέγει τῷ παραλυτικῷ) Ἐγερθεὶς ἆρόν σου τὴν κλίνην, καὶ ὕπαγε εἰς τὸν οἶκόν σου. Καὶ ἐγερθεὶς ἀπῆλθεν εἰς τὸν οἶκον αὐτοῦ. Ἰδόντες δὲ οἱ ὄχλοι ἐθαύμασαν, καὶ ἐδόξασαν τὸν Θεόν, τὸν δόντα ἐξουσίαν τοιαύτην τοῖς ἀνθρώποις.

ΚΥΡΙΑΚΗ ΕΙΚΟΣΤΗ ΜΕΤΑ ΤΗΝ ΤΗΣ ΤΡΙΑΔΟΣ.

Εὐχή.

Ὁ Θεὸς ὁ παντοκράτωρ καὶ πολυεύσπλαγχνος, διὰ τὴν ἄφθονόν σου ἀγαθότητα πάντα τὰ ἡμῖν ἀντικείμενα, δεόμεθά σου, ἀπόφραξον· ἵνα ψυχῇ τε καὶ σώματι ἀνεμπόδιστοι γενόμενοι, τὰ Σοὶ εὐάρεστα μετ' ἐλευθέρων ἐκτελέσωμεν διανοιῶν, διὰ Ἰησοῦ Χριστοῦ τοῦ Κυρίου ἡμῶν. Ἀμήν.

Ἀπόστολος.

Ἐφεσ. Εʹ 15. Βλέπετε οὖν πῶς ἀκριβῶς περιπατεῖτε, μὴ ὡς ἄσοφοι, ἀλλ' ὡς σοφοί, ἐξαγοραζόμενοι τὸν καιρόν, ὅτι αἱ ἡμέραι πονηραί εἰσι. Διὰ τοῦτο μὴ γίνεσθε ἄφρονες, ἀλλὰ συνιέντες τί τὸ θέλημα τοῦ Κυρίου. Καὶ μὴ μεθύσκεσθε οἴνῳ, ἐν ᾧ ἐστιν ἀσωτία· ἀλλὰ πληροῦσθε ἐν Πνεύματι· λαλοῦντες ἑαυτοῖς ψαλμοῖς, καὶ ὕμνοις, καὶ ᾠδαῖς πνευματικαῖς· ᾄδοντες καὶ ψάλλοντες ἐν τῇ καρδίᾳ ὑμῶν τῷ

Κυρίῳ· εὐχαριστοῦντες πάντοτε ὑπὲρ πάντων, ἐν Ὀνόματι τοῦ Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ, τῷ Θεῷ καὶ Πατρί· ὑποτασσόμενοι ἀλλήλοις ἐν φόβῳ Θεοῦ.

Εὐαγγέλιον.

ΕΙπεν ὁ Ἰησοῦς, Ὡμοιώθη ἡ βασιλεία τῶν οὐρανῶν Ματθ.
ἀνθρώπῳ βασιλεῖ, ὅστις ἐποίησε γάμους τῷ υἱῷ αὐτοῦ· ΚΒʹ 1.
καὶ ἀπέστειλε τοὺς δούλους αὐτοῦ καλέσαι τοὺς κεκλημένους εἰς τοὺς γάμους· καὶ οὐκ ἤθελον ἐλθεῖν. Πάλιν, ἀπέστειλεν ἄλλους δούλους, λέγων, Εἴπατε τοῖς κεκλημένοις, Ἰδού, τὸ ἄριστόν μου ἡτοίμασα· οἱ ταῦροί μου καὶ τὰ σιτιστὰ τεθυμένα, καὶ πάντα ἕτοιμα· δεῦτε εἰς τοὺς γάμους. Οἱ δὲ ἀμελήσαντες ἀπῆλθον, ὁ μὲν εἰς τὸν ἴδιον ἀγρόν, ὁ δὲ εἰς τὴν ἐμπορίαν αὐτοῦ· Οἱ δὲ λοιποὶ κρατήσαντες τοὺς δούλους αὐτοῦ, ὕβρισαν, καὶ ἀπέκτειναν. Ἀκούσας δὲ ὁ βασιλεὺς ὠργίσθη· καὶ πέμψας τὰ στρατεύματα αὐτοῦ, ἀπώλεσε τοὺς φονεῖς ἐκείνους, καὶ τὴν πόλιν αὐτῶν ἐνέπρησε. Τότε λέγει τοῖς δούλοις αὐτοῦ, Ὁ μὲν γάμος ἕτοιμός ἐστιν, οἱ δὲ κεκλημένοι οὐκ ἦσαν ἄξιοι. Πορεύεσθε οὖν ἐπὶ τὰς διεξόδους τῶν ὁδῶν, καὶ ὅσους ἂν εὕρητε καλέσατε εἰς τοὺς γάμους. Καὶ ἐξελθόντες οἱ δοῦλοι ἐκεῖνοι εἰς τὰς ὁδούς, συνήγαγον πάντας ὅσους εὗρον, πονηρούς τε καὶ ἀγαθούς· καὶ ἐπλήσθη ὁ γάμος ἀνακειμένων. Εἰσελθὼν δὲ ὁ βασιλεὺς θεάσασθαι τοὺς ἀνακειμένους, εἶδεν ἐκεῖ ἄνθρωπον οὐκ ἐνδεδυμένον ἔνδυμα γάμου. Καὶ λέγει αὐτῷ, Ἑταῖρε, πῶς εἰσῆλθες ὧδε, μὴ ἔχων ἔνδυμα γάμου; Ὁ δὲ ἐφιμώθη. Τότε εἶπεν ὁ βασιλεὺς τοῖς διακόνοις, Δήσαντες αὐτοῦ πόδας καὶ χεῖρας, ἄρατε αὐτόν, καὶ ἐκβάλετε εἰς τὸ σκότος τὸ ἐξώτερον· Ἐκεῖ ἔσται ὁ κλαυθμὸς καὶ ὁ βρυγμὸς τῶν ὀδόντων. Πολλοὶ γάρ εἰσι κλητοί, ὀλίγοι δὲ ἐκλεκτοί.

ΚΥΡΙΑΚΗ ΕΙΚΟΣΤΗ ΠΡΩΤΗ ΜΕΤΑ ΤΗΝ ΤΗΣ ΤΡΙΑΔΟΣ.

Εὐχή.

ΤΟῖς σοῖς πιστοῖς, δεόμεθά σου, Κύριε οἰκτίρμον, συγγνώμην τε καὶ εἰρήνην δώρησαι, ἵνα ἀπὸ πάσης καθαρισθέντες ἁμαρτίας, ἀμερίμνῳ τῇ διανοίᾳ καταδουλεύωσί σοι, διὰ Ἰησοῦ Χριστοῦ τοῦ Κυρίου ἡμῶν. Ἀμήν.

Ἀπόστολος.

Ἐφεσ. ϛ′ 10. ἈΔελφοί μου, ἐνδυναμοῦσθε ἐν Κυρίῳ, καὶ ἐν τῷ κράτει τῆς ἰσχύος αὐτοῦ. Ἐνδύσασθε τὴν πανοπλίαν τοῦ Θεοῦ, πρὸς τὸ δύνασθαι ὑμᾶς στῆναι πρὸς τὰς μεθοδείας τοῦ διαβόλου. Ὅτι οὐκ ἔστιν ἡμῖν ἡ πάλη πρὸς αἷμα καὶ σάρκα, ἀλλὰ πρὸς τὰς ἀρχάς, πρὸς τὰς ἐξουσίας, πρὸς τοὺς κοσμοκράτορας τοῦ σκότους τοῦ αἰῶνος τούτου, πρὸς τὰ πνευματικὰ τῆς πονηρίας ἐν τοῖς ἐπουρανίοις. Διὰ τοῦτο ἀναλάβετε τὴν πανοπλίαν τοῦ Θεοῦ, ἵνα δυνηθῆτε ἀντιστῆναι ἐν τῇ ἡμέρᾳ τῇ πονηρᾷ, καὶ ἅπαντα κατεργασάμενοι, στῆναι. Στῆτε οὖν περιζωσάμενοι τὴν ὀσφὺν ὑμῶν ἐν ἀληθείᾳ, καὶ ἐνδυσάμενοι τὸν θώρακα τῆς δικαιοσύνης· καὶ ὑποδησάμενοι τοὺς πόδας ἐν ἑτοιμασίᾳ τοῦ εὐαγγελίου τῆς εἰρήνης· Ἐπὶ πᾶσιν ἀναλαβόντες τὸν θυρεὸν τῆς πίστεως, ἐν ᾧ δυνήσεσθε πάντα τὰ βέλη τοῦ πονηροῦ τὰ πεπυρωμένα σβέσαι. Καὶ τὴν περικεφαλαίαν τοῦ σωτηρίου δέξασθε, καὶ τὴν μάχαιραν τοῦ Πνεύματος, ὅ ἐστι ῥῆμα Θεοῦ· Διὰ πάσης προσευχῆς καὶ δεήσεως προσευχόμενοι ἐν παντὶ καιρῷ ἐν Πνεύματι, καὶ εἰς αὐτὸ τοῦτο ἀγρυπνοῦντες ἐν πάσῃ προσκαρτερήσει καὶ δεήσει περὶ πάντων τῶν ἁγίων· καὶ ὑπὲρ ἐμοῦ, ἵνα μοι δοθείη λόγος, ἐν ἀνοίξει τοῦ στόματός μου ἐν παρρησίᾳ, γνωρίσαι τὸ μυστήριον τοῦ εὐαγγελίου· ὑπὲρ οὗ πρεσβεύω ἐν ἁλύσει· ἵνα ἐν αὐτῷ παρρησιάσωμαι, ὡς δεῖ με λαλῆσαι.

ΚΥΡΙΑΚΗ ΚΒʹ ΜΕΤΑ ΤΗΝ ΤΗΣ ΤΡΙΑΔΟΣ

Εὐαγγέλιον.

ἮΝ τις βασιλικός, οὗ ὁ υἱὸς ἠσθένει ἐν Καπερναούμ. Οὗτος ἀκούσας ὅτι Ἰησοῦς ἥκει ἐκ τῆς Ἰουδαίας εἰς τὴν Γαλιλαίαν, ἀπῆλθε πρὸς αὐτόν, καὶ ἠρώτα αὐτόν, ἵνα καταβῇ, καὶ ἰάσηται αὐτοῦ τὸν υἱόν· ἤμελλε γὰρ ἀποθνήσκειν. Εἶπεν οὖν ὁ Ἰησοῦς πρὸς αὐτόν, Ἐὰν μὴ σημεῖα καὶ τέρατα ἴδητε, οὐ μὴ πιστεύσητε. Λέγει πρὸς αὐτὸν ὁ βασιλικός, Κύριε, κατάβηθι πρὶν ἀποθανεῖν τὸ παιδίον μου. Λέγει αὐτῷ ὁ Ἰησοῦς, Πορεύου, ὁ υἱός σου ζῇ. Καὶ ἐπίστευσεν ὁ ἄνθρωπος τῷ λόγῳ ᾧ εἶπεν αὐτῷ ὁ Ἰησοῦς, καὶ ἐπορεύετο. Ἤδη δὲ αὐτοῦ καταβαίνοντος, οἱ δοῦλοι αὐτοῦ ἀπήντησαν αὐτῷ, καὶ ἀπήγγειλαν, λέγοντες ὅτι Ὁ παῖς σου ζῇ. Ἐπύθετο οὖν παρ' αὐτῶν τὴν ὥραν ἐν ᾗ κομψότερον ἔσχε· Καὶ εἶπον αὐτῷ ὅτι Χθὲς ὥραν ἑβδόμην ἀφῆκεν αὐτὸν ὁ πυρετός. Ἔγνω οὖν ὁ πατὴρ ὅτι ἐν ἐκείνῃ τῇ ὥρᾳ, ἐν ᾗ εἶπεν αὐτῷ ὁ Ἰησοῦς ὅτι Ὁ υἱός σου ζῇ· καὶ ἐπίστευσεν αὐτός, καὶ ἡ οἰκία αὐτοῦ ὅλη. Τοῦτο πάλιν δεύτερον σημεῖον ἐποίησεν ὁ Ἰησοῦς ἐλθὼν ἐκ τῆς Ἰουδαίας εἰς τὴν Γαλιλαίαν. Ἰωάν. Δʹ 46.

ΚΥΡΙΑΚΗ ΕΙΚΟΣΤΗ ΔΕΥΤΕΡΑ ΜΕΤΑ ΤΗΝ ΤΗΣ ΤΡΙΑΔΟΣ.

Εὐχή.

ΤΗν οἰκογένειάν σου τὴν Ἐκκλησίαν, δεόμεθά σου, Κύριε, ἐν διηνεκεῖ διατήρησον εὐσεβείᾳ, ἵνα Σοῦ ὑπερασπίζοντος αὐτὴν ἀπὸ παντὸς ἐναντίου διαμένῃ ἐλευθέρα, καὶ ἐν ἔργοις ἀγαθοῖς τῇ σῇ διατελῇ ἀφοσιωμένη λατρείᾳ εἰς δόξαν τοῦ Ὀνόματός σου, διὰ Ἰησοῦ Χριστοῦ τοῦ Κυρίου ἡμῶν. Ἀμήν.

Ἀπόστολος.

ΕΥχαριστῶ τῷ Θεῷ μου ἐπὶ πάσῃ τῇ μνείᾳ ὑμῶν (πάντοτε ἐν πάσῃ δεήσει μου ὑπὲρ πάντων ὑμῶν, μετὰ χαρᾶς τὴν δέησιν ποιούμενος), ἐπὶ τῇ κοινωνίᾳ ὑμῶν εἰς τὸ εὐαγγέλιον Φιλιπ. Αʹ 3.

ἀπὸ πρώτης ἡμέρας ἄχρι τοῦ νῦν· πεποιθὼς αὐτὸ τοῦτο, ὅτι ὁ ἐναρξάμενος ἐν ὑμῖν ἔργον ἀγαθόν, ἐπιτελέσει ἄχρις ἡμέρας Ἰησοῦ Χριστοῦ· καθώς ἐστι δίκαιον ἐμοὶ τοῦτο φρονεῖν ὑπὲρ πάντων ὑμῶν, διὰ τὸ ἔχειν με ἐν τῇ καρδίᾳ ὑμᾶς, ἔν τε τοῖς δεσμοῖς μου καὶ τῇ ἀπολογίᾳ καὶ βεβαιώσει τοῦ εὐαγγελίου συγκοινωνούς μου τῆς χάριτος πάντας ὑμᾶς ὄντας. Μάρτυς γάρ μού ἐστιν ὁ Θεός, ὡς ἐπιποθῶ πάντας ὑμᾶς ἐν σπλάγχνοις Ἰησοῦ Χριστοῦ. Καὶ τοῦτο προσεύχομαι, ἵνα ἡ ἀγάπη ὑμῶν ἔτι μᾶλλον καὶ μᾶλλον περισσεύῃ ἐν ἐπιγνώσει, καὶ πάσῃ αἰσθήσει· Εἰς τὸ δοκιμάζειν ὑμᾶς τὰ διαφέροντα, ἵνα ἦτε εἰλικρινεῖς, καὶ ἀπρόσκοποι εἰς ἡμέραν Χριστοῦ· Πεπληρωμένοι καρπῶν δικαιοσύνης, τῶν διὰ Ἰησοῦ Χριστοῦ, εἰς δόξαν καὶ ἔπαινον Θεοῦ.

Εὐαγγέλιον.

Ματθ. ΙΗʹ 21. Ὁ Πέτρος εἶπε τῷ Ἰησοῦ, Κύριε, ποσάκις ἁμαρτήσει εἰς ἐμὲ ὁ ἀδελφός μου, καὶ ἀφήσω αὐτῷ; ἕως ἑπτάκις; Λέγει αὐτῷ ὁ Ἰησοῦς, Οὐ λέγω σοι, ἕως ἑπτάκις· ἀλλ᾽ ἕως ἑβδομηκοντάκις ἑπτά. Διὰ τοῦτο ὡμοιώθη ἡ βασιλεία τῶν οὐρανῶν ἀνθρώπῳ βασιλεῖ, ὃς ἠθέλησε συνᾶραι λόγον μετὰ τῶν δούλων αὐτοῦ. Ἀρξαμένου δὲ αὐτοῦ συναίρειν, προσηνέχθη αὐτῷ εἷς, ὀφειλέτης μυρίων ταλάντων. Μὴ ἔχοντος δὲ αὐτοῦ ἀποδοῦναι, ἐκέλευσεν αὐτὸν ὁ κύριος αὐτοῦ πραθῆναι, καὶ τὴν γυναῖκα αὐτοῦ καὶ τὰ τέκνα, καὶ πάντα ὅσα εἶχε, καὶ ἀποδοθῆναι. Πεσὼν οὖν ὁ δοῦλος προσεκύνει αὐτῷ, λέγων, Κύριε, μακροθύμησον ἐπ᾽ ἐμοί, καὶ πάντα σοι ἀποδώσω. Σπλαγχνισθεὶς δὲ ὁ κύριος τοῦ δούλου ἐκείνου, ἀπέλυσεν αὐτόν, καὶ τὸ δάνειον ἀφῆκεν αὐτῷ. Ἐξελθὼν δὲ ὁ δοῦλος ἐκεῖνος εὗρεν ἕνα τῶν συνδούλων αὐτοῦ, ὃς ὤφειλεν αὐτῷ ἑκατὸν δηνάρια· καὶ κρατήσας αὐτὸν ἔπνιγε, λέγων, Ἀπόδος μοι ὅ τι ὀφείλεις. Πεσὼν οὖν ὁ σύνδουλος αὐτοῦ εἰς τοὺς πόδας αὐτοῦ, παρεκάλει αὐτόν, λέγων, Μακροθύμησον ἐπ᾽ ἐμοί, καὶ πάντα ἀποδώσω

σοι. Ὁ δὲ οὐκ ἤθελεν· ἀλλὰ ἀπελθὼν ἔβαλεν αὐτὸν εἰς φυλακήν, ἕως οὗ ἀποδῷ τὸ ὀφειλόμενον. Ἰδόντες δὲ οἱ σύνδουλοι αὐτοῦ τὰ γενόμενα, ἐλυπήθησαν σφόδρα, καὶ ἐλθόντες διεσάφησαν τῷ κυρίῳ αὐτῶν πάντα τὰ γενόμενα. Τότε προσκαλεσάμενος αὐτὸν ὁ κύριος αὐτοῦ, λέγει αὐτῷ, Δοῦλε πονηρέ, πᾶσαν τὴν ὀφειλὴν ἐκείνην ἀφῆκά σοι, ἐπεὶ παρεκάλεσάς με· Οὐκ ἔδει καὶ σὲ ἐλεῆσαι τὸν σύνδουλόν σου, ὡς καὶ ἐγώ σε ἠλέησα; Καὶ ὀργισθεὶς ὁ κύριος αὐτοῦ, παρέδωκεν αὐτὸν τοῖς βασανισταῖς, ἕως οὗ ἀποδῷ πᾶν τὸ ὀφειλόμενον αὐτῷ. Οὕτω καὶ ὁ Πατήρ μου ὁ ἐπουράνιος ποιήσει ὑμῖν, ἐὰν μὴ ἀφῆτε ἕκαστος τῷ ἀδελφῷ αὐτοῦ ἀπὸ τῶν καρδιῶν ὑμῶν τὰ παραπτώματα αὐτῶν.

ΚΥΡΙΑΚΗ ΕΙΚΟΣΤΗ ΤΡΙΤΗ ΜΕΤΑ ΤΗΝ ΤΗΣ ΤΡΙΑΔΟΣ.

Εὐχή.

Ὁ Θεὸς ἡμῶν καταφυγὴ καὶ δύναμις, ὁ πάσης ὧν αἴτιος τῆς εὐσεβείας, εὐήκοος γενοῦ, δεόμεθά σου, πρὸς τὰς εὐσεβεῖς τῆς Ἐκκλησίας σου προσευχάς· καὶ χάρισαι ἵνα ὅσα μετὰ πίστεως αἰτούμεθα, ἐπιτυχῶς κομισώμεθα, διὰ Ἰησοῦ Χριστοῦ τοῦ Κυρίου ἡμῶν. Ἀμήν.

Ἀπόστολος.

ΣΥμμιμηταί μου γίνεσθε, ἀδελφοί, καὶ σκοπεῖτε τοὺς οὕτω Φιλιπ.
περιπατοῦντας, καθὼς ἔχετε τύπον ἡμᾶς. (Πολλοὶ γὰρ Γʹ 17.
περιπατοῦσιν, οὓς πολλάκις ἔλεγον ὑμῖν, νῦν δὲ καὶ κλαίων λέγω, τοὺς ἐχθροὺς τοῦ σταυροῦ τοῦ Χριστοῦ· ὧν τὸ τέλος ἀπώλεια, ὧν ὁ θεὸς ἡ κοιλία, καὶ ἡ δόξα ἐν τῇ αἰσχύνῃ αὐτῶν, οἱ τὰ ἐπίγεια φρονοῦντες.) Ἡμῶν γὰρ τὸ πολίτευμα ἐν οὐρανοῖς ὑπάρχει, ἐξ οὗ καὶ Σωτῆρα ἀπεκδεχόμεθα, Κύριον Ἰησοῦν Χριστόν· ὃς μετασχηματίσει τὸ σῶμα τῆς ταπεινώσεως

ἡμῶν, εἰς τὸ γενέσθαι αὐτὸ σύμμορφον τῷ σώματι τῆς δόξης αὐτοῦ, κατὰ τὴν ἐνέργειαν τοῦ δύνασθαι αὐτὸν καὶ ὑποτάξαι ἑαυτῷ τὰ πάντα.

Εὐαγγέλιον.

Ματθ. ΚΒʹ 15. ΤΟτε πορευθέντες οἱ Φαρισαῖοι συμβούλιον ἔλαβον ὅπως αὐτὸν παγιδεύσωσιν ἐν λόγῳ. Καὶ ἀποστέλλουσιν αὐτῷ τοὺς μαθητὰς αὐτῶν μετὰ τῶν Ἡρωδιανῶν, λέγοντες, Διδάσκαλε, οἴδαμεν ὅτι ἀληθὴς εἶ, καὶ τὴν ὁδὸν τοῦ Θεοῦ ἐν ἀληθείᾳ διδάσκεις, καὶ οὐ μέλει σοι περὶ οὐδενός· οὐ γὰρ βλέπεις εἰς πρόσωπον ἀνθρώπων. Εἰπὲ οὖν ἡμῖν, Τί σοι δοκεῖ; Ἔξεστι δοῦναι κῆνσον Καίσαρι, ἢ οὔ; Γνοὺς δὲ ὁ Ἰησοῦς τὴν πονηρίαν αὐτῶν, εἶπε, Τί με πειράζετε, ὑποκριταί; Ἐπιδείξατέ μοι τὸ νόμισμα τοῦ κήνσου. Οἱ δὲ προσήνεγκαν αὐτῷ δηνάριον. Καὶ λέγει αὐτοῖς, Τίνος ἡ εἰκὼν αὕτη καὶ ἡ ἐπιγραφή; Λέγουσιν αὐτῷ, Καίσαρος. Τότε λέγει αὐτοῖς, Ἀπόδοτε οὖν τὰ Καίσαρος Καίσαρι· καὶ τὰ τοῦ Θεοῦ τῷ Θεῷ. Καὶ ἀκούσαντες ἐθαύμασαν, καὶ ἀφέντες αὐτὸν ἀπῆλθον.

ΚΥΡΙΑΚΗ ΕΙΚΟΣΤΗ ΤΕΤΑΡΤΗ ΜΕΤΑ ΤΗΝ ΤΗΣ ΤΡΙΑΔΟΣ.

Εὐχή.

ΔΕόμεθά σου, Κύριε, ἀπόλυσον τὸν λαόν σου τῶν παραπτωμάτων αὐτῶν· ἵνα καὶ ἀπὸ τῶν δεσμῶν τῶν κατὰ τὴν ἀσθένειαν ἡμῶν διαπραχθέντων ἁμαρτημάτων διὰ τῆς ἀφθόνου σου ἐλευθερωθῶμεν χρηστότητος· Τοῦτο χάρισαι, Πάτερ οὐράνιε, διὰ Ἰησοῦν Χριστόν, τὸν εὐλογητὸν ἡμῶν Κύριον καὶ Σωτῆρα. Ἀμήν.

Ἀπόστολος.

Κολ. Αʹ 3. ΕΥχαριστοῦμεν τῷ Θεῷ καὶ Πατρὶ τοῦ Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ, πάντοτε περὶ ὑμῶν προσευχόμενοι, ἀκούσαντες τὴν πίστιν ὑμῶν ἐν Χριστῷ Ἰησοῦ, καὶ τὴν ἀγάπην τὴν εἰς

πάντας τοὺς ἁγίους· διὰ τὴν ἐλπίδα τὴν ἀποκειμένην ὑμῖν ἐν τοῖς οὐρανοῖς, ἣν προηκούσατε ἐν τῷ λόγῳ τῆς ἀληθείας τοῦ Εὐαγγελίου· *τοῦ παρόντος εἰς ὑμᾶς, καθὼς καὶ ἐν παντὶ τῷ κόσμῳ, καὶ ἔστι καρποφορούμενον, καθὼς καὶ ἐν ὑμῖν, ἀφ' ἧς ἡμέρας ἠκούσατε, καὶ ἐπέγνωτε τὴν χάριν τοῦ* Θεοῦ *ἐν ἀληθείᾳ.* Καθὼς *καὶ ἐμάθετε ἀπὸ* Ἐπαφρᾶ *τοῦ ἀγαπητοῦ συνδούλου ἡμῶν, ὅς ἐστι πιστὸς ὑπὲρ ὑμῶν διάκονος τοῦ* Χριστοῦ· *ὁ καὶ δηλώσας ἡμῖν τὴν ὑμῶν ἀγάπην ἐν* Πνεύματι. Διὰ *τοῦτο καὶ ἡμεῖς, ἀφ' ἧς ἡμέρας ἠκούσαμεν, οὐ παυόμεθα ὑπὲρ ὑμῶν προσευχόμενοι, καὶ αἰτούμενοι ἵνα πληρωθῆτε τὴν ἐπίγνωσιν τοῦ θελήματος αὐτοῦ ἐν πάσῃ σοφίᾳ καὶ συνέσει πνευματικῇ·* Περιπατῆσαι *ὑμᾶς ἀξίως τοῦ* Κυρίου *εἰς πᾶσαν ἀρέσκειαν, ἐν παντὶ ἔργῳ ἀγαθῷ καρποφοροῦντες, καὶ αὐξανόμενοι εἰς τὴν ἐπίγνωσιν τοῦ* Θεοῦ· *ἐν πάσῃ δυνάμει δυναμούμενοι, κατὰ τὸ κράτος τῆς δόξης αὐτοῦ, εἰς πᾶσαν ὑπομονὴν καὶ μακροθυμίαν, μετὰ χαρᾶς· εὐχαριστοῦντες τῷ* Πατρί, *τῷ ἱκανώσαντι ἡμᾶς εἰς τὴν μερίδα τοῦ κλήρου τῶν ἁγίων ἐν τῷ φωτί.*

Εὐαγγέλιον.

ΤΑῦτα *λαλοῦντος τοῦ* Ἰησοῦ *τοῖς μαθηταῖς τοῦ* Ἰωάννου, *ἰδού, ἄρχων ἐλθὼν προσεκύνει αὐτῷ, λέγων ὅτι* Ἡ *θυγάτηρ μου ἄρτι ἐτελεύτησεν· ἀλλὰ ἐλθὼν ἐπίθες τὴν χεῖρά σου ἐπ' αὐτήν, καὶ ζήσεται.* (Καὶ *ἐγερθεὶς ὁ* Ἰησοῦς *ἠκολούθησεν αὐτῷ, καὶ οἱ μαθηταὶ αὐτοῦ.* Καὶ *ἰδού, γυνὴ αἱμορροοῦσα δώδεκα ἔτη, προσελθοῦσα ὄπισθεν, ἥψατο τοῦ κρασπέδου τοῦ ἱματίου αὐτοῦ·* Ἔλεγε *γὰρ ἐν ἑαυτῇ,* Ἐὰν *μόνον ἅψωμαι τοῦ ἱματίου αὐτοῦ, σωθήσομαι.* Ὁ *δὲ* Ἰησοῦς *ἐπιστραφείς, καὶ ἰδὼν αὐτήν, εἶπε,* Θάρσει, *θύγατερ, ἡ πίστις σου σέσωκέ σε.* Καὶ *ἐσώθη ἡ γυνὴ ἀπὸ τῆς ὥρας ἐκείνης.*) Καὶ *ἐλθὼν ὁ* Ἰησοῦς *εἰς τὴν οἰκίαν τοῦ ἄρχοντος, καὶ ἰδὼν τοὺς αὐλητὰς καὶ τὸν ὄχλον θορυβούμενον, λέγει αὐτοῖς,* Ἀναχωρεῖτε, *οὐ*

Ματθ. Θ' 18.

γὰρ ἀπέθανε τὸ κοράσιον, ἀλλὰ καθεύδει. Καὶ κατεγέλων αὐτοῦ. Ὅτε δὲ ἐξεβλήθη ὁ ὄχλος, εἰσελθὼν ἐκράτησε τῆς χειρὸς αὐτῆς, καὶ ἠγέρθη τὸ κοράσιον. Καὶ ἐξῆλθεν ἡ φήμη αὕτη εἰς ὅλην τὴν γῆν ἐκείνην.

ΚΥΡΙΑΚΗ ΕΙΚΟΣΤΗ ΠΕΜΠΤΗ ΜΕΤΑ ΤΗΝ ΤΗΣ ΤΡΙΑΔΟΣ.

Εὐχή.

Ἐξέγειρον, δεόμεθά σου, Κύριε, τὰ θελήματα τῶν πιστῶν σου, ἵνα αὐτοὶ τὸν καρπὸν τῶν ἀγαθῶν ἔργων πολυφοροῦντες, πολλὴν ἀπὸ Σοῦ τὴν μισθαποδοσίαν ἀπολάβωνται, διὰ Ἰησοῦ Χριστοῦ τοῦ Κυρίου ἡμῶν. Ἀμήν.

Ἀντὶ τοῦ Ἀποστόλου.

Ἱερ. ΚΓ' 5, 6, ΙϚ' 14, 15. Ἰδού, ἡμέραι ἔρχονται, λέγει Κύριος, καὶ ἀναστήσω τῷ Δαυὶδ ἀνατολὴν δικαίαν, καὶ βασιλεύσει Βασιλεύς, καὶ συνήσει, καὶ ποιήσει κρῖμα καὶ δικαιοσύνην ἐπὶ τῆς γῆς. Ἐν ταῖς ἡμέραις αὐτοῦ καὶ σωθήσεται Ἰούδας, καὶ Ἰσραὴλ κατασκηνώσει πεποιθώς· καὶ τοῦτο τὸ Ὄνομα ὃ καλέσει αὐτόν, ΚΥΡΙΟΣ ΙΩΣΕΔΕΚ. Διὰ τοῦτο ἰδού, ἡμέραι ἔρχονται, λέγει Κύριος, καὶ οὐκ ἐροῦσιν ἔτι, Ζῇ Κύριος ὁ ἀναγαγὼν τοὺς υἱοὺς Ἰσραὴλ ἐκ γῆς Αἰγύπτου· ἀλλά, Ζῇ Κύριος, ὃς ἀνήγαγε τὸν οἶκον Ἰσραὴλ ἀπὸ γῆς βορρᾶ, καὶ ἀπὸ πασῶν τῶν χωρῶν οὗ ἐξώσθησαν ἐκεῖ, καὶ ἀποκαταστήσω αὐτοὺς εἰς τὴν γῆν αὐτῶν.

Εὐαγγέλιον.

Ἰωάν. Ϛ' 5. Ἐπάρας οὖν ὁ Ἰησοῦς τοὺς ὀφθαλμούς, καὶ θεασάμενος ὅτι πολὺς ὄχλος ἔρχεται πρὸς αὐτόν, λέγει πρὸς τὸν Φίλιππον, Πόθεν ἀγοράσομεν ἄρτους ἵνα φάγωσιν οὗτοι; (Τοῦτο δὲ ἔλεγε πειράζων αὐτόν· αὐτὸς γὰρ ᾔδει τί ἔμελλε ποιεῖν.) Ἀπεκρίθη αὐτῷ Φίλιππος, Διακοσίων δηναρίων ἄρτοι οὐκ ἀρκοῦσιν αὐτοῖς,

ἵνα ἕκαστος αὐτῶν βραχύ τι λάβῃ. Λέγει αὐτῷ εἷς ἐκ τῶν μαθητῶν αὐτοῦ, Ἀνδρέας, ὁ ἀδελφὸς Σίμωνος Πέτρου, Ἔστι παιδάριον ἓν ὧδε, ὃ ἔχει πέντε ἄρτους κριθίνους, καὶ δύο ὀψάρια· ἀλλὰ ταῦτα τί ἐστιν εἰς τοσούτους; Εἶπε δὲ ὁ Ἰησοῦς, Ποιήσατε τοὺς ἀνθρώπους ἀναπεσεῖν. Ἦν δὲ χόρτος πολὺς ἐν τῷ τόπῳ. Ἀνέπεσον οὖν οἱ ἄνδρες, τὸν ἀριθμὸν ὡσεὶ πεντακισχίλιοι. Ἔλαβε δὲ τοὺς ἄρτους ὁ Ἰησοῦς, καὶ εὐχαριστήσας, διέδωκε τοῖς μαθηταῖς, οἱ δὲ μαθηταὶ τοῖς ἀνακειμένοις, ὁμοίως καὶ ἐκ τῶν ὀψαρίων, ὅσον ἤθελον. Ὡς δὲ ἐνεπλήσθησαν, λέγει τοῖς μαθηταῖς αὐτοῦ, Συναγάγετε τὰ περισσεύσαντα κλάσματα, ἵνα μή τι ἀπόληται. Συνήγαγον οὖν, καὶ ἐγέμισαν δώδεκα κοφίνους κλασμάτων ἐκ τῶν πέντε ἄρτων τῶν κριθίνων, ἃ ἐπερίσσευσε τοῖς βεβρωκόσιν. Οἱ οὖν ἄνθρωποι, ἰδόντες ὃ ἐποίησε σημεῖον ὁ Ἰησοῦς, ἔλεγον, ὅτι Οὗτός ἐστιν ἀληθῶς ὁ Προφήτης ὁ ἐρχόμενος εἰς τὸν Κόσμον.

¶ Ἐὰν περισσεύσωσι Κυριακαί τινες πρὸ τῆς Κυριακῆς τῆς Ἐλεύσεως τοῦ Κυρίου, ἡ Ἀκολουθία τινῶν ἐκ τῶν Κυριακῶν τῶν παραλειφθεισῶν μετὰ τὰ Θεοφάνεια ἀναλαμβάνεται εἰς ἀναπλήρωσιν τῶν ἐνταῦθα ἐλλειπόντων. Ἐὰν δὲ αἱ μετὰ τὴν τῆς ἁγίας Τριάδος Κυριακαὶ ὀλιγώτεραί εἰσιν ἢ εἴκοσι πέντε, αἱ ἐνταῦθα περισσεύουσαι Ἀκολουθίαι παραλείποιται· Τεθέντος ὅτι αὕτη ἡ τελευταία Εὐχή, ὁ Ἀπόστολος, καὶ τὸ Εὐαγγέλιον ἀναγινώσκονται πάντοτε τὴν πέμπτην Κυριακὴν πρὸ τῶν Χριστουγέννων.

ΤΟΥ ΑΓΙΟΥ ΑΠΟΣΤΟΛΟΥ ΑΝΔΡΕΟΥ.

Εὐχή.

Ὁ Θεὸς ὁ Παντοκράτωρ, ὁ τῷ ἁγίῳ σου Ἀποστόλῳ Ἀνδρέᾳ τοιαύτην δωρησάμενος τὴν χάριν, ὥστε προθύμως ὑπήκουσε τῇ κλήσει τοῦ Υἱοῦ σου Ἰησοῦ Χριστοῦ, καὶ ἀμελλητὶ αὐτῷ ἠκολούθησεν· Αὐτὸς πᾶσιν ἡμῖν παράσχου, ἵνα διὰ τοῦ ἁγίου σου κληθέντες λόγου, εὐθέως ἑαυτοὺς ἐπιδῶμεν τοῦ ὑπηκόως

πληρῶσαι τὰς ἁγίας σου ἐντολάς, διὰ τοῦ αὐτοῦ Ἰησοῦ Χριστοῦ τοῦ Κυρίου ἡμῶν. Ἀμήν.

Ἀπόστολος.

Ρωμ. Ι´ 9. *ἘΑν ὁμολογήσῃς ἐν τῷ στόματί σου Κύριον Ἰησοῦν, καὶ πιστεύσῃς ἐν τῇ καρδίᾳ σου, ὅτι ὁ Θεὸς αὐτὸν ἤγειρεν ἐκ νεκρῶν, σωθήσῃ. Καρδίᾳ γὰρ πιστεύεται εἰς δικαιοσύνην, στόματι δὲ ὁμολογεῖται εἰς σωτηρίαν. Λέγει γὰρ ἡ Γραφή, Πᾶς ὁ πιστεύων ἐπ᾽ αὐτῷ οὐ καταισχυνθήσεται. Οὐ γάρ ἐστι διαστολὴ Ἰουδαίου τε καὶ Ἕλληνος· ὁ γὰρ αὐτὸς Κύριος πάντων πλουτῶν εἰς πάντας τοὺς ἐπικαλουμένους αὐτόν. Πᾶς γὰρ ὃς ἂν ἐπικαλέσηται τὸ Ὄνομα Κυρίου σωθήσεται. Πῶς οὖν ἐπικαλέσονται εἰς ὃν οὐκ ἐπίστευσαν; Πῶς δὲ πιστεύσουσιν οὗ οὐκ ἤκουσαν; πῶς δὲ ἀκούσουσι χωρὶς κηρύσσοντος; Πῶς δὲ κηρύξουσιν, ἐὰν μὴ ἀποσταλῶσι; καθὼς γέγραπται, Ὡς ὡραῖοι οἱ πόδες τῶν εὐαγγελιζομένων εἰρήνην, τῶν εὐαγγελιζομένων τὰ ἀγαθά. Ἀλλ᾽ οὐ πάντες ὑπήκουσαν τῷ Εὐαγγελίῳ. Ἡσαΐας γὰρ λέγει, Κύριε, τίς ἐπίστευσε τῇ ἀκοῇ ἡμῶν; Ἄρα, ἡ πίστις ἐξ ἀκοῆς, ἡ δὲ ἀκοὴ διὰ ῥήματος Θεοῦ. Ἀλλὰ λέγω, Μὴ οὐκ ἤκουσαν; Μενοῦνγε, εἰς πᾶσαν τὴν γῆν ἐξῆλθεν ὁ φθόγγος αὐτῶν, καὶ εἰς τὰ πέρατα τῆς οἰκουμένης τὰ ῥήματα αὐτῶν. Ἀλλὰ λέγω, Μὴ οὐκ ἔγνω Ἰσραήλ; Πρῶτος Μωσῆς λέγει, Ἐγὼ παραζηλώσω ὑμᾶς ἐπ᾽ οὐκ ἔθνει, ἐπὶ ἔθνει ἀσυνέτῳ παροργιῶ ὑμᾶς. Ἡσαΐας δὲ ἀποτολμᾷ, καὶ λέγει, Εὑρέθην τοῖς ἐμὲ μὴ ζητοῦσιν· ἐμφανὴς ἐγενόμην τοῖς ἐμὲ μὴ ἐπερωτῶσι. Πρὸς δὲ τὸν Ἰσραὴλ λέγει, Ὅλην τὴν ἡμέραν ἐξεπέτασα τὰς χεῖράς μου πρὸς λαὸν ἀπειθοῦντα καὶ ἀντιλέγοντα.*

Εὐαγγέλιον.

Ματθ. Δ´ 18. ΠΕριπατῶν ὁ Ἰησοῦς παρὰ τὴν θάλασσαν τῆς Γαλιλαίας, εἶδε δύο ἀδελφούς, Σίμωνα τὸν λεγόμενον Πέτρον, καὶ Ἀνδρέαν τὸν ἀδελφὸν αὐτοῦ, βάλλοντας ἀμφίβληστρον εἰς τὴν

θάλασσαν (ἦσαν γὰρ ἁλιεῖς). Καὶ λέγει αὐτοῖς, Δεῦτε ὀπίσω μου· καὶ ποιήσω ὑμᾶς ἁλιεῖς ἀνθρώπων. Οἱ δὲ εὐθέως ἀφέντες τὰ δίκτυα, ἠκολούθησαν αὐτῷ. Καὶ προβὰς ἐκεῖθεν, εἶδεν ἄλλους δύο ἀδελφούς, Ἰάκωβον τὸν τοῦ Ζεβεδαίου, καὶ Ἰωάννην τὸν ἀδελφὸν αὐτοῦ, ἐν τῷ πλοίῳ μετὰ Ζεβεδαίου τοῦ πατρὸς αὐτῶν, καταρτίζοντας τὰ δίκτυα αὐτῶν· καὶ ἐκάλεσεν αὐτούς. Οἱ δὲ εὐθέως ἀφέντες τὸ πλοῖον καὶ τὸν πατέρα αὐτῶν, ἠκολούθησαν αὐτῷ.

ΤΟΥ ΑΓΙΟΥ ΑΠΟΣΤΟΛΟΥ ΘΩΜΑ.

Εὐχή.

Ὁ Θεὸς ὁ παντοκράτωρ καὶ ἀεὶ ζῶν, ὁ διὰ μείζονα τῆς πίστεως βεβαίωσιν τὸν ἅγιόν σου Ἀπόστολον Θωμᾶν περὶ τῆς τοῦ Υἱοῦ σου ἀφεὶς ἀμφιβαλεῖν ἀναστάσεως· Αὐτὸς παράσχου ἡμῖν οὕτως ἄνευ πάσης ἀμφιβολίας τελείως πιστεύειν εἰς τὸν Υἱόν σου Ἰησοῦν Χριστόν, ὥστε μήποτε ἐνώπιόν σου ἐλεγχθῆναι τὴν πίστιν ἡμῶν. Ἐπάκουσον ἡμῶν, Κύριε, διὰ τοῦ αὐτοῦ Ἰησοῦ Χριστοῦ, ᾧ σὺν Σοὶ καὶ τῷ ἁγίῳ Πνεύματι πᾶσα τιμὴ καὶ δόξα, νῦν καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

Ἀπόστολος.

Ἄρα οὖν οὐκέτι ἐστὲ ξένοι καὶ πάροικοι, ἀλλὰ συμπολῖται τῶν ἁγίων, καὶ οἰκεῖοι τοῦ Θεοῦ· ἐποικοδομηθέντες ἐπὶ τῷ θεμελίῳ τῶν Ἀποστόλων καὶ Προφητῶν, ὄντος ἀκρογωνιαίου αὐτοῦ Ἰησοῦ Χριστοῦ· ἐν ᾧ πᾶσα ἡ οἰκοδομὴ συναρμολογουμένη αὔξει εἰς ναὸν ἅγιον ἐν Κυρίῳ· ἐν ᾧ καὶ ὑμεῖς συνοικοδομεῖσθε εἰς κατοικητήριον τοῦ Θεοῦ ἐν Πνεύματι. Ἐφεσ. Β′ 19.

Εὐαγγέλιον.

Θωμᾶς, εἷς ἐκ τῶν δώδεκα, ὁ λεγόμενος Δίδυμος, οὐκ ἦν μετ' αὐτῶν ὅτε ἦλθεν ὁ Ἰησοῦς. Ἔλεγον οὖν αὐτῷ οἱ ἄλλοι μαθηταί, Ἑωράκαμεν τὸν Κύριον. Ὁ δὲ εἶπεν αὐτοῖς, Ἐὰν Ἰωάν. Κ′ 24.

μὴ ἴδω ἐν ταῖς χερσὶν αὐτοῦ τὸν τύπον τῶν ἥλων, καὶ βάλω τὸν δάκτυλόν μου εἰς τὸν τύπον τῶν ἥλων, καὶ βάλω τὴν χεῖρά μου εἰς τὴν πλευρὰν αὐτοῦ, οὐ μὴ πιστεύσω. Καὶ μεθ' ἡμέρας ὀκτὼ πάλιν ἦσαν ἔσω οἱ μαθηταὶ αὐτοῦ, καὶ Θωμᾶς μετ' αὐτῶν· ἔρχεται ὁ Ἰησοῦς, τῶν θυρῶν κεκλεισμένων, καὶ ἔστη εἰς τὸ μέσον, καὶ εἶπεν, Εἰρήνη ὑμῖν. Εἶτα λέγει τῷ Θωμᾷ, Φέρε τὸν δάκτυλόν σου ὧδε, καὶ ἴδε τὰς χεῖράς μου· καὶ φέρε τὴν χεῖρά σου, καὶ βάλε εἰς τὴν πλευράν μου, καὶ μὴ γίνου ἄπιστος, ἀλλὰ πιστός. Καὶ ἀπεκρίθη ὁ Θωμᾶς καὶ εἶπεν αὐτῷ, Ὁ Κύριός μου, καὶ ὁ Θεός μου. Λέγει αὐτῷ ὁ Ἰησοῦς, Ὅτι ἑώρακάς με, Θωμᾶ, πεπίστευκας· μακάριοι οἱ μὴ ἰδόντες, καὶ πιστεύσαντες. Πολλὰ μὲν οὖν καὶ ἄλλα σημεῖα ἐποίησεν ὁ Ἰησοῦς ἐνώπιον τῶν μαθητῶν αὐτοῦ, ἃ οὐκ ἔστι γεγραμμένα ἐν τῷ βιβλίῳ τούτῳ. Ταῦτα δὲ γέγραπται ἵνα πιστεύσητε ὅτι ὁ Ἰησοῦς ἐστιν ὁ Χριστός, ὁ Υἱὸς τοῦ Θεοῦ· καὶ ἵνα πιστεύοντες ζωὴν ἔχητε ἐν τῷ Ὀνόματι αὐτοῦ.

Η ΕΠΙΣΤΡΟΦΗ ΤΟΥ ΑΓΙΟΥ ΑΠΟΣΤΟΛΟΥ ΠΑΥΛΟΥ.

Εὐχή.

Ὁ Θεός, ὁ διὰ τῆς κηρύξεως τοῦ μακαρίου καὶ ἁγίου σου Ἀποστόλου Παύλου λάμψαι ποιήσας τὸν φωτισμὸν τοῦ Εὐαγγελίου ἐν ὅλῳ τῷ κόσμῳ· Αὐτὸς παράσχου, δεόμεθά σου, ἵνα ἡμεῖς, διὰ μνήμης ἔχοντες τὴν θαυμαστὴν αὐτοῦ ἐπιστροφήν, τὴν εὐγνωμοσύνην ἡμῶν ὑπὲρ αὐτῆς ἐξαγγείλωμέν σοι, τῇ ἁγίᾳ ἀκολουθοῦντες δι' αὐτοῦ προταθείσῃ διδασκαλίᾳ, διὰ Ἰησοῦ Χριστοῦ τοῦ Κυρίου ἡμῶν. Ἀμήν.

Ἀντὶ τοῦ Ἀποστόλου.

Πράξ. Θ´ 1. Ὁ Δὲ Σαῦλος ἔτι ἐμπνέων ἀπειλῆς καὶ φόνου εἰς τοὺς μαθητὰς τοῦ Κυρίου, προσελθὼν τῷ ἀρχιερεῖ, ᾐτήσατο παρ' αὐτοῦ ἐπιστολὰς εἰς Δαμασκὸν πρὸς τὰς συναγωγάς, ὅπως ἐάν τινας

εὕρῃ τῆς ὁδοῦ ὄντας, ἄνδρας τε καὶ γυναῖκας, δεδεμένους ἀγάγῃ εἰς Ἱερουσαλήμ. Ἐν δὲ τῷ πορεύεσθαι ἐγένετο αὐτὸν ἐγγίζειν τῇ Δαμασκῷ, καὶ ἐξαίφνης περιήστραψεν αὐτὸν φῶς ἀπὸ τοῦ οὐρανοῦ. Καὶ πεσὼν ἐπὶ τὴν γῆν, ἤκουσε φωνὴν λέγουσαν αὐτῷ, Σαούλ, Σαούλ, τί με διώκεις; Εἶπε δέ, Τίς εἶ, Κύριε; Ὁ δὲ Κύριος εἶπεν, Ἐγώ εἰμι Ἰησοῦς ὃν σὺ διώκεις· σκληρόν σοι πρὸς κέντρα λακτίζειν. Τρέμων τε καὶ θαμβῶν εἶπε, Κύριε, τί με θέλεις ποιῆσαι; Καὶ ὁ Κύριος πρὸς αὐτόν, Ἀνάστηθι καὶ εἴσελθε εἰς τὴν πόλιν, καὶ λαληθήσεταί σοι τί σε δεῖ ποιεῖν. Οἱ δὲ ἄνδρες οἱ συνοδεύοντες αὐτῷ εἱστήκεισαν ἐννεοί, ἀκούοντες μὲν τῆς φωνῆς, μηδένα δὲ θεωροῦντες. Ἠγέρθη δὲ ὁ Σαῦλος ἀπὸ τῆς γῆς, ἀνεῳγμένων δὲ τῶν ὀφθαλμῶν αὐτοῦ, οὐδένα ἔβλεπε· χειραγωγοῦντες δὲ αὐτὸν εἰσήγαγον εἰς Δαμασκόν. Καὶ ἦν ἡμέρας τρεῖς μὴ βλέπων, καὶ οὐκ ἔφαγεν οὐδὲ ἔπιεν. Ἦν δέ τις μαθητὴς ἐν Δαμασκῷ, ὀνόματι Ἀνανίας, καὶ εἶπε πρὸς αὐτὸν ὁ Κύριος ἐν ὁράματι, Ἀνανία. Ὁ δὲ εἶπεν, Ἰδοὺ ἐγώ, Κύριε. Ὁ δὲ Κύριος πρὸς αὐτόν, Ἀναστὰς πορεύθητι ἐπὶ τὴν ῥύμην τὴν καλουμένην Εὐθεῖαν, καὶ ζήτησον ἐν οἰκίᾳ Ἰούδα Σαῦλον ὀνόματι, Ταρσέα· ἰδοὺ γὰρ προσεύχεται, καὶ εἶδεν ἐν ὁράματι ἄνδρα ὀνόματι Ἀνανίαν, εἰσελθόντα, καὶ ἐπιθέντα αὐτῷ χεῖρα, ὅπως ἀναβλέψῃ. Ἀπεκρίθη δὲ ὁ Ἀνανίας, Κύριε, ἀκήκοα ἀπὸ πολλῶν περὶ τοῦ ἀνδρὸς τούτου, ὅσα κακὰ ἐποίησε τοῖς ἁγίοις σοῦ ἐν Ἱερουσαλήμ· καὶ ὧδε ἔχει ἐξουσίαν παρὰ τῶν ἀρχιερέων δῆσαι πάντας τοὺς ἐπικαλουμένους τὸ Ὄνομά σου. Εἶπε δὲ πρὸς αὐτὸν ὁ Κύριος, Πορεύου· ὅτι σκεῦος ἐκλογῆς μοι ἐστὶν οὗτος, τοῦ βαστάσαι τὸ Ὄνομά μου ἐνώπιον Ἐθνῶν, καὶ βασιλέων, υἱῶν τε Ἰσραήλ. Ἐγὼ γὰρ ὑποδείξω αὐτῷ ὅσα δεῖ αὐτὸν ὑπὲρ τοῦ Ὀνόματός μου παθεῖν. Ἀπῆλθε δὲ Ἀνανίας, καὶ εἰσῆλθεν εἰς τὴν οἰκίαν· καὶ ἐπιθεὶς ἐπ' αὐτὸν τὰς χεῖρας, εἶπε, Σαοὺλ ἀδελφέ, ὁ Κύριος ἀπέσταλκέ με (Ἰησοῦς ὁ ὀφθείς σοι ἐν τῇ ὁδῷ ᾗ ἤρχου), ὅπως ἀναβλέψῃς, καὶ πλησθῇς Πνεύματος ἁγίου. Καὶ εὐθέως

ἀπέπεσον ἀπὸ τῶν ὀφθαλμῶν αὐτοῦ ὡσεὶ λεπίδες· ἀνέβλεψέ τε παραχρῆμα, καὶ ἀναστὰς ἐβαπτίσθη. Καὶ λαβὼν τροφὴν ἐνίσχυσεν. Ἐγένετο δὲ ὁ Σαῦλος μετὰ τῶν ἐν Δαμασκῷ μαθητῶν ἡμέρας τινάς. Καὶ εὐθέως ἐν ταῖς συναγωγαῖς ἐκήρυσσε τὸν Χριστόν, ὅτι οὗτός ἐστιν ὁ Υἱὸς τοῦ Θεοῦ. Ἐξίσταντο δὲ πάντες οἱ ἀκούοντες, καὶ ἔλεγον, Οὐχ οὗτός ἐστιν ὁ πορθήσας ἐν Ἱερουσαλὴμ τοὺς ἐπικαλουμένους τὸ Ὄνομα τοῦτο, καὶ ὧδε εἰς τοῦτο ἐληλύθει, ἵνα δεδεμένους αὐτοὺς ἀγάγῃ ἐπὶ τοὺς ἀρχιερεῖς; Σαῦλος δὲ μᾶλλον ἐνεδυναμοῦτο, καὶ συνέχυνε τοὺς Ἰουδαίους τοὺς κατοικοῦντας ἐν Δαμασκῷ, συμβιβάζων ὅτι οὗτός ἐστιν ὁ Χριστός.

Εὐαγγέλιον.

Ματθ. ΙΘ′ 27. Ἀποκριθεὶς ὁ Πέτρος εἶπεν τῷ Ἰησοῦ, Ἰδού, ἡμεῖς ἀφήκαμεν πάντα καὶ ἠκολουθήσαμέν σοι· τί ἄρα ἔσται ἡμῖν; Ὁ δὲ Ἰησοῦς εἶπεν αὐτοῖς, Ἀμὴν λέγω ὑμῖν, ὅτι ὑμεῖς οἱ ἀκολουθήσαντές μοι ἐν τῇ παλιγγενεσίᾳ ὅταν καθίσῃ ὁ Υἱὸς τοῦ ἀνθρώπου ἐπὶ θρόνου δόξης αὐτοῦ, καθίσεσθε καὶ ὑμεῖς ἐπὶ δώδεκα θρόνους, κρίνοντες τὰς δώδεκα φυλὰς τοῦ Ἰσραήλ. Καὶ πᾶς ὃς ἀφῆκεν οἰκίας, ἢ ἀδελφούς, ἢ ἀδελφάς, ἢ πατέρα, ἢ μητέρα, ἢ γυναῖκα, ἢ τέκνα, ἢ ἀγροὺς ἕνεκεν τοῦ Ὀνόματός μου ἑκατονταπλασίονα λήψεται, καὶ ζωὴν αἰώνιον κληρονομήσει. Πολλοὶ δὲ ἔσονται πρῶτοι ἔσχατοι, καὶ ἔσχατοι πρῶτοι.

Η ΠΑΡΑΣΤΑΣΙΣ ΤΟΥ ΧΡΙΣΤΟΥ ΕΝ ΤΩ ΙΕΡΩ

Ο ΚΟΙΝΩΣ ΛΕΓΟΜΕΝΟΣ

ΚΑΘΑΡΙΣΜΟΣ ΤΗΣ ΑΓΙΑΣ ΠΑΡΘΕΝΟΥ ΜΑΡΙΑΣ.

Εὐχή.

Ὁ Θεὸς ὁ παντοκράτωρ καὶ ἀεὶ ζῶν, ταπεινῶς δυσωποῦμεν τὴν σὴν Μεγαλειότητα ἵνα, καθὼς σήμερον παρεστάθη ἐν τῷ

ἱερῷ ὁ μονογενής σου Υἱὸς ἐν τῇ οὐσίᾳ τῆς ἡμετέρας σαρκός, οὕτω καὶ ἡμεῖς παρασταθῶμέν σοι μετὰ καρδιῶν καθαρῶν καὶ ἁγνῶν, ὑπὸ τοῦ αὐτοῦ τοῦ Υἱοῦ σου Ἰησοῦ Χριστοῦ τοῦ Κυρίου ἡμῶν. Ἀμήν.

Ἀντὶ τοῦ Ἀποστόλου.

ἸΔού, ἐξαποστέλλω τὸν ἄγγελόν μου, καὶ ἐπιβλέψεται ὁδὸν πρὸ προσώπου μου· καὶ ἐξαίφνης ἥξει εἰς τὸν ναὸν ἑαυτοῦ Κύριος ὃν ὑμεῖς ζητεῖτε· καὶ ὁ ἄγγελος τῆς διαθήκης, ὃν ὑμεῖς θέλετε· ἰδού, ἔρχεται, λέγει Κύριος Παντοκράτωρ. Καὶ τίς ὑπομενεῖ ἡμέραν εἰσόδου αὐτοῦ; ἢ τίς ὑποστήσεται ἐν τῇ ὀπτασίᾳ αὐτοῦ; διότι αὐτὸς εἰσπορεύεται ὡς πῦρ χωνευτηρίου, καὶ ὡς ποιὰ πλυνόντων. Καὶ καθιεῖται χωνεύων καὶ καθαρίζων ὡς τὸ ἀργύριον καὶ ὡς τὸ χρυσίον· καὶ καθαρίσει τοὺς υἱοὺς Λευί, καὶ χεεῖ αὐτοὺς ὥσπερ τὸ χρυσίον καὶ τὸ ἀργύριον, καὶ ἔσονται τῷ Κυρίῳ προσάγοντες θυσίαν ἐν δικαιοσύνῃ. Καὶ ἀρέσει τῷ Κυρίῳ θυσία Ἰούδα καὶ Ἱερουσαλήμ, καθὼς αἱ ἡμέραι τοῦ αἰῶνος, καὶ καθὼς τὰ ἔτη τὰ ἔμπροσθεν. Καὶ προσάξω πρὸς ὑμᾶς ἐν κρίσει, καὶ ἔσομαι μάρτυς ταχὺς ἐπὶ τὰς φαρμακούς, καὶ ἐπὶ τὰς μοιχαλίδας, καὶ ἐπὶ τοὺς ὀμνύοντας τῷ Ὀνόματί μου ἐπὶ ψεύδει, καὶ ἐπὶ τοὺς ἀποστεροῦντας μισθὸν μισθωτοῦ, καὶ τοὺς καταδυναστεύοντάς χηράν, καὶ τοὺς κονδυλίζοντας ὀρφανούς, καὶ τοὺς ἐκκλίνοντας κρίσιν προσηλύτου, καὶ τοὺς μὴ φοβουμένους με, λέγει Κύριος Παντοκράτωρ. Μαλ. Γʹ 1.

Εὐαγγέλιον.

ΚΑὶ ὅτε ἐπλήσθησαν αἱ ἡμέραι τοῦ καθαρισμοῦ αὐτῆς, κατὰ τὸν νόμον Μωσέως, ἀνήγαγον αὐτὸν εἰς Ἱεροσόλυμα παραστῆσαι τῷ Κυρίῳ (καθὼς γέγραπται ἐν νόμῳ Κυρίου, ὅτι Πᾶν ἄρσεν διανοῖγον μήτραν, ἅγιον τῷ Κυρίῳ κληθήσεται) καὶ τοῦ δοῦναι θυσίαν κατὰ τὸ εἰρημένον ἐν νόμῳ Κυρίου, Λουκ. Βʹ 22.

Ζεῦγος τρυγόνων, ἢ δύο νεοσσοὺς περιστερῶν. Καὶ ἰδού, ἦν ἄνθρωπος ἐν Ἱερουσαλήμ, ᾧ ὄνομα Συμεών· καὶ ὁ ἄνθρωπος οὗτος δίκαιος καὶ εὐλαβής, προσδεχόμενος παράκλησιν τοῦ Ἰσραήλ· καὶ Πνεῦμα ἅγιον ἦν ἐπ' αὐτόν. Καὶ ἦν αὐτῷ κεχρηματισμένον ὑπὸ τοῦ Πνεύματος τοῦ ἁγίου, μὴ ἰδεῖν θάνατον, πρὶν ἢ ἴδῃ τὸν Χριστὸν Κυρίου. Καὶ ἦλθεν ἐν τῷ Πνεύματι εἰς τὸ ἱερόν, καὶ ἐν τῷ εἰσαγαγεῖν τοὺς γονεῖς τὸ παιδίον Ἰησοῦν, τοῦ ποιῆσαι αὐτοὺς κατὰ τὸ εἰθισμένον τοῦ νόμου περὶ αὐτοῦ, καὶ αὐτὸς ἐδέξατο αὐτὸ εἰς τὰς ἀγκάλας αὐτοῦ, καὶ εὐλόγησε τὸν Θεόν, καὶ εἶπε, Νῦν ἀπολύεις τὸν δοῦλόν σου, Δέσποτα, κατὰ τὸ ῥῆμά σου, ἐν εἰρήνῃ. Ὅτι εἶδον οἱ ὀφθαλμοί μου τὸ σωτήριόν σου· ὃ ἡτοίμασας κατὰ πρόσωπον πάντων τῶν λαῶν, φῶς εἰς ἀποκάλυψιν Ἐθνῶν, καὶ δόξαν λαοῦ σου Ἰσραήλ. Καὶ ἦν Ἰωσὴφ καὶ ἡ μήτηρ αὐτοῦ θαυμάζοντες ἐπὶ τοῖς λαλουμένοις περὶ αὐτοῦ. Καὶ εὐλόγησεν αὐτοὺς Συμεών, καὶ εἶπε πρὸς Μαριὰμ τὴν μητέρα αὐτοῦ, Ἰδού, οὗτος κεῖται εἰς πτῶσιν καὶ ἀνάστασιν πολλῶν ἐν τῷ Ἰσραήλ· καὶ εἰς σημεῖον ἀντιλεγόμενον, (Καὶ σοῦ δὲ αὐτῆς τὴν ψυχὴν διελεύσεται ῥομφαία) ὅπως ἂν ἀποκαλυφθῶσιν ἐκ πολλῶν καρδιῶν διαλογισμοί. Καὶ ἦν Ἄννα προφῆτις, θυγάτηρ Φανουήλ, ἐκ φυλῆς Ἀσήρ· αὕτη προβεβηκυῖα ἐν ἡμέραις πολλαῖς, ζήσασα ἔτη μετὰ ἀνδρὸς ἑπτὰ ἀπὸ τῆς παρθενίας αὐτῆς. Καὶ αὕτη χήρα ὡς ἐτῶν ὀγδοηκοντατεσσάρων· ἣ οὐκ ἀφίστατο ἀπὸ τοῦ ἱεροῦ, νηστείαις καὶ δεήσεσι λατρεύουσα νύκτα καὶ ἡμέραν. Καὶ αὕτη αὐτῇ τῇ ὥρᾳ ἐπιστᾶσα ἀνθωμολογεῖτο τῷ Κυρίῳ, καὶ ἐλάλει περὶ αὐτοῦ πᾶσι τοῖς προσδεχομένοις λύτρωσιν ἐν Ἱερουσαλήμ. Καὶ ὡς ἐτέλεσαν ἅπαντα τὰ κατὰ τὸν νόμον Κυρίου, ὑπέστρεψαν εἰς τὴν Γαλιλαίαν εἰς τὴν πόλιν ἑαυτῶν Ναζαρέτ. Τὸ δὲ παιδίον ηὔξανε, καὶ ἐκραταιοῦτο πνεύματι, πληρούμενον σοφίας· καὶ χάρις Θεοῦ ἦν ἐπ' αὐτό.

ΤΟΥ ΑΓΙΟΥ ΑΠΟΣΤΟΛΟΥ ΜΑΤΘΙΟΥ.

Εὐχή.

Ὁ Θεὸς ὁ Παντοκράτωρ, ὁ εἰς τὸν τόπον τοῦ προδότου Ἰούδα τὸν πιστόν σου δοῦλον Ματθίαν ἐκλεξάμενος συγκαταριθμηθῆναι μετὰ τῶν δώδεκα Ἀποστόλων· Αὐτὸς παράσχου ἵνα ἡ Ἐκκλησία σου, ἀπὸ ψευδαποστόλων πάντοτε φυλασσομένη, διοικῆται καὶ ὁδηγῆται διὰ ποιμένων πιστῶν καὶ ἀληθινῶν, διὰ Ἰησοῦ Χριστοῦ τοῦ Κυρίου ἡμῶν. Ἀμήν.

Ἀντὶ τοῦ Ἀποστόλου.

ἘΝ ταῖς ἡμέραις ταύταις ἀναστὰς Πέτρος ἐν μέσῳ τῶν Πράξ.
μαθητῶν εἶπεν, (Ἦν τε ὄχλος ὀνομάτων ἐπὶ τὸ αὐτὸ Α΄ 15.
ὡς ἑκατὸν εἴκοσιν) Ἄνδρες ἀδελφοί, ἔδει πληρωθῆναι τὴν Γραφὴν ταύτην, ἣν προεῖπε τὸ Πνεῦμα τὸ ἅγιον διὰ στόματος Δαβὶδ περὶ Ἰούδα, τοῦ γενομένου ὁδηγοῦ τοῖς συλλαβοῦσι τὸν Ἰησοῦν· ὅτι κατηριθμημένος ἦν σὺν ἡμῖν, καὶ ἔλαχε τὸν κλῆρον τῆς διακονίας ταύτης. Οὗτος μὲν οὖν ἐκτήσατο χωρίον ἐκ τοῦ μισθοῦ τῆς ἀδικίας, καὶ πρηνὴς γενόμενος ἐλάκησε μέσος, καὶ ἐξεχύθη πάντα τὰ σπλάγχνα αὐτοῦ. Καὶ γνωστὸν ἐγένετο πᾶσι τοῖς κατοικοῦσιν Ἱερουσαλήμ, ὥστε κληθῆναι τὸ χωρίον ἐκεῖνο τῇ ἰδίᾳ διαλέκτῳ αὐτῶν Ἀκελδαμά, τουτέστι, Χωρίον αἵματος. Γέγραπται γὰρ ἐν βίβλῳ Ψαλμῶν, Γενηθήτω ἡ ἔπαυλις αὐτοῦ ἔρημος, καὶ μὴ ἔστω ὁ κατοικῶν ἐν αὐτῇ· καὶ τὴν ἐπισκοπὴν αὐτοῦ λάβοι ἕτερος. Δεῖ οὖν τῶν συνελθόντων ἡμῖν ἀνδρῶν ἐν παντὶ χρόνῳ ἐν ᾧ εἰσῆλθε καὶ ἐξῆλθεν ἐφ᾽ ἡμᾶς ὁ Κύριος Ἰησοῦς, ἀρξάμενος ἀπὸ τοῦ βαπτίσματος Ἰωάννου, ἕως τῆς ἡμέρας ἧς ἀνελήφθη ἀφ᾽ ἡμῶν, μάρτυρα τῆς ἀναστάσεως αὐτοῦ γενέσθαι σὺν ἡμῖν ἕνα τούτων. Καὶ ἔστησαν δύο, Ἰωσὴφ τὸν καλούμενον Βαρσαβᾶν, ὃς ἐπεκλήθη Ἰοῦστος, καὶ Ματθίαν. Καὶ προσευξάμενοι εἶπον, Σὺ Κύριε, καρδιογνῶστα πάντων, ἀνάδειξον ἐκ τούτων τῶν δύο ἕνα ὃν ἐξελέξω, λαβεῖν

τὸν κλῆρον τῆς διακονίας ταύτης καὶ ἀποστολῆς, ἐξ ἧς παρέβη Ἰούδας, πορευθῆναι εἰς τὸν τόπον τὸν ἴδιον. Καὶ ἔδωκαν κλήρους αὐτῶν· καὶ ἔπεσεν ὁ κλῆρος ἐπὶ Ματθίαν, καὶ συγκατεψηφίσθη μετὰ τῶν ἕνδεκα Ἀποστόλων.

Εὐαγγέλιον.

Ματθ. ΙΑ΄ 25. ἘΝ ἐκείνῳ τῷ καιρῷ ἀποκριθεὶς ὁ Ἰησοῦς εἶπεν, Ἐξομολογοῦμαί σοι, Πάτερ, Κύριε τοῦ οὐρανοῦ καὶ τῆς γῆς, ὅτι ἀπέκρυψας ταῦτα ἀπὸ σοφῶν καὶ συνετῶν, καὶ ἀπεκάλυψας αὐτὰ νηπίοις. Ναί, ὁ Πατήρ, ὅτι οὕτως ἐγένετο εὐδοκία ἔμπροσθέν σου. Πάντα μοι παρεδόθη ὑπὸ τοῦ Πατρός μου· καὶ οὐδεὶς ἐπιγινώσκει τὸν Υἱὸν εἰ μὴ ὁ Πατήρ· οὐδὲ τὸν Πατέρα τὶς ἐπιγινώσκει εἰ μὴ ὁ Υἱός, καὶ ᾧ ἐὰν βούληται ὁ Υἱὸς ἀποκαλύψαι. Δεῦτε πρός με πάντες οἱ κοπιῶντες καὶ πεφορτισμένοι, κἀγὼ ἀναπαύσω ὑμᾶς. Ἄρατε τὸν ζυγόν μου ἐφ' ὑμᾶς, καὶ μάθετε ἀπ' ἐμοῦ, ὅτι πρᾷός εἰμι καὶ ταπεινὸς τῇ καρδίᾳ, καὶ εὑρήσετε ἀνάπαυσιν ταῖς ψυχαῖς ὑμῶν. Ὁ γὰρ ζυγός μου χρηστός, καὶ τὸ φορτίον μου ἐλαφρόν ἐστιν.

Ο ΕΥΑΓΓΕΛΙΣΜΟΣ ΤΗΣ ΜΑΚΑΡΙΑΣ ΠΑΡΘΕΝΟΥ ΜΑΡΙΑΣ.

Εὐχή.

ΔΕόμεθά σου, Κύριε, ἔγχεον τὴν χάριν σου ταῖς καρδίαις ἡμῶν, ἵνα ὡς δι' εὐαγγελιζομένου ἀγγέλου τὴν ἐνσάρκωσιν ἐγνώκαμεν τοῦ Υἱοῦ σου Ἰησοῦ Χριστοῦ, οὕτω διὰ τοῦ σταυροῦ καὶ τοῦ πάθους αὐτοῦ καταντήσωμεν εἰς τὴν δόξαν τῆς ἀναστάσεως αὐτοῦ, διὰ τοῦ αὐτοῦ Ἰησοῦ Χριστοῦ τοῦ Κυρίου ἡμῶν. Ἀμήν.

Ἀντὶ τοῦ Ἀποστόλου.

Ἡσαΐ. Ζ΄ 10. ΚΑὶ προσέθετο Κύριος λαλῆσαι τῷ Ἄχαζ, λέγων, Αἴτησαι σεαυτῷ σημεῖον παρὰ Κυρίου Θεοῦ σου, εἰς βάθος ἢ εἰς ὕψος. Καὶ εἶπεν Ἄχαζ, Οὐ μὴ αἰτήσω, οὐδὲ μὴ πειράσω

Κύριον. Καὶ εἶπεν, Ἀκούσατε δή, οἶκος Δαυίδ· Μὴ μικρὸν ὑμῖν ἀγῶνα παρέχειν ἀνθρώποις, καὶ πῶς Κυρίῳ παρέχετε ἀγῶνα; Διὰ τοῦτο δώσει Κύριος αὐτὸς ὑμῖν σημεῖον· Ἰδού, ἡ παρθένος ἐν γαστρὶ λήψεται καὶ τέξεται Υἱόν, καὶ καλέσει τὸ ὄνομα αὐτοῦ Ἐμμανουήλ. Βούτυρον καὶ μέλι φάγεται, πρὶν ἢ γνῶναι αὐτὸν προελέσθαι πονηρά, ἐκλέξασθαι τὸ ἀγαθόν.

Εὐαγγέλιον.

Ἐν δὲ τῷ μηνὶ τῷ ἕκτῳ ἀπεστάλη ὁ ἄγγελος Γαβριὴλ ἀπὸ τοῦ Θεοῦ εἰς πόλιν τῆς Γαλιλαίας, ᾗ ὄνομα Ναζαρέτ, πρὸς παρθένον μεμνηστευμένην ἀνδρί, ᾧ ὄνομα Ἰωσήφ, ἐξ οἴκου Δαβίδ· καὶ τὸ ὄνομα τῆς παρθένου Μαριάμ. Καὶ εἰσελθὼν ὁ ἄγγελος πρὸς αὐτήν, εἶπε, Χαῖρε, κεχαριτωμένη, ὁ Κύριος μετὰ σοῦ· εὐλογημένη σὺ ἐν γυναιξίν. Ἡ δὲ ἰδοῦσα διεταράχθη ἐπὶ τῷ λόγῳ αὐτοῦ, καὶ διελογίζετο ποταπὸς εἴη ὁ ἀσπασμὸς οὗτος. Καὶ εἶπεν ὁ ἄγγελος αὐτῇ, Μὴ φοβοῦ, Μαριάμ· εὗρες γὰρ χάριν παρὰ τῷ Θεῷ. Καὶ ἰδού, συλλήψῃ ἐν γαστρί, καὶ τέξῃ Υἱόν, καὶ καλέσεις τὸ ὄνομα αὐτοῦ Ἰησοῦν. Οὗτος ἔσται μέγας, καὶ Υἱὸς Ὑψίστου κληθήσεται· καὶ δώσει αὐτῷ Κύριος ὁ Θεὸς τὸν θρόνον Δαβὶδ τοῦ πατρὸς αὐτοῦ. Καὶ βασιλεύσει ἐπὶ τὸν οἶκον Ἰακὼβ εἰς τοὺς αἰῶνας, καὶ τῆς βασιλείας αὐτοῦ οὐκ ἔσται τέλος. Εἶπε δὲ Μαριὰμ πρὸς τὸν ἄγγελον, Πῶς ἔσται τοῦτο, ἐπεὶ ἄνδρα οὐ γινώσκω; Καὶ ἀποκριθεὶς ὁ ἄγγελος εἶπεν αὐτῇ, Πνεῦμα ἅγιον ἐπελεύσεται ἐπὶ σέ, καὶ δύναμις Ὑψίστου ἐπισκιάσει σοι· διὸ καὶ τὸ γεννώμενον ἅγιον, κληθήσεται Υἱὸς Θεοῦ. Καὶ ἰδού, Ἐλισάβετ ἡ συγγενής σου, καὶ αὐτὴ συνειληφυῖα υἱὸν ἐν γήρᾳ αὐτῆς· καὶ οὗτος μὴν ἕκτος ἐστὶν αὐτῇ τῇ καλουμένῃ στείρᾳ. Ὅτι οὐκ ἀδυνατήσει παρὰ τῷ Θεῷ πᾶν ῥῆμα. Εἶπε δὲ Μαριάμ, Ἰδοὺ ἡ δούλη Κυρίου· γένοιτό μοι κατὰ τὸ ῥῆμά σου. Καὶ ἀπῆλθεν ἀπ' αὐτῆς ὁ ἄγγελος.

Λουκ. Α΄ 26.

ΤΟΥ ΑΓΙΟΥ ΕΥΑΓΓΕΛΙΣΤΟΥ ΜΑΡΚΟΥ.

Εὐχή.

Ὁ Θεὸς ὁ Παντοκράτωρ, ὁ τὴν ἁγίαν σου διδάξας Ἐκκλησίαν διὰ τῆς οὐρανίου διδασκαλίας τοῦ ἁγίου Εὐαγγελιστοῦ σου Μάρκου· Αὐτὸς χάρισαι ἡμῖν, ἵνα, μὴ ὡς νήπιοι ὄντες, παντὶ περιφερόμενοι ἀνέμῳ τῆς ματαίας διδασκαλίας, ἐν τῇ ἀληθείᾳ ἑδραιωθῶμεν τοῦ ἁγίου σου Εὐαγγελίου, διὰ Ἰησοῦ Χριστοῦ τοῦ Κυρίου ἡμῶν. Ἀμήν.

Ἀπόστολος.

Ἐφεσ. Δ' 7. ἙΝὶ ἑκάστῳ ἡμῶν ἐδόθη ἡ χάρις κατὰ τὸ μέτρον τῆς δωρεᾶς τοῦ Χριστοῦ. Διὸ λέγει, Ἀναβὰς εἰς ὕψος, ᾐχμαλώτευσεν αἰχμαλωσίαν, καὶ ἔδωκε δόματα τοῖς ἀνθρώποις. (Τὸ δὲ Ἀνέβη, τί ἐστιν εἰ μὴ ὅτι καὶ κατέβη πρῶτον εἰς τὰ κατώτερα μέρη τῆς γῆς; Ὁ καταβὰς αὐτός ἐστι καὶ ὁ ἀναβὰς ὑπεράνω πάντων τῶν οὐρανῶν, ἵνα πληρώσῃ τὰ πάντα.) Καὶ αὐτὸς ἔδωκε τοὺς μὲν ἀποστόλους, τοὺς δὲ προφήτας, τοὺς δὲ εὐαγγελιστάς, τοὺς δὲ ποιμένας καὶ διδασκάλους· πρὸς τὸν καταρτισμὸν τῶν ἁγίων, εἰς ἔργον διακονίας, εἰς οἰκοδομὴν τοῦ σώματος τοῦ Χριστοῦ· μέχρι καταντήσωμεν οἱ πάντες εἰς τὴν ἑνότητα τῆς πίστεως, καὶ τῆς ἐπιγνώσεως τοῦ Υἱοῦ τοῦ Θεοῦ, εἰς ἄνδρα τέλειον, εἰς μέτρον ἡλικίας τοῦ πληρώματος τοῦ Χριστοῦ· ἵνα μηκέτι ὦμεν νήπιοι κλυδωνιζόμενοι, καὶ περιφερόμενοι παντὶ ἀνέμῳ τῆς διδασκαλίας, ἐν τῇ κυβείᾳ τῶν ἀνθρώπων, ἐν πανουργίᾳ, πρὸς τὴν μεθοδείαν τῆς πλάνης· ἀληθεύοντες δὲ ἐν ἀγάπῃ, αὐξήσωμεν εἰς αὐτὸν τὰ πάντα, ὅς ἐστιν ἡ κεφαλή, ὁ Χριστός. Ἐξ οὗ πᾶν τὸ σῶμα συναρμολογούμενον, καὶ συμβιβαζόμενον διὰ πάσης ἁφῆς τῆς ἐπιχορηγίας, κατ' ἐνέργειαν ἐν μέτρῳ ἑνὸς ἑκάστου μέρους, τὴν αὔξησιν τοῦ σώματος ποιεῖται, εἰς οἰκοδομὴν ἑαυτοῦ ἐν ἀγάπῃ.

ΤΩΝ ΑΠΟΣΤΟΛΩΝ ΦΙΛΙΠΠΟΥ ΚΑΙ ΙΑΚΩΒΟΥ

Εὐαγγέλιον.

Ἐγώ εἰμι ἡ ἄμπελος ἡ ἀληθινή, καὶ ὁ Πατήρ μου ὁ γεωργός ἐστι. Πᾶν κλῆμα ἐν ἐμοὶ μὴ φέρον καρπόν, αἴρει αὐτό· καὶ πᾶν τὸ καρπὸν φέρον, καθαίρει αὐτό, ἵνα πλείονα καρπὸν φέρῃ. Ἤδη ὑμεῖς καθαροί ἐστε διὰ τὸν λόγον ὃν λελάληκα ὑμῖν. Μείνατε ἐν ἐμοί, κἀγὼ ἐν ὑμῖν. Καθὼς τὸ κλῆμα οὐ δύναται καρπὸν φέρειν ἀφ' ἑαυτοῦ, ἐὰν μὴ μείνῃ ἐν τῇ ἀμπέλῳ· οὕτως οὐδὲ ὑμεῖς, ἐὰν μὴ ἐν ἐμοὶ μείνητε. Ἐγώ εἰμι ἡ ἄμπελος, ὑμεῖς τὰ κλήματα. Ο μένων ἐν ἐμοί, κἀγὼ ἐν αὐτῷ, οὗτος φέρει καρπὸν πολύν· ὅτι χωρὶς ἐμοῦ οὐ δύνασθε ποιεῖν οὐδέν. Ἐὰν μή τις μείνῃ ἐν ἐμοί, ἐβλήθη ἔξω ὡς τὸ κλῆμα, καὶ ἐξηράνθη· καὶ συνάγουσιν αὐτά, καὶ εἰς πῦρ βάλλουσι, καὶ καίεται. Ἐὰν μείνητε ἐν ἐμοί, καὶ τὰ ῥήματά μου ἐν ὑμῖν μείνῃ, ὃ ἐὰν θέλητε αἰτήσεσθε, καὶ γενήσεται ὑμῖν. Ἐν τούτῳ ἐδοξάσθη ὁ Πατήρ μου, ἵνα καρπὸν πολὺν φέρητε· καὶ γενήσεσθε ἐμοὶ μαθηταί. Καθὼς ἠγάπησέ με ὁ Πατήρ, κἀγὼ ἠγάπησα ὑμᾶς· μείνατε ἐν τῇ ἀγάπῃ τῇ ἐμῇ. Ἐὰν τὰς ἐντολάς μου τηρήσητε, μενεῖτε ἐν τῇ ἀγάπῃ μου· καθὼς ἐγὼ τὰς ἐντολὰς τοῦ Πατρός μου τετήρηκα, καὶ μένω αὐτοῦ ἐν τῇ ἀγάπῃ. Ταῦτα λελάληκα ὑμῖν, ἵνα ἡ χαρὰ ἡ ἐμὴ ἐν ὑμῖν μείνῃ, καὶ ἡ χαρὰ ὑμῶν πληρωθῇ.

Ἰωάν. ΙΕ΄ 1.

ΤΩΝ ΑΓΙΩΝ ΑΠΟΣΤΟΛΩΝ ΦΙΛΙΠΠΟΥ ΚΑΙ ΙΑΚΩΒΟΥ.

Εὐχή.

Ὁ Θεὸς ὁ Παντοκράτωρ, ὃν ἀληθινῶς γινώσκειν ζωή ἐστιν αἰώνιος· Χάρισαι ἡμῖν τελείως γινώσκειν τὸν Υἱόν σου Ἰησοῦν Χριστὸν τὴν ὁδὸν εἶναι, καὶ τὴν ἀλήθειαν, καὶ τὴν ζωήν· ἵνα τοῖς ἴχνεσιν ἐπακολουθοῦντες τῶν ἁγίων σου Ἀποστόλων, Φιλίππου καὶ Ἰακώβου, ἐν τῇ ὁδῷ προσκαρτερῶμεν τῇ φερούσῃ εἰς τὴν ζωὴν τὴν αἰώνιον, διὰ τοῦ αὐτοῦ τοῦ Υἱοῦ σου, Κυρίου δὲ ἡμῶν Ἰησοῦ Χριστοῦ. Ἀμήν.

ΤΩΝ ΑΠΟΣΤΟΛΩΝ ΦΙΛΙΠΠΟΥ ΚΑΙ ΙΑΚΩΒΟΥ

Ἐπιστολή.

Ἰακ. Α΄ 1. ἸΑκωβος Θεοῦ καὶ Κυρίου Ἰησοῦ Χριστοῦ δοῦλος, ταῖς
δώδεκα φυλαῖς ταῖς ἐν τῇ διασπορᾷ, χαίρειν. Πᾶσαν
χαρὰν ἡγήσασθε, ἀδελφοί μου, ὅταν πειρασμοῖς περιπέσητε
ποικίλοις· γινώσκοντες ὅτι τὸ δοκίμιον ὑμῶν τῆς πίστεως
κατεργάζεται ὑπομονήν. Ἡ δὲ ὑπομονὴ ἔργον τέλειον ἐχέτω,
ἵνα ἦτε τέλειοι καὶ ὁλόκληροι, ἐν μηδενὶ λειπόμενοι. Εἰ δέ
τις ὑμῶν λείπεται σοφίας, αἰτείτω παρὰ τοῦ διδόντος Θεοῦ
πᾶσιν ἁπλῶς, καὶ μὴ ὀνειδίζοντος, καὶ δοθήσεται αὐτῷ. Αἰτείτω
δὲ ἐν πίστει, μηδὲν διακρινόμενος· ὁ γὰρ διακρινόμενος ἔοικε
κλύδωνι θαλάσσης, ἀνεμιζομένῳ, καὶ ῥιπιζομένῳ. Μὴ γὰρ
οἰέσθω ὁ ἄνθρωπος ἐκεῖνος ὅτι λήψεταί τι παρὰ τοῦ Κυρίου.
Ἀνὴρ δίψυχος ἀκατάστατος ἐν πάσαις ταῖς ὁδοῖς αὐτοῦ.
Καυχάσθω δὲ ὁ ἀδελφὸς ὁ ταπεινὸς ἐν τῷ ὕψει αὐτοῦ· ὁ δὲ
πλούσιος ἐν τῇ ταπεινώσει αὐτοῦ· ὅτι ὡς ἄνθος χόρτου παρε-
λεύσεται. Ἀνέτειλε γὰρ ὁ ἥλιος σὺν τῷ καύσωνι, καὶ ἐξήρανε
τὸν χόρτον, καὶ τὸ ἄνθος αὐτοῦ ἐξέπεσε, καὶ ἡ εὐπρέπεια τοῦ
προσώπου αὐτοῦ ἀπώλετο· οὕτω καὶ ὁ πλούσιος ἐν ταῖς πορείαις
αὐτοῦ μαρανθήσεται. Μακάριος ἀνὴρ ὃς ὑπομένει πειρασμόν·
ὅτι δόκιμος γενόμενος λήψεται τὸν στέφανον τῆς ζωῆς, ὃν
ἐπηγγείλατο ὁ Κύριος τοῖς ἀγαπῶσιν αὐτόν.

Εὐαγγέλιον.

Ἰωάν. ΙΔ΄ 1. ΕἾπεν δὲ ὁ Ἰησοῦς τοῖς ἑαυτοῦ μαθηταῖς, Μὴ ταρασσέσθω
ὑμῶν ἡ καρδία· πιστεύετε εἰς τὸν Θεόν, καὶ εἰς ἐμὲ
πιστεύετε. Ἐν τῇ οἰκίᾳ τοῦ Πατρός μου μοναὶ πολλαί εἰσιν·
εἰ δὲ μή, εἶπον ἂν ὑμῖν. Πορεύομαι ἑτοιμάσαι τόπον ὑμῖν·
Καὶ ἐὰν πορευθῶ καὶ ἑτοιμάσω ὑμῖν τόπον, πάλιν ἔρχομαι, καὶ
παραλήψομαι ὑμᾶς πρὸς ἐμαυτόν, ἵνα ὅπου εἰμὶ ἐγώ, καὶ ὑμεῖς
ἦτε. Καὶ ὅπου ἐγὼ ὑπάγω, οἴδατε, καὶ τὴν ὁδὸν οἴδατε. Λέγει
αὐτῷ Θωμᾶς, Κύριε, οὐκ οἴδαμεν ποῦ ὑπάγεις, καὶ πῶς δυνά-
μεθα τὴν ὁδὸν εἰδέναι; Λέγει αὐτῷ ὁ Ἰησοῦς, Ἐγώ εἰμι ἡ

ὁδός, καὶ ἡ ἀλήθεια, καὶ ἡ ζωή· οὐδεὶς ἔρχεται πρὸς τὸν Πατέρα εἰ μὴ δι' ἐμοῦ. Εἰ ἐγνώκειτέ με, καὶ τὸν Πατέρα μου ἐγνώκειτε ἄν· καὶ ἀπ' ἄρτι γινώσκετε αὐτόν, καὶ ἑωράκατε αὐτόν. Λέγει αὐτῷ Φίλιππος, Κύριε, δεῖξον ἡμῖν τὸν Πατέρα, καὶ ἀρκεῖ ἡμῖν. Λέγει αὐτῷ ὁ Ἰησοῦς, Τοσοῦτον χρόνον μεθ' ὑμῶν εἰμι, καὶ οὐκ ἔγνωκάς με, Φίλιππε; Ὁ ἑωρακὼς ἐμέ, ἑώρακε τὸν Πατέρα· καὶ πῶς σὺ λέγεις, Δεῖξον ἡμῖν τὸν Πατέρα; Οὐ πιστεύεις ὅτι ἐγὼ ἐν τῷ Πατρί, καὶ ὁ Πατὴρ ἐν ἐμοί ἐστι; τὰ ῥήματα ἃ ἐγὼ λαλῶ ὑμῖν, ἀπ' ἐμαυτοῦ οὐ λαλῶ· ὁ δὲ Πατὴρ ὁ ἐν ἐμοὶ μένων, αὐτὸς ποιεῖ τὰ ἔργα. Πιστεύετέ μοι, ὅτι ἐγὼ ἐν τῷ Πατρί, καὶ ὁ Πατὴρ ἐν ἐμοί· εἰ δὲ μή, διὰ τὰ ἔργα αὐτὰ πιστεύετέ μοι. Ἀμήν, ἀμὴν λέγω ὑμῖν, Ὁ πιστεύων εἰς ἐμέ, τὰ ἔργα ἃ ἐγὼ ποιῶ, κἀκεῖνος ποιήσει, καὶ μείζονα τούτων ποιήσει· ὅτι ἐγὼ πρὸς τὸν Πατέρα μου πορεύομαι. Καὶ ὅ, τι ἂν αἰτήσητε ἐν τῷ Ὀνόματί μου, τοῦτο ποιήσω, ἵνα δοξασθῇ ὁ Πατὴρ ἐν τῷ Υἱῷ. Ἐάν τι αἰτήσητε ἐν τῷ Ὀνόματί μου, ἐγὼ ποιήσω.

ΤΟΥ ΑΓΙΟΥ ΑΠΟΣΤΟΛΟΥ ΒΑΡΝΑΒΑ.

Εὐχή.

ΚΥριε ὁ Θεὸς ὁ Παντοκράτωρ, ὁ τὸν ἅγιον Ἀπόστολόν σου Βαρνάβαν ἐξαιρέτοις τοῖς τοῦ ἁγίου Πνεύματος χαρίσμασι κοσμήσας· Αὐτὸς μὴ ἀφῇς ἡμᾶς, δεόμεθά σου, ἐστερημένους τῶν ποικίλων σου χαρισμάτων, μηδὲ τῆς χάριτος τοῦ χρῆσθαι αὐτοῖς πάντοτε εἰς τὴν τιμὴν καὶ δόξαν σου, διὰ Ἰησοῦ Χριστοῦ τοῦ Κυρίου ἡμῶν. Ἀμήν.

Ἀντὶ τοῦ Ἀποστόλου.

Ἤκούσθη ὁ λόγος εἰς τὰ ὦτα τῆς Ἐκκλησίας τῆς ἐν Ἱεροσολύμοις περὶ αὐτῶν· καὶ ἐξαπέστειλαν Βαρνάβαν, διελθεῖν ἕως Ἀντιοχείας. Ὃς παραγενόμενος, καὶ ἰδὼν τὴν χάριν τοῦ Θεοῦ, ἐχάρη, καὶ παρεκάλει πάντας τῇ προθέσει τῆς

Πράξ. ΙΑ´ 22.

καρδίας προσμένειν τῷ Κυρίῳ. Ὅτι ἦν ἀνὴρ ἀγαθός, καὶ πλήρης Πνεύματος ἁγίου, καὶ πίστεως· καὶ προσετέθη ὄχλος ἱκανὸς τῷ Κυρίῳ. Ἐξῆλθε δὲ εἰς Ταρσὸν ὁ Βαρνάβας ἀναζητῆσαι Σαῦλον. Καὶ εὑρὼν αὐτόν, ἤγαγεν αὐτὸν εἰς Ἀντιόχειαν. Ἐγένετο δὲ αὐτοὺς ἐνιαυτὸν ὅλον συναχθῆναι ἐν τῇ Ἐκκλησίᾳ, καὶ διδάξαι ὄχλον ἱκανόν· χρηματίσαι τε πρῶτον ἐν Ἀντιοχείᾳ τοὺς μαθητὰς Χριστιανούς. Ἐν ταύταις δὲ ταῖς ἡμέραις κατῆλθον ἀπὸ Ἱεροσολύμων προφῆται εἰς Ἀντιόχειαν. Ἀναστὰς δὲ εἷς ἐξ αὐτῶν, ὀνόματι Ἄγαβος, ἐσήμανε διὰ τοῦ Πνεύματος, λιμὸν μέγαν μέλλειν ἔσεσθαι ἐφ' ὅλην τὴν οἰκουμένην· ὅστις καὶ ἐγένετο ἐπὶ Κλαυδίου Καίσαρος. Τῶν δὲ μαθητῶν, καθὼς ηὐπορεῖτό τις, ὥρισαν ἕκαστος αὐτῶν εἰς διακονίαν πέμψαι τοῖς κατοικοῦσιν ἐν τῇ Ἰουδαίᾳ ἀδελφοῖς. Ὃ καὶ ἐποίησαν, ἀποστείλαντες πρὸς τοὺς πρεσβυτέρους διὰ χειρὸς Βαρνάβα καὶ Σαύλου.

Εὐαγγέλιον.

Ἰωάν. ΙΕ΄ 12. ΑΥτη ἐστὶν ἡ ἐντολὴ ἡ ἐμή, ἵνα ἀγαπᾶτε ἀλλήλους, καθὼς ἠγάπησα ὑμᾶς. Μείζονα ταύτης ἀγάπην οὐδεὶς ἔχει, ἵνα τις τὴν ψυχὴν αὐτοῦ θῇ ὑπὲρ τῶν φίλων αὐτοῦ. Ὑμεῖς φίλοι μού ἐστε, ἐὰν ποιῆτε ὅσα ἐγὼ ἐντέλλομαι ὑμῖν. Οὐκέτι ὑμᾶς λέγω δούλους· ὅτι ὁ δοῦλος οὐκ οἶδε τί ποιεῖ αὐτοῦ ὁ κύριος· ὑμᾶς δὲ εἴρηκα φίλους· ὅτι πάντα ἃ ἤκουσα παρὰ τοῦ Πατρός μου, ἐγνώρισα ὑμῖν. Οὐχ ὑμεῖς με ἐξελέξασθε, ἀλλ' ἐγὼ ἐξελεξάμην ὑμᾶς, καὶ ἔθηκα ὑμᾶς, ἵνα ὑμεῖς ὑπάγητε καὶ καρπὸν φέρητε, καὶ ὁ καρπὸς ὑμῶν μένῃ· ἵνα ὅ τι ἂν αἰτήσητε τὸν Πατέρα ἐν τῷ Ὀνόματί μου, δῷ ὑμῖν.

ΤΟΥ ΑΓΙΟΥ ΒΑΠΤΙΣΤΟΥ ΙΩΑΝΝΟΥ.

Εὐχή.

Ὁ Θεὸς ὁ Παντοκράτωρ, οὗ τῇ προνοίᾳ ὁ δοῦλός σου Ἰωάννης ὁ Βαπτιστὴς θαυμαστῶς ἐγεννήθη, καὶ ἀπεστάλη

τὴν ὁδὸν τοῦ Υἱοῦ σου τοῦ Σωτῆρος ἡμῶν διὰ κηρύξεως μετανοίας ἑτοιμάσαι· Αὐτὸς ἡμᾶς ποίησον οὕτω τῇ διδασκαλίᾳ αὐτοῦ ἀκολουθεῖν καὶ τὴν ἁγίαν αὐτοῦ πολιτείαν μιμεῖσθαι, ὥστε κατὰ τὸ κήρυγμα αὐτοῦ εἰλικρινῶς μετανοῆσαι, καὶ κατὰ τὸ ὑπόδειγμα αὐτοῦ ἑδραίως ἀληθεύειν, τῇ πονηρίᾳ μετὰ παρρησίας ἐπιτιμᾶν, καὶ ἕνεκα τῆς ἀληθείας μεθ' ὑπομονῆς πάσχειν, διὰ Ἰησοῦ Χριστοῦ τοῦ Κυρίου ἡμῶν. Ἀμήν.

Ἀντὶ τοῦ Ἀποστόλου.

ΠΑρακαλεῖτε, παρακαλεῖτε τὸν λαόν μου, λέγει ὁ Θεός. Ἠσαΐ.
Ἱερεῖς λαλήσατε εἰς τὴν καρδίαν Ἱερουσαλήμ, παρα- Μ´ 1.
καλέσατε αὐτήν, ὅτι ἐπλήσθη ἡ ταπείνωσις αὐτῆς, λέλυται αὐτῆς ἡ ἁμαρτία· ὅτι ἐδέξατο ἐκ χειρὸς Κυρίου διπλᾶ τὰ ἁμαρτήματα αὐτῆς. Φωνὴ βοῶντος ἐν τῇ ἐρήμῳ, Ἑτοιμάσατε τὴν ὁδὸν Κυρίου, εὐθείας ποιῆτε τὰς τρίβους τοῦ Θεοῦ ἡμῶν. Πᾶσα φάραγξ πληρωθήσεται, καὶ πᾶν ὄρος καὶ βουνὸς ταπεινωθήσεται, καὶ ἔσται τὰ σκολιὰ εἰς εὐθεῖαν, καὶ ἡ τραχεῖα εἰς πεδία. Καὶ ὀφθήσεται ἡ δόξα Κυρίου, καὶ ὄψεται πᾶσα σὰρξ τὸ σωτήριον τοῦ Θεοῦ· ὅτι Κύριος ἐλάλησε. Φωνὴ λέγοντος, Βόησον. Καὶ εἶπε, Τί βοήσω; Πᾶσα σὰρξ χόρτος, καὶ πᾶσα δόξα ἀνθρώπου ὡς ἄνθος χόρτου. Ἐξηράνθη ὁ χόρτος, καὶ τὸ ἄνθος ἐξέπεσε, ὅτι Πνεῦμα Κυρίου ἔπνευσεν εἰς αὐτό· ἀληθῶς χόρτος ὁ λαός. Ἐξηράνθη ὁ χόρτος, ἔπεσε τὸ ἄνθος, τὸ δὲ ῥῆμα τοῦ Θεοῦ ἡμῶν μένει εἰς τὸν αἰῶνα. Ἐπ' ὄρος ὑψηλὸν ἀνάβηθι, ὁ εὐαγγελιζόμενος Σιών· ὕψωσον τῇ ἰσχύϊ τὴν φωνήν σου, ὁ εὐαγγελιζόμενος Ἱερουσαλήμ· ὑψώσατε, μὴ φοβεῖσθε· εἶπον ταῖς πόλεσιν Ἰούδα, Ἰδού, ὁ Θεὸς ὑμῶν. Ἰδού, Κύριος Κύριος μετὰ ἰσχύος ἔρχεται, καὶ ὁ βραχίων αὐτοῦ μετὰ κυρίας· ἰδού, ὁ μισθὸς αὐτοῦ μετ' αὐτοῦ, καὶ τὸ ἔργον ἐναντίον αὐτοῦ. Ὡς ποιμὴν ποιμανεῖ τὸ ποίμνιον αὐτοῦ, καὶ τῷ βραχίονι αὐτοῦ συνάξει ἄρνας, καὶ ἐν γαστρὶ ἐχούσας παρακαλέσει.

ΤΟΥ ΑΓΙΟΥ ΒΑΠΤΙΣΤΟΥ ΙΩΑΝΝΟΥ

Εὐαγγέλιον.

Λουκ. Α΄ 57. ΤΗι Ἐλισαβὲτ ἐπλήσθη ὁ χρόνος τοῦ τεκεῖν αὐτήν· καὶ ἐγέννησεν υἱόν. Καὶ ἤκουσαν οἱ περίοικοι καὶ οἱ συγγενεῖς αὐτῆς ὅτι ἐμεγάλυνε Κύριος τὸ ἔλεος αὐτοῦ μετ' αὐτῆς, καὶ συνέχαιρον αὐτῇ. Καὶ ἐγένετο, ἐν τῇ ὀγδόῃ ἡμέρᾳ ἦλθον περιτεμεῖν τὸ παιδίον, καὶ ἐκάλουν αὐτὸ ἐπὶ τῷ ὀνόματι τοῦ πατρὸς αὐτοῦ Ζαχαρίαν. Καὶ ἀποκριθεῖσα ἡ μήτηρ αὐτοῦ εἶπεν, Οὐχί· ἀλλὰ κληθήσεται Ἰωάννης. Καὶ εἶπον πρὸς αὐτήν, ὅτι Οὐδείς ἐστιν ἐν τῇ συγγενείᾳ σου ὃς καλεῖται τῷ ὀνόματι τούτῳ. Ἐνένευον δὲ τῷ πατρὶ αὐτοῦ, τὸ τί ἂν θέλοι καλεῖσθαι αὐτόν. Καὶ αἰτήσας πινακίδιον, ἔγραψε λέγων, Ἰωάννης ἐστὶ τὸ ὄνομα αὐτοῦ. Καὶ ἐθαύμασαν πάντες. Ἀνεῴχθη δὲ τὸ στόμα αὐτοῦ παραχρῆμα, καὶ ἡ γλῶσσα αὐτοῦ ἐλύθη, καὶ ἐλάλει εὐλογῶν τὸν Θεόν. Καὶ ἐγένετο ἐπὶ πάντας φόβος τοὺς περιοικοῦντας αὐτούς· καὶ ἐν ὅλῃ τῇ ὀρεινῇ τῆς Ἰουδαίας διελαλεῖτο πάντα τὰ ῥήματα ταῦτα. Καὶ ἔθεντο πάντες οἱ ἀκούσαντες ἐν τῇ καρδίᾳ αὐτῶν, λέγοντες, Τί ἄρα τὸ παιδίον τοῦτο ἔσται; Καὶ χεὶρ Κυρίου ἦν μετ' αὐτοῦ. Καὶ Ζαχαρίας ὁ πατὴρ αὐτοῦ ἐπλήσθη Πνεύματος ἁγίου, καὶ προεφήτευσε λέγων, Εὐλογητὸς Κύριος ὁ Θεὸς τοῦ Ἰσραήλ, ὅτι ἐπεσκέψατο καὶ ἐποίησε λύτρωσιν τῷ λαῷ αὐτοῦ, καὶ ἤγειρε κέρας σωτηρίας ἡμῖν ἐν τῷ οἴκῳ Δαβὶδ τοῦ παιδὸς αὐτοῦ· καθὼς ἐλάλησε διὰ στόματος τῶν ἁγίων τῶν ἀπ' αἰῶνος προφητῶν αὐτοῦ· σωτηρίαν ἐξ ἐχθρῶν ἡμῶν, καὶ ἐκ χειρὸς πάντων τῶν μισούντων ἡμᾶς· ποιῆσαι ἔλεος μετὰ τῶν πατέρων ἡμῶν, καὶ μνησθῆναι διαθήκης ἁγίας αὐτοῦ· ὅρκον ὃν ὤμοσε πρὸς Ἀβραὰμ τὸν πατέρα ἡμῶν, τοῦ δοῦναι ἡμῖν, ἀφόβως, ἐκ χειρὸς τῶν ἐχθρῶν ἡμῶν ῥυσθέντας, λατρεύειν αὐτῷ, ἐν ὁσιότητι καὶ δικαιοσύνῃ ἐνώπιον αὐτοῦ πάσας τὰς ἡμέρας τῆς ζωῆς ἡμῶν. Καὶ σύ, παιδίον, προφήτης Ὑψίστου κληθήσῃ· προπορεύσῃ γὰρ πρὸ προσώπου Κυρίου ἑτοιμάσαι ὁδοὺς αὐτοῦ·

τοῦ δοῦναι γνῶσιν σωτηρίας τῷ λαῷ αὐτοῦ ἐν ἀφέσει ἁμαρτιῶν αὐτῶν, διὰ σπλάγχνα ἐλέους Θεοῦ ἡμῶν, ἐν οἷς ἐπεσκέψατο ἡμᾶς Ἀνατολὴ ἐξ ὕψους· ἐπιφᾶναι τοῖς ἐν σκότει καὶ σκιᾷ θανάτου καθημένοις, τοῦ κατευθῦναι τοὺς πόδας ἡμῶν εἰς ὁδὸν εἰρήνης. Τὸ δὲ παιδίον ηὔξανε, καὶ ἐκραταιοῦτο πνεύματι· καὶ ἦν ἐν ταῖς ἐρήμοις ἕως ἡμέρας ἀναδείξεως αὐτοῦ πρὸς τὸν Ἰσραήλ.

ΤΟΥ ΑΓΙΟΥ ΑΠΟΣΤΟΛΟΥ ΠΕΤΡΟΥ.

Εὐχή.

Ὁ Θεὸς ὁ Παντοκράτωρ, ὁ διὰ τοῦ Υἱοῦ σου Ἰησοῦ Χριστοῦ τῷ ἁγίῳ σου Ἀποστόλῳ Πέτρῳ πολλὰ καὶ ἔξοχα δωρησάμενος χαρίσματα, καὶ ἐντειλάμενος αὐτῷ τὴν ποίμνην σου σπουδαίως ποιμαίνειν· Ποίησον, δεόμεθά σου, πάντας ἐπισκόπους καὶ ποιμένας τὸν ἅγιόν σου λόγον ἐνδελεχῶς κηρύσσειν, καὶ τὸν λαὸν ὑπηκόως ἐξακολουθεῖν αὐτῷ, ἵνα κομίσωνται τὸν ἀμαράντινον τῆς δόξης στέφανον, διὰ Ἰησοῦ Χριστοῦ τοῦ Κυρίου ἡμῶν. Ἀμήν.

Ἀντὶ τοῦ Ἀποστόλου.

ΚΑτ' ἐκεῖνον τὸν καιρὸν ἐπέβαλεν Ἡρώδης ὁ βασιλεὺς τὰς χεῖρας κακῶσαί τινας τῶν ἀπὸ τῆς Ἐκκλησίας. Ἀνεῖλε δὲ Ἰάκωβον τὸν ἀδελφὸν Ἰωάννου μαχαίρᾳ. Καὶ ἰδὼν ὅτι ἀρεστόν ἐστι τοῖς Ἰουδαίοις, προσέθετο συλλαβεῖν καὶ Πέτρον. (Ἦσαν δὲ ἡμέραι τῶν ἀζύμων.) Ὃν καὶ πιάσας ἔθετο εἰς φυλακήν, παραδοὺς τέσσαρσι τετραδίοις στρατιωτῶν φυλάσσειν αὐτόν, βουλόμενος μετὰ τὸ Πάσχα ἀναγαγεῖν αὐτὸν τῷ λαῷ. Ὁ μὲν οὖν Πέτρος ἐτηρεῖτο ἐν τῇ φυλακῇ· προσευχὴ δὲ ἦν ἐκτενὴς γινομένη ὑπὸ τῆς Ἐκκλησίας πρὸς τὸν Θεὸν ὑπὲρ αὐτοῦ. Ὅτε δὲ ἔμελλεν αὐτὸν προάγειν ὁ Ἡρώδης, τῇ νυκτὶ ἐκείνῃ ἦν ὁ Πέτρος κοιμώμενος μεταξὺ δύο στρατιωτῶν, δεδεμένος ἁλύσεσι δυσί· φύλακές τε πρὸ τῆς θύρας ἐτήρουν

Πράξ. ΙΒ΄ 1.

τὴν φυλακήν. Καὶ *ἰδού, ἄγγελος* Κυρίου *ἐπέστη, καὶ φῶς ἔλαμψεν ἐν τῷ οἰκήματι· πατάξας δὲ τὴν πλευρὰν τοῦ* Πέτρου, *ἤγειρεν αὐτόν, λέγων,* Ἀνάστα *ἐν τάχει.* Καὶ *ἐξέπεσον αὐτοῦ αἱ ἁλύσεις ἐκ τῶν χειρῶν.* Εἶπέ *τε ὁ ἄγγελος πρὸς αὐτόν,* Περίζωσαι, *καὶ ὑπόδησαι τὰ σανδάλιά σου· ἐποίησε δὲ οὕτω.* Καὶ *λέγει αὐτῷ,* Περιβαλοῦ *τὸ ἱμάτιόν σου, καὶ ἀκολούθει μοι.* Καὶ *ἐξελθὼν ἠκολούθει αὐτῷ, καὶ οὐκ ᾔδει ὅτι ἀληθές ἐστι τὸ γινόμενον διὰ τοῦ ἀγγέλου· ἐδόκει δὲ ὅραμα βλέπειν.* Διελθόντες *δὲ πρώτην φυλακὴν καὶ δευτέραν, ἦλθον ἐπὶ τὴν πύλην τὴν σιδηρᾶν τὴν φέρουσαν εἰς τὴν πόλιν, ἥτις αὐτομάτη ἠνοίχθη αὐτοῖς· καὶ ἐξελθόντες προῆλθον ῥύμην μίαν, καὶ εὐθέως ἀπέστη ὁ ἄγγελος ἀπ᾽ αὐτοῦ.* Καὶ *ὁ* Πέτρος *γενόμενος ἐν ἑαυτῷ, εἶπε,* Νῦν *οἶδα ἀληθῶς, ὅτι ἐξαπέστειλε* Κύριος *τὸν ἄγγελον αὐτοῦ, καὶ ἐξείλετό με ἐκ χειρὸς* Ἡρώδου, *καὶ πάσης τῆς προσδοκίας τοῦ λαοῦ τῶν* Ἰουδαίων.

Εὐαγγέλιον.

Ματθ. ιϛ΄ 13. Ἐλθὼν *ὁ* Ἰησοῦς *εἰς τὰ μέρη* Καισαρείας *τῆς* Φιλίππου, *ἠρώτα τοὺς μαθητὰς αὐτοῦ λέγων,* Τίνα *με λέγουσιν οἱ ἄνθρωποι εἶναι, τὸν* Υἱὸν *τοῦ ἀνθρώπου;* Οἱ *δὲ εἶπον,* Οἱ *μὲν* Ἰωάννην *τὸν* Βαπτιστήν, *ἄλλοι δὲ* Ἠλίαν, *ἕτεροι δὲ* Ἱερεμίαν, *ἢ ἕνα τῶν προφητῶν.* Λέγει *αὐτοῖς,* Ὑμεῖς *δὲ τίνα με λέγετε εἶναι;* Ἀποκριθεὶς *δὲ* Σίμων Πέτρος *εἶπε,* Σὺ *εἶ ὁ* Χριστός, *ὁ* Υἱὸς *τοῦ* Θεοῦ *τοῦ ζῶντος.* Καὶ *ἀποκριθεὶς ὁ* Ἰησοῦς *εἶπεν αὐτῷ,* Μακάριος *εἶ,* Σίμων Βαριωνᾶ· *ὅτι σὰρξ καὶ αἷμα οὐκ ἀπεκάλυψέ σοι, ἀλλ᾽ ὁ* Πατήρ *μου ὁ ἐν τοῖς οὐρανοῖς.* Κἀγὼ *δὲ σοὶ λέγω, ὅτι σὺ εἶ* Πέτρος, *καὶ ἐπὶ ταύτῃ τῇ πέτρᾳ οἰκοδομήσω μου τὴν* Ἐκκλησίαν· *καὶ πύλαι ᾅδου οὐ κατισχύσουσιν αὐτῆς.* Καὶ *δώσω σοὶ τὰς κλεῖς τῆς βασιλείας τῶν οὐρανῶν· καὶ ὃ ἐὰν δήσῃς ἐπὶ τῆς γῆς, ἔσται δεδεμένον ἐν τοῖς οὐρανοῖς· καὶ ὃ ἐὰν λύσῃς ἐπὶ τῆς γῆς, ἔσται λελυμένον ἐν τοῖς οὐρανοῖς.*

ΤΟΥ ΑΓΙΟΥ ΑΠΟΣΤΟΛΟΥ ΙΑΚΩΒΟΥ.

Εὐχή.

ΠΑράσχου, Θεὲ οἰκτίρμον, ἵνα καθὼς ὁ ἅγιός σου Ἀπόστολος Ἰάκωβος, ἀφεὶς τὸν πατέρα, καὶ πάντα τὰ ὑπάρχοντα, ὑπήκουσεν ἀμελλητὶ τῇ κλήσει τοῦ Υἱοῦ σου Ἰησοῦ Χριστοῦ, καὶ ἠκολούθησεν αὐτῷ· οὕτω καὶ ἡμεῖς, πᾶσαν ἀφέντες βιωτικὴν καὶ σαρκικὴν ἐπιθυμίαν, διαπαντὸς ἑτοίμως ἔχωμεν ταῖς ἁγίαις σου ἀκολουθεῖν ἐντολαῖς, διὰ Ἰησοῦ Χριστοῦ τοῦ Κυρίου ἡμῶν. Ἀμήν.

Ἀντὶ τοῦ Ἀποστόλου.

Πράξ. ΙΑ′ 27 καὶ μέρος τοῦ ΙΒ′ Κεφαλαίου.

ἘΝ ταύταις ταῖς ἡμέραις κατῆλθον ἀπὸ Ἱεροσολύμων προφῆται εἰς Ἀντιόχειαν. Ἀναστὰς δὲ εἷς ἐξ αὐτῶν, ὀνόματι Ἄγαβος, ἐσήμανε διὰ τοῦ Πνεύματος, λιμὸν μέγαν μέλλειν ἔσεσθαι ἐφ᾽ ὅλην τὴν οἰκουμένην· ὅστις καὶ ἐγένετο ἐπὶ Κλαυδίου Καίσαρος. Τῶν δὲ μαθητῶν, καθὼς ηὐπορεῖτό τις, ὥρισαν ἕκαστος αὐτῶν εἰς διακονίαν πέμψαι τοῖς κατοικοῦσιν ἐν τῇ Ἰουδαίᾳ ἀδελφοῖς. Ὃ καὶ ἐποίησαν, ἀποστείλαντες πρὸς τοὺς πρεσβυτέρους διὰ χειρὸς Βαρνάβα καὶ Σαύλου. Κατ᾽ ἐκεῖνον δὲ τὸν καιρόν, ἐπέβαλεν Ἡρώδης ὁ βασιλεὺς τὰς χεῖρας κακῶσαί τινας τῶν ἀπὸ τῆς Ἐκκλησίας. Ἀνεῖλε δὲ Ἰάκωβον τὸν ἀδελφὸν Ἰωάννου μαχαίρᾳ. Καὶ ἰδὼν ὅτι ἀρεστόν ἐστι τοῖς Ἰουδαίοις, προσέθετο συλλαβεῖν καὶ Πέτρον.

Εὐαγγέλιον.

Ματθ. Κ′ 20.

ΤΌτε προσῆλθεν αὐτῷ ἡ μήτηρ τῶν υἱῶν Ζεβεδαίου, μετὰ τῶν υἱῶν αὐτῆς προσκυνοῦσα, καὶ αἰτοῦσά τι παρ᾽ αὐτοῦ. Ὁ δὲ εἶπεν αὐτῇ, Τί θέλεις; Λέγει αὐτῷ, Εἰπὲ ἵνα καθίσωσιν οὗτοι οἱ δύο υἱοί μου, εἷς ἐκ δεξιῶν σου, καὶ εἷς ἐξ εὐωνύμων, ἐν τῇ βασιλείᾳ σου. Ἀποκριθεὶς δὲ ὁ Ἰησοῦς εἶπεν, Οὐκ οἴδατε τί αἰτεῖσθε. Δύνασθε πιεῖν τὸ ποτήριον ὃ ἐγὼ μέλλω

πίνειν, καὶ τὸ βάπτισμα ὃ ἐγὼ βαπτίζομαι βαπτισθῆναι; Λέγουσιν αὐτῷ, Δυνάμεθα. Καὶ λέγει αὐτοῖς, Τὸ μὲν ποτήριόν μου πίεσθε, καὶ τὸ βάπτισμα ὃ ἐγὼ βαπτίζομαι βαπτισθήσεσθε· τὸ δὲ καθίσαι ἐκ δεξιῶν μου, καὶ ἐξ εὐωνύμων μου, οὐκ ἔστιν ἐμὸν δοῦναι, ἀλλ' οἷς ἡτοίμασται ὑπὸ τοῦ Πατρός μου. Καὶ ἀκούσαντες οἱ δέκα ἠγανάκτησαν περὶ τῶν δύο ἀδελφῶν. Ὁ δὲ Ἰησοῦς προσκαλεσάμενος αὐτοὺς εἶπεν, Οἴδατε ὅτι οἱ ἄρχοντες τῶν Ἐθνῶν κατακαριεύουσιν αὐτῶν, καὶ οἱ μεγάλοι κατεξουσιάζουσιν αὐτῶν. Οὐχ οὕτως δὲ ἔσται ἐν ὑμῖν· ἀλλ' ὃς ἐὰν θέλῃ ἐν ὑμῖν μέγας γενέσθαι, ἔστω ὑμῶν διάκονος· καὶ ὃς ἐὰν θέλῃ ἐν ὑμῖν εἶναι πρῶτος, ἔστω ὑμῶν δοῦλος· Ὥσπερ ὁ Υἱὸς τοῦ ἀνθρώπου οὐκ ἦλθε διακονηθῆναι, ἀλλὰ διακονῆσαι, καὶ δοῦναι τὴν ψυχὴν αὐτοῦ λύτρον ἀντὶ πολλῶν.

ΤΟΥ ΑΓΙΟΥ ΑΠΟΣΤΟΛΟΥ ΒΑΡΘΟΛΟΜΑΙΟΥ.

Εὐχή.

Ὁ Θεὸς ὁ παντοκράτωρ καὶ αἰώνιος, ὁ τῷ σῷ Ἀποστόλῳ Βαρθολομαίῳ τὴν χάριν δωρησάμενος τοῦ τῷ λόγῳ σου ἀληθινῶς πιστεύειν καὶ τοῦ αὐτὸν κηρύσσειν· Δεόμεθά σου, παράσχου τῇ σῇ Ἐκκλησίᾳ ἀγαπᾷν τὸν λόγον ὃν αὐτὸς ἐκήρυξεν, καὶ αὐτὸν κηρύσσειν τε καὶ προσδέχεσθαι, διὰ Ἰησοῦ Χριστοῦ τοῦ Κυρίου ἡμῶν. Ἀμήν.

Ἀντὶ τοῦ Ἀποστόλου.

Πράξ. Ε´ 12. Διὰ τῶν χειρῶν τῶν Ἀποστόλων ἐγίνετο σημεῖα καὶ τέρατα ἐν τῷ λαῷ πολλά, (καὶ ἦσαν ὁμοθυμαδὸν ἅπαντες ἐν τῇ στοᾷ Σολομῶντος. Τῶν δὲ λοιπῶν οὐδεὶς ἐτόλμα κολλᾶσθαι αὐτοῖς· ἀλλ' ἐμεγάλυνεν αὐτοὺς ὁ λαός. Μᾶλλον δὲ προσετίθεντο πιστεύοντες τῷ Κυρίῳ, πλήθη ἀνδρῶν τε καὶ γυναικῶν) Ὥστε κατὰ τὰς πλατείας ἐκφέρειν τοὺς ἀσθενεῖς, καὶ τιθέναι ἐπὶ κλινῶν καὶ κραββάτων, ἵνα ἐρχομένου Πέτρου κἂν ἡ σκιὰ

ἐπισκιάσῃ τινὶ αὐτῶν. Συνήρχετο δὲ καὶ τὸ πλῆθος τῶν πέριξ πόλεων εἰς Ἱερουσαλήμ, φέροντες ἀσθενεῖς καὶ ὀχλουμένους ὑπὸ πνευμάτων ἀκαθάρτων, οἵτινες ἐθεραπεύοντο ἅπαντες.

Εὐαγγέλιον.

Ἐγένετο δὲ καὶ φιλονεικία ἐν αὐτοῖς, τὸ τίς αὐτῶν δοκεῖ εἶναι μείζων. Ὁ δὲ εἶπεν αὐτοῖς, Οἱ βασιλεῖς τῶν Ἐθνῶν κυριεύουσιν αὐτῶν· καὶ οἱ ἐξουσιάζοντες αὐτῶν εὐεργέται καλοῦνται. Ὑμεῖς δὲ οὐχ οὕτως· ἀλλ' ὁ μείζων ἐν ὑμῖν, γενέσθω ὡς ὁ νεώτερος· καὶ ὁ ἡγούμενος, ὡς ὁ διακονῶν. Τίς γὰρ μείζων, ὁ ἀνακείμενος, ἢ ὁ διακονῶν; οὐχὶ ὁ ἀνακείμενος; ἐγὼ δέ εἰμι ἐν μέσῳ ὑμῶν ὡς ὁ διακονῶν. Ὑμεῖς δέ ἐστε οἱ διαμεμενηκότες μετ' ἐμοῦ ἐν τοῖς πειρασμοῖς μου. Κἀγὼ διατίθεμαι ὑμῖν, καθὼς διέθετό μοι ὁ Πατήρ μου, βασιλείαν· ἵνα ἐσθίητε καὶ πίνητε ἐπὶ τῆς τραπέζης μου ἐν τῇ βασιλείᾳ μου, καὶ καθίσησθε ἐπὶ θρόνων κρίνοντες τὰς δώδεκα φυλὰς τοῦ Ἰσραήλ. Λουκ. ΚΒ' 24.

ΤΟΥ ΑΓΙΟΥ ΑΠΟΣΤΟΛΟΥ ΜΑΤΘΑΙΟΥ.

Εὐχή.

Ὁ Θεὸς ὁ Παντοκράτωρ, ὁ διὰ τοῦ εὐλογητοῦ σου Υἱοῦ τὸν Ματθαῖον καλέσας ἀπὸ τοῦ τελωνείου εἰς τὸ εἶναι Ἀπόστολον καὶ Εὐαγγελιστήν· Αὐτὸς δὸς ἡμῖν τὴν χάριν τοῦ πᾶσαν ἐγκαταλιπεῖν ἄπληστον ἐπιθυμίαν καὶ ἄτακτον φιλαργυρίαν, καὶ τοῦ ἀκολουθῆσαι τῷ αὐτῷ τῷ Υἱῷ σου Ἰησοῦ Χριστῷ, τῷ συζῶντι καὶ συμβασιλεύοντι σὺν Σοὶ καὶ τῷ ἁγίῳ Πνεύματι, ἑνὶ Θεῷ, εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

Ἀπόστολος.

Διὰ τοῦτο ἔχοντες τὴν διακονίαν ταύτην, καθὼς ἠλεήθημεν, οὐκ ἐκκακοῦμεν· ἀλλ' ἀπειπάμεθα τὰ κρυπτὰ τῆς αἰσχύνης, μὴ περιπατοῦντες ἐν πανουργίᾳ, μηδὲ δολοῦντες τὸν λόγον Β' Κορ. Δ' 1.

τοῦ Θεοῦ, ἀλλὰ τῇ φανερώσει τῆς ἀληθείας, συνιστῶντες ἑαυτοὺς πρὸς πᾶσαν συνείδησιν ἀνθρώπων ἐνώπιον τοῦ Θεοῦ. Εἰ δὲ καὶ ἔστι κεκαλυμμένον τὸ Εὐαγγέλιον ἡμῶν, ἐν τοῖς ἀπολλυμένοις ἐστὶ κεκαλυμμένον· Ἐν οἷς ὁ Θεὸς τοῦ αἰῶνος τούτου ἐτύφλωσε τὰ νοήματα τῶν ἀπίστων, εἰς τὸ μὴ αὐγάσαι αὐτοῖς τὸν φωτισμὸν τοῦ Εὐαγγελίου τῆς δόξης τοῦ Χριστοῦ, ὅς ἐστιν εἰκὼν τοῦ Θεοῦ. Οὐ γὰρ ἑαυτοὺς κηρύσσομεν, ἀλλὰ Χριστὸν Ἰησοῦν Κύριον· ἑαυτοὺς δὲ δούλους ὑμῶν διὰ Ἰησοῦν. Ὅτι ὁ Θεὸς ὁ εἰπὼν ἐκ σκότους φῶς λάμψαι, ὃς ἔλαμψεν ἐν ταῖς καρδίαις ἡμῶν, πρὸς φωτισμὸν τῆς γνώσεως τῆς δόξης τοῦ Θεοῦ, ἐν προσώπῳ Ἰησοῦ Χριστοῦ.

Εὐαγγέλιον.

Ματθ. Θ′ 9. ΚΑὶ παράγων ὁ Ἰησοῦς ἐκεῖθεν, εἶδεν ἄνθρωπον καθήμενον ἐπὶ τὸ τελώνιον, Ματθαῖον λεγόμενον· καὶ λέγει αὐτῷ, Ἀκολούθει μοι. Καὶ ἀναστὰς ἠκολούθησεν αὐτῷ. Καὶ ἐγένετο, αὐτοῦ ἀνακειμένου ἐν τῇ οἰκίᾳ, καὶ ἰδού, πολλοὶ Τελῶναι καὶ ἁμαρτωλοὶ ἐλθόντες συνανέκειντο τῷ Ἰησοῦ καὶ τοῖς μαθηταῖς αὐτοῦ. Καὶ ἰδόντες οἱ Φαρισαῖοι, εἶπον τοῖς μαθηταῖς αὐτοῦ, Διατί μετὰ τῶν Τελωνῶν καὶ ἁμαρτωλῶν ἐσθίει ὁ διδάσκαλος ὑμῶν; Ὁ δὲ Ἰησοῦς ἀκούσας εἶπεν αὐτοῖς, Οὐ χρείαν ἔχουσιν οἱ ἰσχύοντες Ἰατροῦ, ἀλλ᾽ οἱ κακῶς ἔχοντες. Πορευθέντες δὲ μάθετε τί ἐστιν, Ἔλεον θέλω, καὶ οὐ θυσίαν· οὐ γὰρ ἦλθον καλέσαι δικαίους, ἀλλ᾽ ἁμαρτωλοὺς εἰς μετάνοιαν.

ΤΟΥ ΑΓΙΟΥ ΑΡΧΑΓΓΕΛΟΥ ΜΙΧΑΗΛ ΚΑΙ ΤΩΝ ΑΓΓΕΛΩΝ ΠΑΝΤΩΝ.

Εὐχή.

Ὁ Θεὸς ὁ αἰώνιος, ὁ τὰς λειτουργίας τῶν Ἀγγέλων καὶ τῶν ἀνθρώπων κατὰ τάξιν θαυμαστὴν διορίσας καὶ οἰκονομήσας· Ἵλεως παράσχου, ἵνα οἱ ἅγιοί σου Ἄγγελοι,

καθὼς πάντοτε Σοὶ λειτουργοῦσιν ἐν οὐρανῷ, οὕτω καὶ τῷ σῷ προστάγματι ἡμᾶς βοηθῶσι καὶ ὑπερασπίζωσιν ἐπὶ τῆς γῆς, διὰ Ἰησοῦ Χριστοῦ τοῦ Κυρίου ἡμῶν. Ἀμήν.

Ἀντὶ τοῦ Ἀποστόλου.

ἘΓένετο πόλεμος ἐν τῷ οὐρανῷ· ὁ Μιχαὴλ καὶ οἱ Ἄγγελοι αὐτοῦ ἐπολέμησαν κατὰ τοῦ δράκοντος, καὶ ὁ δράκων ἐπολέμησε καὶ οἱ ἄγγελοι αὐτοῦ· καὶ οὐκ ἴσχυσαν, οὔτε τόπος εὑρέθη αὐτῶν ἔτι ἐν τῷ οὐρανῷ. Καὶ ἐβλήθη ὁ δράκων ὁ μέγας, ὁ ὄφις ὁ ἀρχαῖος, ὁ καλούμενος διάβολος καὶ ὁ Σατανᾶς, ὁ πλανῶν τὴν οἰκουμένην ὅλην· ἐβλήθη εἰς τὴν γῆν, καὶ οἱ ἄγγελοι αὐτοῦ μετ' αὐτοῦ ἐβλήθησαν. Καὶ ἤκουσα φωνὴν μεγάλην λέγουσαν ἐν τῷ οὐρανῷ, Ἄρτι ἐγένετο ἡ σωτηρία, καὶ ἡ δύναμις, καὶ ἡ βασιλεία τοῦ Θεοῦ ἡμῶν, καὶ ἡ ἐξουσία τοῦ Χριστοῦ αὐτοῦ· ὅτι κατεβλήθη ὁ κατήγορος τῶν ἀδελφῶν ἡμῶν, ὁ κατηγορῶν αὐτῶν ἐνώπιον τοῦ Θεοῦ ἡμῶν ἡμέρας καὶ νυκτός. Καὶ αὐτοὶ ἐνίκησαν αὐτὸν διὰ τὸ αἷμα τοῦ Ἀρνίου, καὶ διὰ τὸν λόγον τῆς μαρτυρίας αὐτῶν· καὶ οὐκ ἠγάπησαν τὴν ψυχὴν αὐτῶν ἄχρι θανάτου. Διὰ τοῦτο εὐφραίνεσθε, οἱ οὐρανοί, καὶ οἱ ἐν αὐτοῖς σκηνοῦντες. Οὐαὶ τοῖς κατοικοῦσι τὴν γῆν καὶ τὴν θάλασσαν· ὅτι κατέβη ὁ διάβολος πρὸς ὑμᾶς, ἔχων θυμὸν μεγαν, εἰδὼς ὅτι ὀλίγον καιρὸν ἔχει. Ἀποκ. ΙΒ´ 7.

Εὐαγγέλιον.

ἘΝ ἐκείνῃ τῇ ὥρᾳ προσῆλθον οἱ μαθηταὶ τῷ Ἰησοῦ, λέγοντες, Τίς ἄρα μείζων ἐστὶν ἐν τῇ βασιλείᾳ τῶν οὐρανῶν; Καὶ προσκαλεσάμενος ὁ Ἰησοῦς παιδίον, ἔστησεν αὐτὸ ἐν μέσῳ αὐτῶν, καὶ εἶπεν, Ἀμὴν λέγω ὑμῖν, Ἐὰν μὴ στραφῆτε, καὶ γένησθε ὡς τὰ παιδία, οὐ μὴ εἰσέλθητε εἰς τὴν βασιλείαν τῶν οὐρανῶν. Ὅστις οὖν ταπεινώσει ἑαυτὸν ὡς τὸ παιδίον τοῦτο, οὗτός ἐστιν ὁ μείζων ἐν τῇ βασιλείᾳ τῶν οὐρανῶν. Καὶ ὃς ἐὰν δέξηται παιδίον τοιοῦτον ἓν ἐπὶ τῷ Ὀνόματί μου, ἐμὲ Ματθ. ΙΗ´ 1.

δέχεται. Ὃς δ' ἂν σκανδαλίσῃ ἕνα τῶν μικρῶν τούτων τῶν πιστευόντων εἰς ἐμέ, συμφέρει αὐτῷ ἵνα κρεμασθῇ μύλος ὀνικὸς ἐπὶ τὸν τράχηλον αὐτοῦ, καὶ καταποντισθῇ ἐν τῷ πελάγει τῆς θαλάσσης. Οὐαὶ *τῷ κόσμῳ ἀπὸ τῶν σκανδάλων· ἀνάγκη γάρ ἐστιν ἐλθεῖν τὰ σκάνδαλα· πλὴν οὐαὶ τῷ ἀνθρώπῳ ἐκείνῳ δι' οὗ τὸ σκάνδαλον ἔρχεται.* Εἰ *δὲ ἡ χείρ σου ἢ ὁ πούς σου σκανδαλίζει σε, ἔκκοψον αὐτά, καὶ βάλε ἀπὸ σοῦ· καλόν σοι ἐστὶν εἰσελθεῖν εἰς τὴν ζωὴν χωλὸν ἢ κυλλόν, ἢ δύο χεῖρας ἢ δύο πόδας ἔχοντα βληθῆναι εἰς τὸ πῦρ τὸ αἰώνιον.* Καὶ *εἰ ὁ ὀφθαλμός σου σκανδαλίζει σε, ἔξελε αὐτόν, καὶ βάλε ἀπὸ σοῦ· καλόν σοι ἐστὶ μονόφθαλμον εἰς τὴν ζωὴν εἰσελθεῖν, ἢ δύο ὀφθαλμοὺς ἔχοντα βληθῆναι εἰς τὴν γέενναν τοῦ πυρός.* Ὁ*ρᾶτε μὴ καταφρονήσητε ἑνὸς τῶν μικρῶν τούτων· λέγω γὰρ ὑμῖν, ὅτι οἱ ἄγγελοι αὐτῶν ἐν οὐρανοῖς διὰ παντὸς βλέπουσι τὸ πρόσωπον τοῦ* Πατρός *μου τοῦ ἐν οὐρανοῖς.*

ΤΟΥ ΑΓΙΟΥ ΕΥΑΓΓΕΛΙΣΤΟΥ ΛΟΥΚΑ.

Εὐχή.

Ὁ Θεὸς ὁ Παντοκράτωρ, ὁ καλέσας Λουκᾶν τὸν Ἰατρόν, οὗ ὁ ἔπαινος ἐν τῷ Εὐαγγελίῳ, Εὐαγγελιστὴν γενέσθαι καὶ ψυχῶν Ἰατρόν· Αὐτὸς εὐδόκησον, ἵνα διὰ τῶν σωτηρίων φαρμάκων τῆς δι' αὐτοῦ παραδοθείσης διδασκαλίας, πᾶσα θεραπευθῇ τῶν ψυχῶν ἡμῶν μαλακία, διὰ τὴν ἀξιομισθίαν τοῦ Υἱοῦ σου, Κυρίου δὲ ἡμῶν Ἰησοῦ Χριστοῦ. Ἀμήν.

Ἀπόστολος.

Β' Τιμ. Δ' 5. ΣΥ *νῆφε ἐν πᾶσι, κακοπάθησον, ἔργον ποίησον* Εὐαγγελιστοῦ, *τὴν διακονίαν σου πληροφόρησον.* Ἐ*γὼ γὰρ ἤδη σπένδομαι, καὶ ὁ καιρὸς τῆς ἐμῆς ἀναλύσεως ἐφέστηκε.* Τὸν *ἀγῶνα τὸν καλὸν ἠγώνισμαι, τὸν δρόμον τετέλεκα, τὴν πίστιν τετήρηκα.* Λοιπὸν *ἀπόκειταί μοι ὁ τῆς δικαιοσύνης στέφανος,*

ὃν ἀποδώσει μοι ὁ Κύριος ἐν ἐκείνῃ τῇ ἡμέρᾳ, ὁ δίκαιος κριτής· οὐ μόνον δὲ ἐμοί, ἀλλὰ καὶ πᾶσι τοῖς ἠγαπηκόσι τὴν ἐπιφάνειαν αὐτοῦ. Σπούδασον ἐλθεῖν πρός με ταχέως· Δημᾶς γάρ με ἐγκατέλιπεν, ἀγαπήσας τὸν νῦν αἰῶνα, καὶ ἐπορεύθη εἰς Θεσσαλονίκην· Κρήσκης εἰς Γαλατίαν, Τίτος εἰς Δαλματίαν. Λουκᾶς ἐστι μόνος μετ' ἐμοῦ. Μάρκον ἀναλαβὼν ἄγε μετὰ σεαυτοῦ· ἔστι γάρ μοι εὔχρηστος εἰς διακονίαν. Τυχικὸν δὲ ἀπέστειλα εἰς Ἔφεσον. Τὸν φαιλόνην ὃν ἀπέλιπον ἐν Τρωάδι παρὰ Κάρπῳ, ἐρχόμενος φέρε, καὶ τὰ βιβλία, μάλιστα τὰς μεμβράνας. Ἀλέξανδρος ὁ χαλκεὺς πολλά μοι κακὰ ἐνεδείξατο· ἀποδῴη αὐτῷ ὁ Κύριος κατὰ τὰ ἔργα αὐτοῦ. Ὃν καὶ σὺ φυλάσσου, λίαν γὰρ ἀνθέστηκε τοῖς ἡμετέροις λόγοις.

Εὐαγγέλιον.

Ἀνέδειξεν ὁ Κύριος καὶ ἑτέρους ἑβδομήκοντα, καὶ ἀπέστειλεν αὐτοὺς ἀνὰ δύο πρὸ προσώπου αὐτοῦ εἰς πᾶσαν πόλιν καὶ τόπον οὗ ἔμελλεν αὐτὸς ἔρχεσθαι. Ἔλεγεν οὖν πρὸς αὐτούς, Ὁ μὲν θερισμὸς πολύς, οἱ δὲ ἐργάται ὀλίγοι· δεήθητε οὖν τοῦ Κυρίου τοῦ θερισμοῦ ὅπως ἐκβάλῃ ἐργάτας εἰς τὸν θερισμὸν αὐτοῦ. Ὑπάγετε· ἰδού, ἐγὼ ἀποστέλλω ὑμᾶς ὡς ἄρνας ἐν μέσῳ λύκων. Μὴ βαστάζετε βαλάντιον, μὴ πήραν, μηδὲ ὑποδήματα, καὶ μηδένα κατὰ τὴν ὁδὸν ἀσπάσησθε. Εἰς ἣν δ' ἂν οἰκίαν εἰσέρχησθε, πρῶτον λέγετε, Εἰρήνη τῷ οἴκῳ τούτῳ. Καὶ ἐὰν μὲν ᾖ ἐκεῖ υἱὸς εἰρήνης, ἐπαναπαύσεται ἐπ' αὐτὸν ἡ εἰρήνη ὑμῶν· εἰ δὲ μήγε, ἐφ' ὑμᾶς ἀνακάμψει. Ἐν αὐτῇ δὲ τῇ οἰκίᾳ μένετε, ἐσθίοντες καὶ πίνοντες τὰ παρ' αὐτῶν· ἄξιος γὰρ ὁ ἐργάτης τοῦ μισθοῦ αὐτοῦ ἐστί. Λουκ. Ι΄ 1.

ΤΩΝ ΑΓΙΩΝ ΑΠΟΣΤΟΛΩΝ ΣΙΜΩΝΟΣ ΚΑΙ ΙΟΥΔΑ.

Εὐχή.

Ὁ Θεὸς ὁ Παντοκράτωρ, ὁ τὴν Ἐκκλησίαν σου ἐποικοδομήσας ἐπὶ τῷ θεμελίῳ τῶν Ἀποστόλων καὶ Προφητῶν,

αὐτοῦ τοῦ Ἰησοῦ Χριστοῦ ὄντος ἀκρογωνιαίου· Δὸς ἡμῖν διὰ τῆς διδαχῆς αὐτῶν οὕτω συναρμολογεῖσθαι εἰς ἑνότητα πνεύματος, ὥστε ναὸν κατασκευασθῆναι ἅγιον καὶ Σοὶ εὐπρόσδεκτον, διὰ Ἰησοῦ Χριστοῦ τοῦ Κυρίου ἡμῶν. Ἀμήν.

Ἐπιστολή.

Ἰούδα 1. ἸΟύδας Ἰησοῦ Χριστοῦ δοῦλος, ἀδελφὸς δὲ Ἰακώβου, τοῖς ἐν Θεῷ Πατρὶ ἡγιασμένοις, καὶ Ἰησοῦ Χριστῷ τετηρημένοις κλητοῖς· Ἔλεος ὑμῖν, καὶ εἰρήνη, καὶ ἀγάπη πληθυνθείη. Ἀγαπητοί, πᾶσαν σπουδὴν ποιούμενος γράφειν ὑμῖν περὶ τῆς κοινῆς σωτηρίας, ἀνάγκην ἔσχον γράψαι ὑμῖν, παρακαλῶν ἐπαγωνίζεσθαι τῇ ἅπαξ παραδοθείσῃ τοῖς ἁγίοις πίστει. Παρεισέδυσαν γάρ τινες ἄνθρωποι, οἱ πάλαι προγεγραμμένοι εἰς τοῦτο τὸ κρῖμα· ἀσεβεῖς, τὴν τοῦ Θεοῦ ἡμῶν χάριν μετατιθέντες εἰς ἀσέλγειαν, καὶ τὸν μόνον Δεσπότην Θεόν, καὶ Κύριον ἡμῶν Ἰησοῦν Χριστὸν ἀρνούμενοι. Ὑπομνῆσαι δὲ ὑμᾶς βούλομαι, εἰδότας ὑμᾶς ἅπαξ τοῦτο, ὅτι ὁ Κύριος λαὸν ἐκ γῆς Αἰγύπτου σώσας, τὸ δεύτερον τοὺς μὴ πιστεύσαντας ἀπώλεσεν. Ἀγγέλους τε τοὺς μὴ τηρήσαντας τὴν ἑαυτῶν ἀρχήν, ἀλλὰ ἀπολιπόντας τὸ ἴδιον οἰκητήριον, εἰς κρίσιν μεγάλης ἡμέρας δεσμοῖς ἀϊδίοις ὑπὸ ζόφον τετήρηκεν. Ὡς Σόδομα καὶ Γόμορρα, καὶ αἱ περὶ αὐτὰς πόλεις, τὸν ὅμοιον τούτοις τρόπον ἐκπορνεύσασαι, καὶ ἀπελθοῦσαι ὀπίσω σαρκὸς ἑτέρας, πρόκεινται δεῖγμα, πυρὸς αἰωνίου δίκην ὑπέχουσαι. Ὁμοίως μέντοι καὶ οὗτοι ἐνυπνιαζόμενοι σάρκα μὲν μιαίνουσι, κυριότητα δὲ ἀθετοῦσι, δόξας δὲ βλασφημοῦσιν.

Εὐαγγέλιον.

Ἰωάν. ΙΕ΄ 17. ΤΑῦτα ἐντέλλομαι ὑμῖν, ἵνα ἀγαπᾶτε ἀλλήλους. Εἰ ὁ κόσμος ὑμᾶς μισεῖ, γινώσκετε ὅτι ἐμὲ πρῶτον ὑμῶν μεμίσηκεν. Εἰ ἐκ τοῦ κόσμου ἦτε, ὁ κόσμος ἂν τὸ ἴδιον ἐφίλει· ὅτι δὲ ἐκ τοῦ κόσμου οὐκ ἐστέ, ἀλλ᾽ ἐγὼ ἐξελεξάμην

ὑμᾶς ἐκ τοῦ κόσμου, διὰ τοῦτο μισεῖ ὑμᾶς ὁ κόσμος. Μνημονεύετε τοῦ λόγου οὗ ἐγὼ εἶπον ὑμῖν, Οὐκ ἔστι δοῦλος μείζων τοῦ Κυρίου αὐτοῦ· εἰ ἐμὲ ἐδίωξαν, καὶ ὑμᾶς διώξουσιν· εἰ τὸν λόγον μου ἐτήρησαν, καὶ τὸν ὑμέτερον τηρήσουσιν. Ἀλλὰ ταῦτα πάντα ποιήσουσιν ὑμῖν διὰ τὸ Ὄνομά μου, ὅτι οὐκ οἴδασι τὸν πέμψαντά με. Εἰ μὴ ἦλθον καὶ ἐλάλησα αὐτοῖς, ἁμαρτίαν οὐκ εἶχον· νῦν δὲ πρόφασιν οὐκ ἔχουσι περὶ τῆς ἁμαρτίας αὐτῶν. Ὁ ἐμὲ μισῶν, καὶ τὸν Πατέρα μου μισεῖ. Εἰ τὰ ἔργα μὴ ἐποίησα ἐν αὐτοῖς ἃ οὐδεὶς ἄλλος πεποίηκεν, ἁμαρτίαν οὐκ εἶχον· νῦν δὲ καὶ ἑωράκασι, καὶ μεμισήκασι καὶ ἐμὲ καὶ τὸν Πατέρα μου. Ἀλλ' ἵνα πληρωθῇ ὁ λόγος ὁ γεγραμμένος ἐν τῷ νόμῳ αὐτῶν, ὅτι Ἐμίσησάν με δωρεάν. Ὅταν δὲ ἔλθῃ ὁ Παράκλητος, ὃν ἐγὼ πέμψω ὑμῖν παρὰ τοῦ Πατρός, τὸ Πνεῦμα τῆς ἀληθείας, ὃ παρὰ τοῦ Πατρὸς ἐκπορεύεται, ἐκεῖνος μαρτυρήσει περὶ ἐμοῦ. Καὶ ὑμεῖς δὲ μαρτυρεῖτε, ὅτι ἀπ' ἀρχῆς μετ' ἐμοῦ ἐστε.

ΤΩΝ ΑΓΙΩΝ ΠΑΝΤΩΝ.

Εὐχή.

Ὁ Θεὸς ὁ Παντοκράτωρ, ὁ τοὺς ἐκλεκτούς σου εἰς μίαν συμβιβάσας κοινωνίαν ἐν τῷ μυστικῷ σώματι τοῦ Υἱοῦ σου Χριστοῦ τοῦ Κυρίου ἡμῶν· Αὐτὸς χάρισαι ἡμῖν οὕτω μιμεῖσθαι τοὺς μακαρίους σου Ἁγίους ἐν πάσῃ ἀρετῇ καὶ εὐσεβείᾳ τοῦ βίου, ὥστε τῶν ἀνεκλαλήτων ἐφικέσθαι χαρμάτων, ὅσα ἡτοίμασας τοῖς ἀνυποκρίτως Σὲ ἀγαπῶσι, διὰ Ἰησοῦ Χριστοῦ τοῦ Κυρίου ἡμῶν. Ἀμήν.

Ἀντὶ τοῦ Ἀποστόλου.

ΚΑὶ εἶδον ἄλλον ἄγγελον ἀναβάντα ἀπὸ ἀνατολῆς ἡλίου, Ἀποκ. Ζ' 2.
ἔχοντα σφραγῖδα Θεοῦ ζῶντος· καὶ ἔκραξε φωνῇ μεγάλῃ τοῖς τέσσαρσιν ἀγγέλοις, οἷς ἐδόθη αὐτοῖς ἀδικῆσαι τὴν γῆν καὶ τὴν θάλασσαν, λέγων, Μὴ ἀδικήσητε τὴν γῆν, μήτε τὴν

θάλασσαν, μήτε τὰ δένδρα, ἄχρις οὗ σφραγίσωμεν τοὺς δούλους τοῦ Θεοῦ ἡμῶν ἐπὶ τῶν μετώπων αὐτῶν. Καὶ ἤκουσα τὸν ἀριθμὸν τῶν ἐσφραγισμένων· ἑκατὸν τεσσαράκοντα τέσσαρες χιλιάδες ἐσφραγισμένοι, ἐκ πάσης φυλῆς υἱῶν Ἰσραήλ.

Ἐκ φυλῆς Ἰούδα δώδεκα χιλιάδες ἐσφραγισμένοι.
Ἐκ φυλῆς Ῥουβὴν δώδεκα χιλιάδες ἐσφραγισμένοι.
Ἐκ φυλῆς Γὰδ δώδεκα χιλιάδες ἐσφραγισμένοι.
Ἐκ φυλῆς Ἀσὴρ δώδεκα χιλιάδες ἐσφραγισμένοι.
Ἐκ φυλῆς Νεφθαλεὶμ δώδεκα χιλιάδες ἐσφραγισμένοι.
Ἐκ φυλῆς Μανασσῆ δώδεκα χιλιάδες ἐσφραγισμένοι.
Ἐκ φυλῆς Συμεὼν δώδεκα χιλιάδες ἐσφραγισμένοι.
Ἐκ φυλῆς Λευῒ δώδεκα χιλιάδες ἐσφραγισμένοι.
Ἐκ φυλῆς Ἰσαχὰρ δώδεκα χιλιάδες ἐσφραγισμένοι.
Ἐκ φυλῆς Ζαβουλὼν δώδεκα χιλιάδες ἐσφραγισμένοι.
Ἐκ φυλῆς Ἰωσὴφ δώδεκα χιλιάδες ἐσφραγισμένοι.
Ἐκ φυλῆς Βενιαμὶν δώδεκα χιλιάδες ἐσφραγισμένοι.

Μετὰ ταῦτα εἶδον, καὶ ἰδού, ὄχλος πολὺς ὃν ἀριθμῆσαι αὐτὸν οὐδεὶς ἠδύνατο, ἐκ παντὸς ἔθνους, καὶ φυλῶν, καὶ λαῶν, καὶ γλωσσῶν, ἑστῶτες ἐνώπιον τοῦ θρόνου, καὶ ἐνώπιον τοῦ Ἀρνίου, περιβεβλημένοι στολὰς λευκάς, καὶ φοίνικες ἐν ταῖς χερσὶν αὐτῶν· Καὶ κράζοντες φωνῇ μεγάλῃ, λέγοντες, Ἡ σωτηρία τῷ Θεῷ ἡμῶν, τῷ καθημένῳ ἐπὶ τοῦ θρόνου, καὶ τῷ Ἀρνίῳ. Καὶ πάντες οἱ ἄγγελοι ἑστήκεσαν κύκλῳ τοῦ θρόνου, καὶ τῶν πρεσβυτέρων, καὶ τῶν τεσσάρων ζώων, καὶ ἔπεσον ἐνώπιον τοῦ θρόνου ἐπὶ πρόσωπον αὐτῶν, καὶ προσεκύνησαν τῷ Θεῷ, λέγοντες, Ἀμήν· Ἡ εὐλογία, καὶ ἡ δόξα, καὶ ἡ σοφία, καὶ ἡ εὐχαριστία, καὶ ἡ τιμή, καὶ ἡ δύναμις, καὶ ἡ ἰσχὺς τῷ Θεῷ ἡμῶν εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

Εὐαγγέλιον.

Ματθ. Ε΄ 1. Ὁ Ἰησοῦς, ἰδὼν τοὺς ὄχλους, ἀνέβη εἰς τὸ ὄρος· καὶ καθίσαντος αὐτοῦ, προσῆλθον αὐτῷ οἱ μαθηταὶ αὐτοῦ. Καὶ

ἀνοίξας τὸ στόμα αὐτοῦ, ἐδίδασκεν αὐτούς, λέγων, Μακάριοι οἱ πτωχοὶ τῷ πνεύματι· ὅτι αὐτῶν ἐστιν ἡ βασιλεία τῶν οὐρανῶν. Μακάριοι οἱ πενθοῦντες· ὅτι αὐτοὶ παρακληθήσονται. Μακάριοι οἱ πρᾳεῖς· ὅτι αὐτοὶ κληρονομήσουσι τὴν γῆν. Μακάριοι οἱ πεινῶντες καὶ διψῶντες τὴν δικαιοσύνην· ὅτι αὐτοὶ χορτασθήσονται. Μακάριοι οἱ ἐλεήμονες· ὅτι αὐτοὶ ἐλεηθήσονται. Μακάριοι οἱ καθαροὶ τῇ καρδίᾳ· ὅτι αὐτοὶ τὸν Θεὸν ὄψονται. Μακάριοι οἱ εἰρηνοποιοί· ὅτι αὐτοὶ υἱοὶ Θεοῦ κληθήσονται. Μακάριοι οἱ δεδιωγμένοι ἕνεκεν δικαιοσύνης· ὅτι αὐτῶν ἐστιν ἡ βασιλεία τῶν οὐρανῶν. Μακάριοί ἐστε ὅταν ὀνειδίσωσιν ὑμᾶς, καὶ διώξωσι, καὶ εἴπωσι πᾶν πονηρὸν ῥῆμα καθ' ὑμῶν ψευδόμενοι, ἕνεκεν ἐμοῦ. Χαίρετε καὶ ἀγαλλιᾶσθε· ὅτι ὁ μισθὸς ὑμῶν πολὺς ἐν τοῖς οὐρανοῖς· οὕτω γὰρ ἐδίωξαν τοὺς προφήτας τοὺς πρὸ ὑμῶν.

ΤΑΞΙΣ

ΓΙΝΟΜΕΝΗ

ΕΠΙ ΤΕΛΕΣΕΙ ΚΥΡΙΑΚΟΥ ΔΕΙΠΝΟΥ,

ΗΤΟΙ ΘΕΙΑ ΚΟΙΝΩΝΙΑ

¶ ὍΣοι προτίθενται μεταλαβεῖν τῆς θείας Κοινωνίας δέον δηλῶσαι τὰ ὀνόματα αὐτῶν τῷ Ἐφημερίῳ τοὐλάχιστον τὴν προτεραίαν ἡμέραν.

¶ Ἐὰν δέ τις ἐξ αὐτῶν ᾖ κοινῶς πασίγνωστος ἐπὶ μεμπτῷ βίῳ, ἤ τινα τῶν πλησίον ἠδίκησεν λόγῳ ἢ ἔργῳ, ὥστε ἐντεῦθεν σκανδαλισθῆναι τὸ Ἐκκλησίασμα· ὁ Ἐφημέριος ἅμα τῇ γνώσει τούτου ὀφείλει προσκαλέσαι καὶ νουθετῆσαι αὐτόν, ἵνα μηδαμῶς προσέλθῃ τῇ Κυριακῇ Τραπέζῃ, ἄχρις ἂν δημοσίᾳ ὁμολογήσῃ ὅτι ἀληθινῶς μετενόησεν καὶ ὅτι ἐπηνόρθωσε τὴν προτέραν αὐτοῦ πονηρὰν πολιτείαν, ἵνα ἐντεῦθεν ἱκανοποιηθῇ τὸ πρώην σκανδαλισθὲν Ἐκκλησίασμα· καὶ ἕως ὅτου ἱκανοποιήσῃ τοὺς ὑπ' αὐτοῦ ἀδικηθέντας, ἢ ὁμολογήσῃ ὅτι τελείως ἐστὶ τῆς γνώμης ἵνα οὕτω ποιήσῃ, εὐκαιρίας δοθείσης.

¶ Τὸ αὐτὸ ποιήσει ὁ Ἐφημέριος καὶ περὶ ἐκείνων ἐν οἷς γινώσκει ὅτι ἐπικρατεῖ κακία καὶ ἔχθρα· μὴ ἐπιτρέπων αὐτοῖς μεταλαβεῖν τῆς Τραπέζης τοῦ Κυρίου, μέχρις οὗ γνῷ αὐτοὺς διαλλαχθῆναι. Καὶ ἐὰν εἷς μὲν τῶν οὕτω διϊσταμένων βούληται ἐξ ὅλης τῆς καρδίας συγχωρῆσαι πᾶν ὅτι ὁ ἕτερος κατ' αὐτοῦ ἐπλημμέλησεν, καὶ παρασχεῖν ἱκανοποίησιν δι' ὅσα αὐτὸς ἔπταισεν· ὁ δὲ ἕτερος μὴ θέλῃ πεισθῆναι εἰς θεάρεστον ἑνότητα, ἀλλ' ἐμμένῃ ἔτι ἐν τῇ ἑαυτοῦ δυστροπίᾳ καὶ ἐχθρότητι· ἐν τοιαύτῃ περιπτώσει ὁ Ἐφημέριος τὸν μὲν μετανοοῦντα ὀφείλει δέξασθαι εἰς τὴν θείαν Κοινωνίαν, ἀλλ' οὐχὶ καὶ τὸν πείσμονα. Τεθέντος ὅτι ὁ Ἐφημέριος ὁ οὕτως ἀπελαύνων τινά, ὡς ὁρίζεται ἐν ταύτῃ ἢ ἐν τῇ προηγουμένῃ Παραγράφῳ τῆς παρούσης Διατάξεως, ὑποχρεοῦται δοῦναι περὶ αὐτοῦ λόγον τῷ Ὀρδιναρίῳ ἐντὸς δέκα καὶ τεσσάρων ἡμερῶν τοὐλάχιστον. Καὶ ὁ Ὀρδινάριος ὀφείλει κατὰ τὸν Κανόνα καταδιῶξαι τὸν ἐγκληματίαν.

¶ Ἡ Τράπεζα κατὰ τὸν καιρὸν τῆς Κοινωνίας κεκαλυμμένη μετὰ καθαροῦ λευκοῦ λινοῦ ὑφάσματος, κεῖται ἐν τῷ κυρίως Ναῷ τῆς Ἐκκλησίας ἢ ἐν τῷ Ἱερῷ, ἔνθα διατεταγμένον ἐστὶ τὴν Πρωινὴν καὶ τὴν Ἑσπερινὴν Ἀκολουθίαν ἀναγινώκεσθαι. Ὁ δὲ Ἱερεὺς ἱστάμενος παρὰ τῇ βορείᾳ πλευρᾷ τῆς Τραπέζης λέγει τὴν Κυριακὴν Προσευχήν, ὡς καὶ τὴν ἑπομένην Εὐχήν, τοῦ λαοῦ γονυπετοῦντος.

ΠΑτερ ἡμῶν ὁ ἐν τοῖς οὐρανοῖς, Ἁγιασθήτω τὸ Ὄνομά σου. Ἐλθέτω ἡ βασιλεία σου. Γενηθήτω τὸ θελημά σου, Ὡς ἐν οὐρανῷ, καὶ ἐπὶ τῆς γῆς. Τὸν ἄρτον ἡμῶν τὸν

ἐπιούσιον δὸς ἡμῖν σήμερον. Καὶ ἄφες ἡμῖν τὰ ὀφειλήματα ἡμῶν, Ὡς καὶ ἡμεῖς ἀφίεμεν τοῖς ὀφειλέταις ἡμῶν. Καὶ μὴ εἰσενέγκῃς ἡμᾶς εἰς πειρασμόν, Ἀλλὰ ῥῦσαι ἡμᾶς ἀπὸ τοῦ πονηροῦ. Ἀμήν.

Εὐχή.

Ὁ Θεὸς ὁ Παντοκράτωρ, ᾧ πᾶσα καρδία ἀποκαλύπτεται, πᾶσα θέλησις προσλαλεῖ, καὶ οὐδὲν κρυπτὸν λανθάνει· Καθάρισον διὰ τῆς ἐπιπνοίας τοῦ ἁγίου σου Πνεύματος τὰ ἐνθυμήματα τῶν καρδιῶν ἡμῶν, ἵνα τελείως ἀγαπῶμέν σε, καὶ ἀξίως μεγαλύνωμεν τὸ ἅγιον σου Ὄνομα, διὰ Χριστοῦ τοῦ Κυρίου ἡμῶν. Ἀμήν.

¶ Εἶτα ὁ Ἱερεύς, ἐστραμμένος πρὸς τὸν λαόν, ἀπαγγέλλει εὐκρινῶς ὅλον τὸν ΔΕΚΑΛΟΓΟΝ· καὶ ὁ λαὸς ἔτι γόνυ κλίνων ἐπικαλεῖται εἰς τὸ τέλος ἑκάστης Ἐντολῆς τὸ ἔλεος μὲν τοῦ Θεοῦ διὰ τὰς τοῦ παρελθόντος παραβάσεις αὐτῶν, τὴν χάριν δ' Αὐτοῦ πρὸς τήρησιν τῶν Ἐντολῶν ἐν τῷ μέλλοντι, ὡς ἑξῆς.

Ὁ Λειτουργός.

Ἐλάλησεν ὁ Θεὸς τοὺς λόγους τούτους, λέγων, Ἐγώ εἰμι Κύριος ὁ Θεός σου· Οὐκ ἔσονταί σοι Θεοὶ ἕτεροι πλὴν ἐμοῦ.

Ὁ Λαός.

Κύριε ἐλέησον, καὶ κλῖνον τὰς καρδίας ἡμῶν εἰς τὸ τηρῆσαι τὴν ἐντολὴν ταύτην.

Ὁ Λειτουργός.

Οὐ ποιήσεις σεαυτῷ εἴδωλον, οὐδὲ παντὸς ὁμοίωμα ὅσα ἐν τῷ οὐρανῷ ἄνω, καὶ ὅσα ἐν τῇ γῇ κάτω, καὶ ὅσα ἐν τοῖς ὕδασιν ὑποκάτω τῆς γῆς. Οὐ προσκυνήσεις αὐτοῖς, οὐδὲ μὴ λατρεύσεις αὐτοῖς· ἐγὼ γάρ εἰμι Κύριος ὁ Θεός σου, Θεὸς ζηλωτὴς ἀποδιδοὺς ἁμαρτίας πατέρων ἐπὶ τέκνα ἕως τρίτης καὶ τετάρτης γενεᾶς τοῖς μισοῦσί με, καὶ ποιῶν ἔλεος εἰς χιλιάδας τοῖς ἀγαπῶσί με, καὶ τοῖς φυλάσσουσι τὰ προστάγματά μου.

Ὁ Λαός.

Κύριε ἐλέησον, καὶ κλῖνον τὰς καρδίας ἡμῶν εἰς τὸ τηρῆσαι τὴν ἐντολὴν ταύτην.

Ὁ Λειτουργός.

Οὐ λήψῃ τὸ Ὄνομα Κυρίου τοῦ Θεοῦ σου ἐπὶ ματαίῳ· οὐ γὰρ μὴ καθαρίσῃ Κύριος ὁ Θεός σου τὸν λαμβάνοντα τὸ Ὄνομα αὐτοῦ ἐπὶ ματαίῳ.

Ὁ Λαός.

Κύριε ἐλέησον, καὶ κλῖνον τὰς καρδίας ἡμῶν εἰς τὸ τηρῆσαι τὴν ἐντολὴν ταύτην.

Ὁ Λειτουργός.

Μνήσθητι τὴν ἡμέραν τῶν Σαββάτων ἁγιάζειν αὐτήν. Ἓξ ἡμέρας ἐργᾷ, καὶ ποιήσεις πάντα τὰ ἔργα σου· τῇ δὲ ἡμέρᾳ τῇ ἑβδόμῃ Σάββατα Κυρίῳ τῷ Θεῷ σου. Οὐ ποιήσεις ἐν αὐτῇ πᾶν ἔργον, σύ, καὶ ὁ υἱός σου, καὶ ἡ θυγατήρ σου, ὁ παῖς σου καὶ ἡ παιδίσκη σου, πᾶν κτῆνός σου, καὶ ὁ προσήλυτος ὁ παροικῶν ἐν σοί. Ἐν γὰρ ἓξ ἡμέραις ἐποίησε Κύριος τὸν οὐρανὸν καὶ τὴν γῆν καὶ τὴν θάλασσαν, καὶ πάντα τὰ ἐν αὐτοῖς, καὶ κατέπαυσε τῇ ἡμέρᾳ τῇ ἑβδόμῃ· διὰ τοῦτο εὐλόγησε Κύριος τὴν ἡμέραν τὴν ἑβδόμην, καὶ ἡγίασεν αὐτήν.

Ὁ Λαός.

Κύριε ἐλέησον, καὶ κλῖνον τὰς καρδίας ἡμῶν εἰς τὸ τηρῆσαι τὴν ἐντολὴν ταύτην.

Ὁ Λειτουργός.

Τίμα τὸν πατέρα σου καὶ τὴν μητέρα σου, ἵνα μακροχρόνιος γένῃ ἐπὶ τῆς γῆς ἧς Κύριος ὁ Θεός σου δίδωσί σοι.

Ὁ Λαός.

Κύριε ἐλέησον, καὶ κλῖνον τὰς καρδίας ἡμῶν εἰς τὸ τηρῆσαι τὴν ἐντολὴν ταύτην.

Ὁ Λειτουργός.

Οὐ φονεύσεις.

Ὁ Λαός.

Κύριε ἐλέησον, καὶ κλῖνον τὰς καρδίας ἡμῶν εἰς τὸ τηρῆσαι τὴν ἐντολὴν ταύτην.

Ὁ Λειτουργός.

Οὐ μοιχεύσεις.

Ὁ Λαός.

Κύριε ἐλέησον, καὶ κλῖνον τὰς καρδίας ἡμῶν εἰς τὸ τηρῆσαι τὴν ἐντολὴν ταύτην.

Ὁ Λειτουργός.

Οὐ κλέψεις.

Ὁ Λαός.

Κύριε ἐλέησον, καὶ κλῖνον τὰς καρδίας ἡμῶν εἰς τὸ τηρῆσαι τὴν ἐντολὴν ταύτην.

Ὁ Λειτουργός.

Οὐ ψευδομαρτυρήσεις κατὰ τοῦ πλησίον σου μαρτυρίαν ψευδῆ.

Ὁ Λαός.

Κύριε ἐλέησον, καὶ κλῖνον τὰς καρδίας ἡμῶν εἰς τὸ τηρῆσαι τὴν ἐντολὴν ταύτην.

Ὁ Λειτουργός.

Οὐκ ἐπιθυμήσεις τὴν οἰκίαν τοῦ πλησίον σου, οὐκ ἐπιθυμήσεις τὴν γυναῖκα τοῦ πλησίον σου, οὔτε τὸν παῖδα αὐτοῦ, οὔτε τὴν παιδίσκην αὐτοῦ, οὔτε τοῦ βοὸς αὐτοῦ, οὔτε τοῦ ὑποζυγίου αὐτοῦ, οὔτε ὅσα τῷ πλησίον σού ἐστι.

Ὁ Λαός.

Κύριε ἐλέησον, καὶ ἔγγραψον ταῖς καρδίαις ἡμῶν πάσας τὰς ἐντολὰς ταύτας, δεόμεθά σου.

¶ *Εἶτα ἐπισυνάπτεται μία ἐκ τῶν δύο τούτων Εὐχῶν ὑπὲρ τοῦ Βασιλέως, τοῦ Ἱερέως ἱσταμένου ὡς πρότερον, καὶ λέγοντος,*

Δεηθῶμεν.

ΘΕὲ *παντοκράτορ, οὗ ἡ βασιλεία αἰώνιος, καὶ τὸ κράτος ἄπειρον· Ἐλέησον τὴν ὅλην Ἐκκλησίαν, καὶ οὕτω διεύθυνον τὴν καρδίαν τοῦ ἐκλεκτοῦ σου Δούλου* ΓΕΩΡΓΙΟΥ, *τοῦ Βασιλέως καὶ Κυβερνήτου ἡμῶν, ὥστε αὐτὸν (συνειδότα τίνος ἐστὶ διάκονος) πρὸ πάντων τὴν σὴν ζητῆσαι τιμὴν καὶ δόξαν· καὶ ἡμᾶς καὶ πάντας τοὺς ὑποτεταγμένους αὐτῷ (ἐνθυμουμένους πρεπόντως τίνος ἐξουσίαν ἔχει αὐτός) πιστῶς αὐτῷ δουλεύειν, τιμᾷν αὐτόν, καὶ ταπεινῶς πειθαρχεῖν αὐτῷ, ἐν Σοί, καὶ διὰ Σέ, κατὰ τὸν εὐλογητόν σου λόγον καὶ τὴν διάταξιν, διὰ Ἰησοῦ Χριστοῦ τοῦ Κυρίου ἡμῶν, τοῦ σὺν Σοὶ καὶ τῷ ἁγίῳ Πνεύματι συζῶντος καὶ συμβασιλεύοντος ἑνὸς ἀεὶ Θεοῦ, εἰς τοὺς αἰῶνας τῶν αἰώνων.* Ἀμήν.

¶ Ἤ.

ὉΘεὸς ὁ παντοκράτωρ καὶ αἰώνιος, δεδιδαγμένοι ἐσμὲν διὰ τοῦ ἁγίου σου λόγου, ὅτι τῶν βασιλέων αἱ καρδίαι ἐν τῇ σῇ διευθύνσει καὶ κυβερνήσει εἰσί, καὶ ὅτι Σὺ αὐτὰς διοικεῖς καὶ κλίνεις καθὼς θέλει ἡ θεία σου σοφία· Ταπεινῶς δεόμεθά σου ἵνα οὕτω διοικήσῃς καὶ κυβερνήσῃς τὴν καρδίαν τοῦ Δούλου σου ΓΕΩΡΓΙΟΥ, ἡμῶν δὲ Βασιλέως καὶ Κυβερνήτου, ὥστε ἐν παντὶ αὐτοῦ λογισμῷ, λόγῳ τε καὶ ἔργῳ διαπαντὸς ζητεῖν τὴν σὴν τιμὴν καὶ δόξαν, καὶ σπουδάζειν τὸν αὐτῷ ἐμπεπιστευμένον λαόν σου ἐν εὐημερίᾳ, εἰρήνῃ τε καὶ εὐσεβείᾳ διαφυλάττειν. Τοῦτο παράσχου, Πάτερ οἰκτίρμον, διὰ τὸν ἀγαπητόν σου Υἱόν, Κύριον δὲ ἡμῶν Ἰησοῦν Χριστόν. Ἀμήν.

¶ *Εἶτα λέγεται ἡ Εὐχὴ τῆς Ἡμέρας. Καὶ εὐθὺς μετὰ τὴν Εὐχὴν ἀναγινώσκει ὁ Ἱερεὺς τὸν Ἀπόστολον, λέγων,* Ὁ Ἀπόστολος [*ἤ*, Τὸ μέρος τῆς ἱερᾶς Γραφῆς τὸ ἀντὶ τοῦ Ἀποστόλου διαταχθέν] *γέγραπται ἐν* τῷ —— Κεφαλαίῳ τῆς —— ἀρχομένη [ἢ ἀρχόμενον] ἀπὸ τοῦ —— στίχου. *Καὶ μετὰ τὸ τέλος τοῦ Ἀποστόλου, λέγει,* Ἐνταῦθα τελευτᾷ ὁ Ἀπόστολος. *Εἶτα ἀναγινώσκει τὸ Εὐαγγέλιον (παντὸς τοῦ λαοῦ*

ἀνισταμένου) λέγων, Τὸ ἅγιον Εὐαγγέλιον γέγραπται ἐν τῷ —— Κεφαλαίῳ τοῦ —— ἀρχόμενον ἀπὸ τοῦ —— στίχου. Καὶ μετὰ τὸ τέλος τοῦ Εὐαγγελίου, ψάλλεται ἢ ἀναγινώσκεται τὸ ἐφεξῆς Σύμβολον, ἔτι ἀνισταμένου τοῦ λαοῦ, ὡς πρότερον.

ΠΙστεύω εἰς ἕνα Θεὸν Πατέρα Παντοκράτορα, Ποιητὴν οὐρανοῦ καὶ γῆς, Ὁρατῶν τε πάντων καὶ ἀοράτων.

Καὶ εἰς ἕνα Κύριον Ἰησοῦν Χριστόν, τὸν Υἱὸν τοῦ Θεοῦ τὸν μονογενῆ, Τὸν ἐκ τοῦ Πατρὸς γεννηθέντα πρὸ πάντων τῶν αἰώνων, Θεὸν ἐκ Θεοῦ, Φῶς ἐκ Φωτός, Θεὸν ἀληθινὸν ἐκ Θεοῦ ἀληθινοῦ, Γεννηθέντα, οὐ ποιηθέντα, Ὁμοούσιον τῷ Πατρί, Δι' οὗ τὰ πάντα ἐγένετο· Τὸν δι' ἡμᾶς, καὶ διὰ τὴν ἡμετέραν σωτηρίαν, κατελθόντα ἐκ τῶν οὐρανῶν, Καὶ σαρκωθέντα ἐκ Πνεύματος ἁγίου καὶ Μαρίας τῆς Παρθένου, Καὶ ἐνανθρωπήσαντα, Σταυρωθέντα τε ὑπὲρ ἡμῶν ἐπὶ Ποντίου Πιλάτου, Καὶ παθόντα καὶ ταφέντα, Καὶ ἀναστάντα τῇ τρίτῃ ἡμέρᾳ κατὰ τὰς Γραφάς, Καὶ ἀνελθόντα εἰς τοὺς οὐρανούς, Καὶ καθεζόμενον ἐκ δεξιῶν τοῦ Πατρός· Καὶ πάλιν ἐρχόμενον μετὰ δόξης κρῖναι ζῶντας καὶ νεκρούς· Οὗ τῆς βασιλείας οὐκ ἔσται τέλος.

Καὶ εἰς τὸ Πνεῦμα τὸ ἅγιον, Τὸ Κύριον, τὸ ζωοποιόν, Τὸ ἐκ τοῦ Πατρὸς καὶ τοῦ Υἱοῦ ἐκπορευόμενον, Τὸ σὺν Πατρὶ καὶ Υἱῷ συμπροσκυνούμενον καὶ συνδοξαζόμενον, Τὸ λαλῆσαν διὰ τῶν Προφητῶν. Εἰς μίαν Καθολικὴν καὶ Ἀποστολικὴν Ἐκκλησίαν. Ὁμολογῶ ἓν Βάπτισμα εἰς ἄφεσιν ἁμαρτιῶν. Προσδοκῶ Ἀνάστασιν νεκρῶν, Καὶ ζωὴν τοῦ μέλλοντος αἰῶνος. Ἀμήν.

¶ *Εἶτα ὁ Ἐφημέριος δηλοποιεῖ τῷ λαῷ τὰς τηρητέας Ἑορτὰς καὶ τὰς Νηστησίμους ἡμέρας τῆς ἐπιούσης ἑβδομάδος. Ὡς ἐπίσης (χρείας τυχούσης) προαναγγέλλεται ὁ χρόνος τῆς Κοινωνίας· Γάμοι προκηρύσσονται· καὶ Ἐπιστολαὶ καὶ Κλήσεις καὶ Ἀφορισμοὶ ἀναγινώσκονται. Οὐδὲν δὲ ὑπ' οὐδενὸς προκηρύσσεται ἢ δημοσιεύεται ἐν τῇ Ἐκκλησίᾳ, διαρκούσης τῆς Θείας Ἀκολουθίας, εἰ μὴ μόνον ὑπὸ τοῦ Λειτουργοῦ· Οὐδὲν δὲ καὶ ὑπ' αὐτοῦ ἐκτὸς τῶν ἐν ταῖς Διατάξεσι τοῦ παρόντος Βιβλίου προδιαγραφομένων, ἢ διατασσομένων ὑπὸ τοῦ Βασιλέως, ἢ ὑπὸ τοῦ κατὰ τόπους Ὀρδιναρίου.*

¶ Εἶτα ἀκολουθεῖ τὸ Κήρυγμα, ἢ μία τῶν Ὁμιλιῶν τῶν ἤδη ἐκδοθεισῶν, ἢ μετὰ τοῦτο ἐκδοθησομένων, ἐπισήμως.

¶ Εἶτα ἐπιστρέφει ὁ Ἱερεὺς εἰς τὴν ἁγίαν Τράπεζαν καὶ ἄρχεται τῆς Προσκομιδῆς, λέγων ἓν ἢ πλείω τῶν ἑπομένων Στίχων, ὡς αὐτῷ μᾶλλον πρόσφορον δοκεῖ.

Ματθ. Ε′ 16. ΟΥτω λαμψάτω τὸ φῶς ὑμῶν ἔμπροσθεν τῶν ἀνθρώπων, ὅπως ἴδωσιν ὑμῶν τὰ καλὰ ἔργα, καὶ δοξάσωσι τὸν Πατέρα ὑμῶν τὸν ἐν τοῖς οὐρανοῖς.

Ματθ. Ϛ′ 19, 20. Μὴ θησαυρίζετε ὑμῖν θησαυροὺς ἐπὶ τῆς γῆς, ὅπου σὴς καὶ βρῶσις ἀφανίζει, καὶ ὅπου κλέπται διορύσσουσι καὶ κλέπτουσι· θησαυρίζετε δὲ ὑμῖν θησαυροὺς ἐν οὐρανῷ, ὅπου οὔτε σὴς οὔτε βρῶσις ἀφανίζει, καὶ ὅπου κλέπται οὐ διορύσσουσιν οὐδὲ κλέπτουσι.

Ματθ. Ζ′ 12. Πάντα ὅσα ἂν θέλητε ἵνα ποιῶσιν ὑμῖν οἱ ἄνθρωποι, οὕτω καὶ ὑμεῖς ποιεῖτε αὐτοῖς· οὗτος γάρ ἐστιν ὁ νόμος καὶ οἱ προφῆται.

Ματθ. Ζ′ 21. Οὐ πᾶς ὁ λέγων μοι, Κύριε, Κύριε, εἰσελεύσεται εἰς τὴν βασιλείαν τῶν οὐρανῶν, ἀλλ᾽ ὁ ποιῶν τὸ θέλημα τοῦ Πατρός μου τοῦ ἐν οὐρανοῖς.

Λουκ. ΙΘ′ 8. Σταθεὶς Ζακχαῖος εἶπε πρὸς τὸν Κύριον, Ἰδού, τὰ ἡμίση τῶν ὑπαρχόντων μου, Κύριε, δίδωμι τοῖς πτωχοῖς, καὶ εἴ τινός τι ἐσυκοφάντησα, ἀποδίδωμι τετραπλοῦν.

Α′ Κορ. Θ′ 7. Τίς στρατεύεται ἰδίοις ὀψωνίοις ποτέ; Τίς φυτεύει ἀμπελῶνα, καὶ ἐκ τοῦ καρποῦ αὐτοῦ οὐκ ἐσθίει; Ἢ τίς ποιμαίνει ποίμνην, καὶ ἐκ τοῦ γάλακτος τῆς ποίμνης οὐκ ἐσθίει;

Α′ Κορ. Θ′ 11. Εἰ ἡμεῖς ὑμῖν τὰ πνευματικὰ ἐσπείραμεν, μέγα εἰ ἡμεῖς ὑμῶν τὰ σαρκικὰ θερίσομεν;

Α′ Κορ. Θ′ 13, 14. Οὐκ οἴδατε ὅτι οἱ τὰ ἱερὰ ἐργαζόμενοι τὰ ἐκ τοῦ ἱεροῦ ἐσθίουσιν; οἱ τῷ θυσιαστηρίῳ παρεδρεύοντες τῷ θυσιαστηρίῳ συμμερίζονται; Οὕτω καὶ ὁ Κύριος διέταξε τοῖς τὸ Εὐαγγέλιον καταγγέλλουσιν ἐκ τοῦ Εὐαγγελίου ζῆν.

Β′ Κορ. Θ′ 6, 7. Ὁ σπείρων φειδομένως, φειδομένως καὶ θερίσει· καὶ ὁ σπείρων ἐπ᾽ εὐλογίαις, ἐπ᾽ εὐλογίαις καὶ θερίσει. Ἕκαστος

καθὼς προαιρεῖται τῇ καρδίᾳ, μὴ ἐκ λύπης, ἢ ἐξ ἀνάγκης· ἱλαρὸν γὰρ δότην ἀγαπᾷ ὁ Θεός.

Κοινωνείτω ὁ κατηχούμενος τὸν λόγον τῷ κατηχοῦντι ἐν πᾶσιν ἀγαθοῖς. Μὴ πλανᾶσθε, Θεὸς οὐ μυκτηρίζεται· ὃ γὰρ ἐὰν σπείρῃ ἄνθρωπος, τοῦτο καὶ θερίσει. Γαλ. Ϛʹ 6, 7.

Ὡς καιρὸν ἔχομεν, ἐργαζώμεθα τὸ ἀγαθὸν πρὸς πάντας, μάλιστα δὲ πρὸς τοὺς οἰκείους τῆς πίστεως. Γαλ. Ϛʹ 10.

Ἔστι πορισμὸς μέγας ἡ εὐσέβεια μετὰ αὐταρκείας· οὐδὲν γὰρ εἰσηνέγκαμεν εἰς τὸν κόσμον, δῆλον ὅτι οὐδὲ ἐξενεγκεῖν τι δυνάμεθα. Αʹ Τιμ. Ϛʹ 6, 7.

Τοῖς πλουσίοις ἐν τῷ νῦν αἰῶνι παράγγελλε εὐμεταδότους εἶναι, κοινωνικούς, ἀποθησαυρίζοντας ἑαυτοῖς θεμέλιον καλὸν εἰς τὸ μέλλον, ἵνα ἐπιλάβωνται τῆς αἰωνίου ζωῆς. Αʹ Τιμ. Ϛʹ 17, 18, 19.

Οὐ γὰρ ἄδικος ὁ Θεὸς ἐπιλαθέσθαι τοῦ ἔργου ὑμῶν καὶ τοῦ κόπου τῆς ἀγάπης· ἧς ἐνεδείξασθε εἰς τὸ Ὄνομα αὐτοῦ, διακονήσαντες τοῖς ἁγίοις, καὶ διακονοῦντες. Ἑβρ. Ϛʹ 10.

Τῆς εὐποιΐας καὶ κοινωνίας μὴ ἐπιλανθάνεσθε· τοιαύταις γὰρ θυσίαις εὐαρεστεῖται ὁ Θεός. Ἑβρ. ΙΓʹ 16.

Ὃς ἂν ἔχῃ τὸν βίον τοῦ κόσμου, καὶ θεωρῇ τὸν ἀδελφὸν αὐτοῦ χρείαν ἔχοντα, καὶ κλείσῃ τὰ σπλάγχνα αὐτοῦ ἀπ' αὐτοῦ, πῶς ἡ ἀγάπη τοῦ Θεοῦ μένει ἐν αὐτῷ; Αʹ Ἰωάν. Γʹ 17.

Ἐκ τῶν ὑπαρχόντων σου ποίει ἐλεημοσύνην, καὶ μὴ ἀποστρέψῃς τὸ πρόσωπόν σου ἀπὸ παντὸς πτωχοῦ, καὶ ἀπὸ σοῦ οὐ μὴ ἀποστραφῇ τὸ πρόσωπον τοῦ Θεοῦ. Τωβὶτ Δʹ 7.

Ὡς σοὶ ὑπάρχει κατὰ τὸ πλῆθος, ποίησον ἐξ αὐτῶν ἐλεημοσύνην. Ἐὰν ὀλίγον σοι ὑπάρχῃ, κατὰ τὸ ὀλίγον μὴ φοβοῦ ποιεῖν ἐλεημοσύνην· θέμα γὰρ ἀγαθὸν θησαυρίζεις σεαυτῷ εἰς ἡμέραν ἀνάγκης. Τωβὶτ Δʹ 8, 9.

Δανείζει Θεῷ ὁ ἐλεῶν πτωχόν· κατὰ δὲ τὸ δόμα αὐτοῦ ἀνταποδώσει αὐτῷ. Παροιμ. ΙΘʹ 17.

Μακάριος ὁ συνίων ἐπὶ πτωχὸν καὶ πένητα· ἐν ἡμέρᾳ πονηρᾷ ῥύσεται αὐτὸν ὁ Κύριος. Ψαλ. Μʹ 1.

¶ Τούτων τῶν Στίχων ἀναγινωσκομένων, οἱ Διάκονοι, ἢ οἱ Ἐπίτροποι τῆς Ἐκκλησίας, ἢ ἄλλα ἐπὶ τούτῳ διωρισμένα ἁρμόδια πρόσωπα, λαμβάνουσι τὰς ὑπὲρ τῶν πτωχῶν ἐλεημοσύνας, καὶ τὰς ἄλλας προσφορὰς τοῦ λαοῦ, ἐν εὐπρεπεῖ δίσκῳ ὑπὸ τῆς Ἐνορίας ἐπὶ τούτῳ προμηθευομένῳ· καὶ εὐλαβῶς κομίζουσι τοῦτον πρὸς τὸν Ἱερέα, ὅστις ταπεινῶς προσάγει καὶ τίθησιν αὐτὸν ἐπὶ τῆς ἁγίας Τραπέζης.

¶ Ὅταν δὲ γίνηται ἡ Κοινωνία, εἶτα ὁ Ἱερεὺς τίθησιν ἐπάνω τῆς Τραπέζης τόσον Ἄρτον καὶ Οἶνον, ὅσον οὗτος νομίζει ἱκανόν. Μεθ' ὃ ὁ Ἱερεὺς λέγει,

Δεηθῶμεν ὑπὲρ τῆς ὅλης καταστάσεως τῆς ἐνταῦθα ἐν τῇ γῇ στρατευομένης Ἐκκλησίας τοῦ Χριστοῦ.

Ἐὰν μὴ ὦσιν ἐλεημοσύναι ἢ προσφοραί, αἱ λέξεις [πρόσδεξαι τὰς ἐλεημοσύνας καὶ προσφορὰς ἡμῶν] παραλείπονται.

Ὁ Θεὸς ὁ παντοκράτωρ καὶ ἀεὶ ζῶν, ὁ διὰ τοῦ ἁγίου σου Ἀποστόλου διδάξας ἡμᾶς ποιεῖν δεήσεις καὶ προσευχὰς καὶ εὐχαριστίας ὑπὲρ πάντων ἀνθρώπων· Ταπεινῶς δεόμεθά σου, κατὰ τὸ πολύ σου ἔλεος [πρόσδεξαι τὰς ἐλεημοσύνας καὶ προσφορὰς ἡμῶν, καὶ] προσλαβοῦ ταύτας τὰς προσευχὰς ἡμῶν, ἃς προσφέρομεν τῇ θείᾳ σου Μεγαλωσύνῃ, παρακαλοῦντές σε διαπαντὸς ἐμπνεεῖν τῇ καθόλου Ἐκκλησίᾳ τὸ πνεῦμα τῆς ἀληθείας, καὶ ἑνότητος, καὶ ὁμονοίας· καὶ παράσχου ἵνα πάντες οἱ τὸ ἅγιόν σου Ὄνομα ὁμολογοῦντες συμφωνῶσιν ἐν τῇ ἀληθείᾳ τοῦ ἁγίου σου λόγου, καὶ συζῶσιν ἐν τῇ ἑνότητι καὶ τῇ εὐσεβεῖ ἀγάπῃ. Παρακαλοῦμέν σε ἵνα καὶ διασώσῃς καὶ ὑπερασπίσῃς πάντας τοὺς Φιλοχρίστους βασιλεῖς, καὶ ἄρχοντας, καὶ κυβερνήτας· καὶ ἐξαιρέτως τὸν Δοῦλόν σου ΓΕΩΡΓΙΟΝ τὸν Βασιλέα ἡμῶν, ἵνα ὑπ' αὐτὸν εὐσεβῶς καὶ ἡσυχίως κυβερνώμεθα· καὶ παράσχου τῷ ὅλῳ Συμβουλίῳ αὐτοῦ, καὶ πᾶσι τοῖς ὑπ' αὐτὸν ἐν ἐξουσίᾳ τεταγμένοις, ἵνα ἀδόλως καὶ ἀπροσωπολήπτως ἀπονέμωσι τὸ δίκαιον, εἰς τιμωρίαν τῆς ἀνομίας καὶ κακίας, καὶ εἰς διατήρησιν τῆς ἀληθινῆς σου θρησκείας καὶ τῆς ἀρετῆς. Δὸς χάριν, ἐπουράνιε Πάτερ, πᾶσιν Ἐπισκόποις, καὶ Ἐφημερίοις, ἵνα καὶ διὰ τῆς αὐτῶν ἀναστροφῆς καὶ τῆς διδαχῆς ἐξαγγέλλωσι τὸν ἀληθῆ καὶ ζῶντα λόγον σου, καὶ ὀρθῶς καὶ δεόντως ἐκτελῶσι τὰ ἱερά σου Μυστήρια· Καὶ τὴν οὐράνιόν σου χάριν δὸς παντὶ

τῷ λαῷ σου· καὶ ἐν πρώτοις τῷ περιεστῶτι ἐνταῦθα ἐκκλησιάσματι, ἵνα μετὰ ταπεινῆς καρδίας καὶ δεούσης εὐλαβείας ἀκούσωσι καὶ προσδέξωνται τὸν ἅγιόν σου λόγον, ἀληθινῶς λατρεύοντές σοι ἐν ὁσιότητι καὶ δικαιοσύνῃ πάσας τὰς ἡμέρας τῆς ζωῆς αὐτῶν. Καὶ μετὰ πάσης ταπεινοφροσύνης ἱκετεύομέν σε, Κύριε, κατὰ τὴν σὴν ἀγαθότητα παραμύθησαι καὶ βοήθησον πάντας τοὺς ἐν ταύτῃ τῇ προσκαίρῳ ζωῇ θλιβομένους, λυπουμένους, δεομένους, νοσοῦντας, ἢ ἐν ἄλλαις περιστάσεσιν εὑρισκομένους. Ἔτι δὲ εὐλογοῦμεν τὸ ἅγιόν σου Ὄνομα, ὑπὲρ πάντων τῶν δούλων σου τῶν ἀπὸ τοῦ βίου τούτου ἀπελθόντων ἐν τῇ πίστει καὶ τῷ φόβῳ σου· παρακαλοῦντές σε δοῦναι ἡμῖν χάριν, ἵνα τῷ καλῷ αὐτῶν ἐπακολουθήσωμεν ὑποδείγματι, καὶ συμμετάσχωμεν μετ' αὐτῶν τῆς ἐπουρανίου βασιλείας σου. Παράσχου ἡμῖν τοῦτο, ὦ Πάτερ, ἕνεκα τοῦ Ἰησοῦ Χριστοῦ τοῦ μόνου ἡμῶν Μεσίτου καὶ Παρακλήτου. Ἀμήν.

¶ Ὅταν ὁ Ἐφημέριος προαναγγείλῃ τὴν τέλεσιν τῆς θείας Κοινωνίας (ὅπερ δέον γενέσθαι πάντοτε τὴν Κυριακὴν ἢ τὴν ἀμέσως προηγουμένην Ἑορτάσιμον ἡμέραν), μετὰ τὸ τέλος τῆς Ὁμιλίας, ἀναγινώσκει τὴν ἐφεξῆς ἑπομένην προτροπήν.

ἈΓαπητοί, προτίθεμαι, τῇ βοηθείᾳ τοῦ Θεοῦ, τῇ προσεχεῖ —— πᾶσι τοῖς θρησκευτικῶς καὶ εὐσεβῶς διακειμένοις, τὸ παραμυθητικώτατον μεταδοῦναι Μυστήριον τοῦ Σώματος καὶ Αἵματος τοῦ Χριστοῦ, ὥστε ἀποδεκτὸν γενέσθαι ὑπ' αὐτῶν εἰς τὴν ἀνάμνησιν τοῦ ἐπαξίου αὐτοῦ σταυροῦ καὶ πάθους, δι' οὗ μόνου τυγχάνομεν ἀφέσεως τῶν ἁμαρτημάτων ἡμῶν, καὶ μέτοχοι γινόμεθα τῆς βασιλείας τῶν οὐρανῶν. Ὅθεν καθηκόντως ὀφείλομεν εὐχαριστίαν ἀποδοῦναι ταπεινοτάτην καὶ προθυμοτάτην τῷ Παντοκράτορι Θεῷ τῷ ἐπουρανίῳ Πατρὶ ἡμῶν, ἐφ' ᾧ δέδωκεν τὸν Υἱὸν αὐτοῦ τὸν Σωτῆρα ἡμῶν Ἰησοῦν Χριστόν, μὴ μόνον ἀποθανεῖν ὑπὲρ ἡμῶν, ἀλλὰ καὶ πνευματικὴν γενέσθαι βρῶσιν καὶ τροφὴν ἡμῶν ἐν τῷ ἱερῷ

ἐκείνῳ Μυστηρίῳ. Ἐπειδὴ δὲ τοῦτο τοῖς μὲν ἀξίως μεταλαμβάνουσι τόσον ὑπάρχει θεῖον καὶ παρακλητικόν, τοῖς δὲ τολμῶσιν ἀναξίως αὐτοῦ μεταλαβεῖν ἐπικίνδυνον· ἐμὸν καθῆκόν ἐστι νουθετῆσαι ὑμᾶς, ἵνα ἐν τῷ μεταξὺ ἐνθυμήθητε τὴν ἀξίαν τοῦ ἱεροῦ ἐκείνου μυστηρίου, καὶ τὸν μέγαν κίνδυνον τῆς ἀναξίας αὐτοῦ μεταλήψεως, καὶ ἵνα οὕτως ἐρευνήσητε καὶ δοκιμάσητε τὰς συνειδήσεις ἑαυτῶν, (καὶ τοῦτο μὴ ἐλαφρῶς, μηδὲ ἐν ὑποκρίσει πρὸς τὸν Θεόν· ἀλλ' οὕτως) ὥστε ἁγίους καὶ καθαροὺς προσελθεῖν εὐωχίᾳ οὕτως οὐρανίᾳ, ἐνδεδυμένους ἔνδυμα γάμου τὸ παρὰ τοῦ Θεοῦ ἐν τῇ θείᾳ Γραφῇ ἀπαιτούμενον, καὶ δεκτοὺς γενέσθαι ὡς ἀξίους μετόχους τῆς ἱερᾶς ἐκείνης Τραπέζης.

Ἡ πρὸς τοῦτο δὲ μέθοδος ἔστιν αὕτη· Πρῶτον, τὸ δοκιμάζειν τὸν βίον ὑμῶν καὶ τὴν πολιτείαν διὰ τοῦ κανόνος τῶν θείων ἐντολῶν· καὶ ἐὰν νοήσητε ἑαυτοὺς ὅ,τι δήποτε πλημμελήσαντας, ἐν θελήματι, ἢ ἐν λόγῳ, ἢ ἐν ἔργῳ, ἐπὶ τῇ ἁμαρτίᾳ ὑμῶν ταύτῃ ὀδύρεσθαι, καὶ ἐξομολογεῖσθαι τῷ Παντοκράτορι Θεῷ, μετὰ εἰλικρινοῦς προθέσεως τοῦ ἐπανορθοῦσθαι τὸν βίον ὑμῶν. Ἀλλ' ἐὰν νοήσητε ὅτι τὰ πλημμελήματα ὑμῶν εἰσι τοιαῦτα ὥστε οὐ μόνον κατὰ τοῦ Θεοῦ, ἀλλὰ καὶ κατὰ τοῦ πλησίον εἶναι, δεῖ ὑμᾶς διαλλαγῆναι αὐτοῖς, ἑτοίμως ἔχοντας, ὅση δύναμις, ἀνταπόδοσιν καὶ ἱκανοποίησιν δοῦναι ἀντὶ πασῶν τῶν ζημιῶν καὶ πάντων τῶν ἀδικημάτων τῶν ὑφ' ὑμῶν τοῖς ἄλλοις προσγενομένων· καὶ ὡσαύτως ἑτοίμως ἔχοντας ἄλλοις συγγινώσκειν τοῖς καθ' ὑμῶν πλημμελήσασι, καθὼς ὑμεῖς βούλεσθε ἐπιτυχεῖν τῆς ἀφέσεως τῶν πλημμελημάτων ὑμῶν παρὰ τοῦ Θεοῦ· διότι ἄλλως ἡ τῆς θείας Κοινωνίας μετάληψις οὐδὲν ἄλλο προξενεῖ ἢ τὴν αὔξησιν τοῦ κρίματος ὑμῶν. Διὰ τοῦτο ἐάν τις ἐξ ὑμῶν βλάσφημος ᾖ κατὰ τοῦ Θεοῦ, ἢ κωλυτὴς ἢ διαβολεὺς τοῦ λόγου αὐτοῦ, ἢ μοιχός, ἢ ἐν μνησικακίᾳ τυγχάνῃ, ἢ ἐν φθόνῳ, ἢ ἐν ἑτέρῳ τινὶ σοβαρῷ ἀνομήματι· Μετανόησον ἐπὶ τοῖς σοῖς ἁμαρτήμασι· εἰ δὲ μή, μὴ πρόσελθε

τῇ ἱερᾷ ἐκείνῃ Τραπέζῃ, ἵνα μή, μετὰ τὴν μετάληψιν τοῦ ἁγίου ἐκείνου Μυστηρίου, εἰσέλθῃ εἰς σὲ ὁ διάβολος, καθὼς εἰσῆλθεν εἰς τὸν Ἰούδαν, καὶ ἐμπλήσῃ σε πασῶν τῶν ἀνομιῶν, καὶ ἀγάγῃ σε εἰς τὴν ἀπώλειαν τοῦ τε σώματος καὶ τῆς ψυχῆς.

Καὶ ἐπειδὴ ἐπάναγκές ἐστιν, ἵνα μηδεὶς τῇ θείᾳ προσέλθῃ Κοινωνίᾳ, εἰ μὴ μετὰ πλήρους πεποιθήσεως ἐπὶ τῷ θείῳ ἐλέει, καὶ μετ' ἠρέμου συνειδήσεως· διὰ τοῦτο ἐάν τις ἐξ ὑμῶν μὴ δύνηται διὰ τοῦ τρόπου τούτου καθησυχάσαι τὴν ἰδίαν συνείδησιν περὶ τούτων, ἀλλὰ περαιτέρας ἐπιδέηται παραμυθίας ἢ συμβουλῆς· προσελθέτω αὐτὸς πρὸς ἐμέ, ἢ πρὸς ἄλλον τινὰ Ὑπηρέτην τοῦ λόγου τοῦ Θεοῦ συνετὸν καὶ πεπαιδευμένον, καὶ ἀποκαλυψάτω τὴν στενοχωρίαν αὐτοῦ, ἵνα τῇ ὑπηρεσίᾳ τοῦ ἱεροῦ λόγου τοῦ Θεοῦ ἀπολάβῃ τὸ εὐεργέτημα τῆς ἀφέσεως, ὁμοῦ μετὰ πνευματικῆς συμβουλῆς καὶ νουθεσίας, πρὸς κατεύνασιν τῆς συνειδήσεως, καὶ πρὸς ἀποφυγὴν παντὸς ἐνδοιασμοῦ καὶ δισταγμοῦ.

¶ Ἤ, ἐὰν ὁ Ἐφημέριος ἴδῃ τὸν λαὸν ἀμελοῦντα τοῦ προσελθεῖν τῇ θείᾳ Κοινωνίᾳ, ἀντὶ τῆς προτέρας, ἀναγινώσκει τὴν προτροπὴν ταύτην.

Ἀδελφοὶ ἀγαπητοί, τῇ —— ἡμέρᾳ, σὺν Θεῷ, διανοοῦμαι τὸ Κυριακὸν ἐπιτελέσαι Δεῖπνον· εἰς ὅ, ἐν τῷ ὀνόματι τοῦ Θεοῦ, προσκαλῶ ὑμᾶς τοὺς παρεστῶτας πάντας, καὶ δέομαι ὑμῶν χάριν τοῦ Κυρίου Ἰησοῦ Χριστοῦ, ἵνα μὴ ἀρνηθῆτε τοῦ προσελθεῖν, μετὰ τοσαύτης φιλοστοργίας ὑπ' αὐτοῦ τοῦ Θεοῦ προσκαλούμενοι. Γινώσκετε πόσον ἐστὶν ἀνιαρὸν καὶ σκληρόν, ὅταν ἑτοιμάσαντος τινὸς ἄφθονον εὐωχίαν, καὶ κοσμήσαντος τὴν τράπεζαν διὰ παντοίων ἐδεσμάτων, ὥστε μηδὲν ἐλλείπειν εἰ μὴ τοὺς ἀνακειμένους, οἱ κεκλημένοι (πάνυ ἀπροφασίστως) μετὰ πλείστης ἀχαριστίας ἀρνοῦνται ἵνα προσέλθωσι. Τίς ἐξ ὑμῶν ἐν τοιαύτῃ περιπτώσει οὐκ ἂν παροργισθείη; Τίς οὐκ ἂν νομίσαι προσγενέσθαι αὐτῷ μεγάλην βλάβην καὶ ἀδικίαν; Ὅθεν, πολυαγαπητοὶ ἐν Χριστῷ, ἐπιμελῶς προσέχετε, μὴ ὑμεῖς

ἀπὸ τοῦ ἁγίου Δείπνου τούτου ὑποχωρήσαντες, προκαλέσητε καθ' ὑμῶν τὴν ἀγανάκτησιν τοῦ Θεοῦ. Εὐχερὲς μέν ἐστιν εἰπεῖν, Οὐ μὴ μεταλήψομαι, διότι περὶ ἕτερα ἀσχολοῦμαι καὶ ὑπὸ βιωτικῶν ἐμποδίζομαι μεριμνῶν. Ἀλλὰ τοιαῦται προφάσεις οὐχ οὕτως εὐχερῶς παραλαμβάνονται οὐδ' ἐγκρίνονται πρὸ τοῦ Θεοῦ. Ἐὰν δέ τις εἴπῃ, Πολύ εἰμι ἁμαρτωλός, διὸ φοβοῦμαι προσελθεῖν· διάτι λοιπὸν οὐ μετανοεῖτε καὶ ἐπανορθοῦσθε; Ὅταν ὁ Θεὸς προκαλῇ, οὐκ αἰσχύνεσθε λέγοντες, Οὐκ ἐθέλομεν ἐλθεῖν; Ὅταν ὀφείλητε ἐπιστρέψαι πρὸς τὸν Θεόν, θελήσετε παραιτεῖσθαι, καὶ λέγειν ὅτι οὐχ ἕτοιμοί ἐστε; Ἀναλογίσθητε σπουδαίως, ὡς ὀλίγον ὠφελήσουσι τοιαῦται προσποίητοι προφάσεις ἐνώπιον τοῦ Θεοῦ. Οἱ γὰρ ἐν τῷ Εὐαγγελίῳ τοὺς γάμους παραιτήσαντες, ἐφ' ᾧ ἀγρὸν ἠγόρασαν, ἢ ζεύγη αὐτῶν βοῶν δοκιμάσαι ἤθελον, ἢ ἐφ' ᾧ γεγαμηκότες ἦσαν, οὐχ οὕτως ἀφέθησαν, ἀλλ' ἀνάξιοι τῆς ἐπουρανίου ἐλογίσθησαν εὐωχίας. Ἐγώ, τό γ' ἐπ' ἐμοί, ἕτοιμος ἔσομαι, καί, κατὰ τὸ ἐμὸν ἀξίωμα, προσκαλῶ ὑμᾶς ἐν τῷ ὀνόματι τοῦ Θεοῦ, καὶ καλῶ ὑμᾶς ὑπὲρ τοῦ Χριστοῦ, προτρέπω ὑμᾶς, ἐὰν περὶ πολλοῦ ποιῆσθε τὴν σωτηρίαν ὑμῶν, ἵνα μεταλάβητε ταύτης τῆς θείας Κοινωνίας. Καὶ καθὼς ηὐδόκησεν ὁ Υἱὸς τοῦ Θεοῦ τὴν ψυχὴν αὐτοῦ διὰ θανάτου παραδοῦναι ἐπὶ τοῦ Σταυροῦ διὰ τὴν ὑμετέραν σωτηρίαν· οὕτω καθῆκον ὑμῖν ἐστι μεταλαβεῖν τῆς Κοινωνίας, εἰς ἀνάμνησιν τῆς θυσίας τοῦ θανάτου αὐτοῦ, ὡς καὶ αὐτὸς ἐνετείλατο· Ὅπερ ἐὰν ἀμελήσητε ποιῆσαι, ἀναλογίσθητε πηλίκον κατὰ τοῦ Θεοῦ ποιεῖτε ἀδίκημα, καὶ πηλίκη διὰ τοῦτο ἐπικρέμαται κόλασις ὑπὲρ τὴν κεφαλὴν ὑμῶν· ὅτε ἑκουσίως τῆς Κυριακῆς ἀφίστασθε Τραπέζης, καὶ χωρίζεσθε τῶν ἀδελφῶν ὑμῶν, τῶν προσερχομένων τοῦ τρώγειν ἐκείνην τὴν ἐπουρανιωτάτην τροφήν. Ταῦτα ἐὰν σπουδαίως ἐνθυμῆσθε, τῇ θείᾳ χάριτι εἰς κρείσσονα ἐπιστρέψετε γνώμην· ἥστινος ἵνα ἐπιτύχητε οὐ παυσόμεθα ἡμεῖς μετὰ ταπεινοφροσύνης δεόμενοι τοῦ Παντοκράτορος Θεοῦ τοῦ ἐπουρανίου ἡμῶν Πατρός.

Η ΘΕΙΑ ΚΟΙΝΩΝΙΑ

¶ *Κατὰ τὸν χρόνον τῆς τελέσεως τῆς Κοινωνίας, ἀφ' οὗ οἱ Κοινωνήσοντες τοποθετηθῶσι πρὸς μετάληψιν τοῦ ἱεροῦ Μυστηρίου, ὁ Ἱερεὺς λέγει τὴν παραίνεσιν ταύτην.*

Ἀγαπητοὶ ἐν Κυρίῳ, ὅσοι προτίθεσθε προσελθεῖν τῇ θείᾳ Κοινωνίᾳ τοῦ σώματος καὶ αἵματος τοῦ Σωτῆρος ἡμῶν Χριστοῦ, ὀφείλετε ἐνθυμηθῆναι πῶς ὁ Ἀπόστολος πάντας παρακαλεῖ ἐπιμελῶς ἑαυτοὺς ἐξετάζειν καὶ δοκιμάζειν, πρὶν ἢ τολμήσωσιν ἐκ τοῦ Ἄρτου ἐκείνου ἐσθίειν, καὶ ἐκ τοῦ Ποτηρίου πίνειν. Ὡς γὰρ μεγάλη ἡ ὠφέλεια, ἐὰν μετ' ἀληθινῶς μετανοούσης καρδίας καὶ ζώσης πίστεως μεταλάβωμεν τοῦ ἁγίου ἐκείνου Μυστηρίου (ἐπειδὴ τρώγομεν πνευματικῶς τὴν σάρκα τοῦ Χριστοῦ, καὶ πίνομεν τὸ αἷμα αὐτοῦ· ἐν Χριστῷ μένομεν, καὶ ὁ Χριστὸς ἐν ἡμῖν· μετὰ Χριστοῦ ἡνωμένοι ἐσμέν, καὶ ὁ Χριστὸς μεθ' ἡμῶν)· Οὕτω μέγας ὁ κίνδυνος, ἐὰν ἀναξίως μεταλάβωμεν αὐτοῦ. Ἐπειδὴ ἔνοχοί ἐσμεν τοῦ σώματος καὶ αἵματος Χριστοῦ τοῦ Σωτῆρος ἡμῶν· κρῖμα ἑαυτοῖς ἐσθίομεν καὶ πίνομεν, μὴ διακρίνοντες τὸ σῶμα τοῦ Κυρίου· παροργίζομεν τὸν Θεὸν καθ' ἡμῶν αὐτῶν· παραπικραίνομεν αὐτὸν εἰς τὸ πατάξαι ἡμᾶς πολλοῖς ἀρρωστήμασι, καὶ διαφόροις θανάτοις. Διὰ τοῦτο ἑαυτοὺς διακρίνατε, ἀδελφοί, ἵνα μὴ κριθῆτε ὑπὸ τοῦ Κυρίου· μετανοεῖτε ἀληθινῶς ἐπὶ τοῖς προτέροις ἁμαρτήμασιν ὑμῶν· ἔχετε πίστιν ζῶσαν καὶ ἑδραίαν ἐν Χριστῷ τῷ Σωτῆρι ἡμῶν· ἐπανορθοῦσθε τὸν βίον, καὶ ἐν τελείᾳ ἀγάπῃ γίνεσθε μετὰ πάντων τῶν ἀνθρώπων· καὶ οὕτως ἐπαξίως μεθέξετε τῶν ἁγίων ἐκείνων μυστηρίων. Καὶ πρὸ πάντων ὀφείλετε ταπεινότατα καὶ προθυμότατα εὐχαριστῆσαι τῷ Θεῷ τῷ Πατρὶ καὶ τῷ Υἱῷ καὶ τῷ ἁγίῳ Πνεύματι, ὑπὲρ τῆς ἀπολυτρώσεως τοῦ κόσμου διὰ τοῦ θανάτου καὶ πάθους τοῦ θεανθρώπου Σωτῆρος ἡμῶν Χριστοῦ, τοῦ ταπεινώσαντος ἑαυτὸν μέχρι θανάτου τοῦ ἐπὶ τοῦ Σταυροῦ, ὑπὲρ ἡμῶν τῶν ἐλεεινῶν ἁμαρτωλῶν, τῶν ἐν σκότει καὶ σκιᾷ θανάτου κατακειμένων, εἰς τὸ ποιῆσαι ἡμᾶς τέκνα Θεοῦ, καὶ εἰς τὸ ὑψῶσαι ἡμᾶς εἰς ζωὴν αἰώνιον. Καὶ

πρὸς τούτοις, ἵνα πάντοτε διὰ μνήμης ἔχωμεν τὴν καθ' ὑπερβολὴν ἀγάπην τοῦ Διδασκάλου, καὶ μόνου Σωτῆρος ἡμῶν, Ἰησοῦ Χριστοῦ, οὕτω ὑπὲρ ἡμῶν ἀποθανόντος, καὶ τὰς ἀναριθμήτους εὐεργεσίας ἃς διὰ τῆς τιμίας αὐτοῦ αἱματεκχυσίας εὕρατο ἡμῖν· διὰ τοῦτο Αὐτὸς διετάξατο καὶ ἐνετείλατο μυστήρια ἱερά, ὡς ἐχέγγυα τῆς ἀγάπης αὐτοῦ, καὶ εἰς τὴν διηνεκῆ τοῦ θανάτου αὐτοῦ ἀνάμνησιν, πρὸς μεγάλην καὶ ἀτελεύτητον παραμυθίαν ἡμῶν. Διό, Αὐτῷ, σὺν τῷ Πατρὶ, καὶ τῷ ἁγίῳ Πνεύματι, ἀποδίδωμεν (ὡς καὶ τὰ μάλιστα ὀφείλομεν) διηνεκῆ εὐχαριστίαν, ὅλως ὑποτασσόμενοι τῇ ἁγίᾳ αὐτοῦ θελήσει καὶ εὐδοκίᾳ, καὶ σπουδάζοντες λατρεύειν αὐτῷ ἐν ὁσιότητι καὶ δικαιοσύνῃ τῆς ἀληθείας πάσας τὰς ἡμέρας τῆς ζωῆς ἡμῶν. Ἀμήν.

¶ Εἶτα λέγει ὁ Ἱερεὺς τοῖς προσερχομένοις μεταλαβεῖν τῆς θείας Κοινωνίας,

ὍΣοι ἀληθινῶς καὶ προθύμως μετανοεῖτε ἐπὶ ταῖς ἁμαρτίαις ὑμῶν, καὶ ἐν ἀγάπῃ διατελεῖτε μετὰ τοῦ πλησίον ὑμῶν, καὶ προτίθεσθε καινὸν διάγειν βίον, ἐπακολουθοῦντες ταῖς ἐντολαῖς τοῦ Θεοῦ, καὶ περιπατοῦντες ἀπὸ τοῦ νῦν ἐν ταῖς ἁγίαις ὁδοῖς αὐτοῦ· Προσέλθετε μετὰ πίστεως, καὶ λάβετε τὸ ἅγιον τοῦτο Μυστήριον πρὸς τὴν παραμυθίαν ὑμῶν· καὶ ταπεινῶς ἐξομολογήσασθε τῷ Παντοκράτορι Θεῷ, μετὰ πρᾳότητος κλίνοντες τὸ γόνυ ὑμῶν.

¶ *Εἶτα γίνεται ἡ γενικὴ αὕτη Ἐξομολόγησις, ἐν τῷ ὀνόματι πάντων τῶν προτιθεμένων μεταλαβεῖν τῆς θείας Κοινωνίας, ὑφ' ἑνὸς τῶν Λειτουργῶν, τούτου τε καὶ παντὸς τοῦ λαοῦ ταπεινῶς γονυκλινόντων, καὶ λεγόντων,*

Ὁ Θεὸς ὁ Παντοκράτωρ, ὁ Πατὴρ τοῦ Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ, Ὁ Ποιητὴς τῶν ὅλων, ὁ Κριτὴς τῶν πάντων· Ὁμολογοῦμεν καὶ ὀδυρόμεθα τὰς πολλὰς ἡμῶν ἁμαρτίας καὶ πονηρίας, Ἃς ἀπὸ καιροῦ εἰς καιρὸν βαρύτατας ἐποιησάμεθα, Ἐν διανοίᾳ, καὶ λόγῳ, καὶ ἔργῳ, Κατὰ τῆς θείας Μεγαλωσύνης σου, Προκαλοῦντες τὴν δικαιοτάτην ὀργὴν καὶ τὴν ἀγανάκτησίν σου καθ' ἡμῶν. Προθυμότατα μετανοοῦμεν, Καὶ ἐκ καρδίας θλιβόμεθα ἐπὶ τοῖς πλημμελήμασιν ἡμῶν τούτοις,

Ἡ μνήμη αὐτῶν βαρεῖά ἐστιν ἡμῖν· Τὸ φορτίον ἀφόρητον. Ἐλέησον ἡμᾶς, Ἐλέησον ἡμᾶς, πολυέλεε Πάτερ· Ἕνεκα τοῦ Υἱοῦ σου τοῦ Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ, Συγχώρησον ἡμῖν πάντα τὰ παρῳχημένα, Καὶ χάρισαι ἡμῖν ἵνα διαπαντὸς μετὰ ταῦτα Δουλεύωμεν καὶ εὐαρεστῶμέν σοι Ἐν καινότητι ζωῆς, Εἰς τὴν τιμὴν καὶ δόξαν τοῦ Ὀνόματός σου, Διὰ Ἰησοῦ Χριστοῦ τοῦ Κυρίου ἡμῶν. Ἀμήν.

¶ Εἶτα ἀναστὰς ὁ Ἱερεύς (ἢ ὁ Ἐπίσκοπος, ἐὰν παρῇ), καὶ στραφεὶς πρὸς τὸν λαόν, ἐκφωνεῖ ταύτην τὴν Ἄφεσιν τῶν Ἁμαρτιῶν.

Ὁ Θεὸς ὁ Παντοκράτωρ, ὁ Πατὴρ ἡμῶν ὁ ἐπουράνιος, ὁ διὰ τὸ μέγα ἔλεος αὐτοῦ τὴν ἄφεσιν ἐπαγγειλάμενος τῶν ἁμαρτημάτων πᾶσι τοῖς μετ' εἰλικρινοῦς μετανοίας καὶ ἀληθινῆς πίστεως ἐπιστρέφουσι πρὸς αὐτόν· Αὐτὸς ὑμᾶς ἐλεήσαι, συγχωρήσαι ὑμῖν καὶ ῥῦσαι ὑμᾶς ἀπὸ πασῶν τῶν ἁμαρτιῶν ὑμῶν, βεβαιώσαι καὶ ἐνδυναμώσαι ὑμᾶς ἐν πάσῃ ἀγαθότητι, καὶ ὁδηγήσαι ὑμᾶς εἰς ζωὴν αἰώνιον, διὰ Ἰησοῦ Χριστοῦ τοῦ Κυρίου ἡμῶν. Ἀμήν.

¶ Εἶτα λέγει ὁ Ἱερεύς,

Ἀκούσατε τοὺς παραμυθητικοὺς λόγους οὓς λαλεῖ ὁ Σωτὴρ ἡμῶν Χριστὸς πᾶσι τοῖς ἀληθινῶς ἐπιστρέφουσι πρὸς αὐτόν.

Δεῦτε πρός με πάντες οἱ κοπιῶντες καὶ πεφορτισμένοι, κἀγὼ ἀναπαύσω ὑμᾶς. Ματθ. ΙΑ΄ 28.

Οὕτως ἠγάπησεν ὁ Θεὸς τὸν κόσμον, ὥστε τὸν Υἱὸν αὐτοῦ τὸν μονογενῆ ἔδωκεν, ἵνα πᾶς ὁ πιστεύων εἰς αὐτὸν μὴ ἀπόληται, ἀλλ' ἔχῃ ζωὴν αἰώνιον. Ἰωάν. Γ΄ 16.

Ἀκούσατε καὶ τί λέγει ὁ ἅγιος Ἀπόστολος Παῦλος.

Πιστὸς ὁ λόγος, καὶ πάσης ἀποδοχῆς ἄξιος, ὅτι Ἰησοῦς Χριστὸς ἦλθεν εἰς τὸν κόσμον ἁμαρτωλοὺς σῶσαι. Α΄ Τιμ. Α΄ 15.

Ἀκούσατε καὶ τί λέγει ὁ ἅγιος Ἀπόστολος Ἰωάννης.

Ἐάν τις ἁμάρτῃ, Παράκλητον ἔχομεν πρὸς τὸν Πατέρα, Ἰησοῦν Χριστὸν δίκαιον, καὶ αὐτὸς ἱλασμός ἐστι περὶ τῶν ἁμαρτιῶν ἡμῶν. Α΄ Ἰωάν. Β΄ 1.

¶ Καὶ μετὰ τοῦτο προβαίνει ὁ Ἱερεύς, λέγων,

Ἄνω τὰς καρδίας.

Ἀπόκρισις.

Ἔχομεν πρὸς τὸν Κύριον.

Ὁ Ἱερεύς.

Εὐχαριστήσωμεν Κυρίῳ τῷ Θεῷ ἡμῶν.

Ἀπόκρισις.

Ἄξιον καὶ δίκαιον.

¶ Εἶτα στραφεὶς πρὸς τὴν ἁγίαν Τράπεζαν λέγει ὁ Ἱερεύς,

ὩΣ ἀληθῶς ἄξιόν ἐστι, δίκαιόν τε καὶ ὀφειλόμενον ἡμῖν, ἐν παντὶ καιρῷ, καὶ ἐν παντὶ τόπῳ, Σοὶ εὐχαριστεῖν, Κύριε, ἅγιε Πάτερ, Παντοκράτορ, αἰώνιε Θεέ.

Αἱ λέξεις αὗται ["Αγιε Πάτερ] παραλείπονται τὴν Κυριακὴν τῆς Τριάδος.

¶ Ἐνταῦθα ἀκολουθεῖ τὸ ἰδιαίτερον Προοίμιον, ἀναλόγως τῆς ἐποχῆς, ἐὰν διαταχθῇ τοιοῦτόν τι· εἰ δὲ μή, εὐθέως ἀκολουθεῖ τοῦτο,

ΔΙὰ τοῦτο μετὰ τῶν Ἀγγέλων καὶ τῶν Ἀρχαγγέλων, καὶ μετὰ πάσης τῆς ἐπουρανίου στρατιᾶς, ὑμνοῦμεν καὶ μεγαλύνομεν τὸ Ὄνομα τῆς δόξης σου, διαπαντὸς αἰνοῦντές σε, καὶ λέγοντες, Ἅγιος, ἅγιος, ἅγιος, Κύριε ὁ Θεὸς τῶν δυνάμεων, Πλήρης ὁ οὐρανὸς καὶ ἡ γῆ τῆς δόξης σου. Δόξα Σοί, Κύριε Ὕψιστε. Ἀμήν.

¶ Ἰδιαίτερα Προοίμια.

¶ Εἰς τὰ Χριστούγεννα, καὶ τὰς μετέπειτα ἑπτὰ ἡμέρας.

ΔΙότι ἔδωκας Ἰησοῦν Χριστὸν τὸν μονογενῆ σου Υἱὸν γεννηθῆναι ὡσεὶ ἐν τῷ καιρῷ τούτῳ ὑπὲρ ἡμῶν, ὃς τῇ ἐνεργείᾳ τοῦ ἁγίου Πνεύματος ἀληθῶς ἐνηνθρώπησεν ἐκ τῆς οὐσίας τῆς Παρθένου Μαρίας τῆς μητρὸς αὐτοῦ, καὶ τοῦτο ἄνευ σπίλου ἁμαρτίας, ἵνα καθαρίσῃ ἡμᾶς ἀπὸ πάσης ἁμαρτίας. Διὰ τοῦτο μετὰ τῶν Ἀγγέλων κτλ.

¶ Εἰς τὴν Κυριακὴν τοῦ Πάσχα, καὶ τὰς μετέπειτα ἑπτὰ ἡμέρας.

ἈΛλ' ἐξαιρέτως ὀφείλομέν σε αἰνεῖν ὑπὲρ τῆς ἐνδόξου ἀναστάσεως τοῦ Υἱοῦ σου Ἰησοῦ Χριστοῦ τοῦ Κυρίου

ἡμῶν· αὐτὸς γάρ ἐστιν ὁ ἀληθινὸς Ἀμνὸς τοῦ Πάσχα, ὁ ὑπὲρ ἡμῶν προσενεχθείς, καὶ ἄρας τὴν ἁμαρτίαν τοῦ κόσμου· ὁ τῷ θανάτῳ αὐτοῦ τὸν θάνατον καταργήσας, καὶ τῇ εἰς ζωὴν ἀναστάσει αὐτοῦ ἀνταποδοὺς ἡμῖν ζωὴν αἰώνιον. Διὰ τοῦτο μετὰ τῶν Ἀγγέλων, κτλ.

¶ Εἰς τὴν Πέμπτην τῆς Ἀναλήψεως, καὶ τὰς μετέπειτα ἑπτὰ ἡμέρας.

ΔΙὰ τοῦ πολυαγαπητοῦ σου Υἱοῦ Ἰησοῦ Χριστοῦ τοῦ Κυρίου ἡμῶν, τοῦ μετὰ τὴν ἐνδοξοτάτην αὐτοῦ ἀνάστασιν ἐναργῶς ἐμφανισθέντος πᾶσι τοῖς Ἀποστόλοις αὐτοῦ, καὶ βλεπόντων αὐτῶν ἀναβάντος εἰς τὸν οὐρανὸν τοῦ ἑτοιμάσαι τόπον ἡμῖν· ἵνα ὅπου ἐστὶν Αὐτός, ἐκεῖσε καὶ ἡμεῖς ἀναβῶμεν, καὶ σὺν αὐτῷ βασιλεύσωμεν ἐν δόξῃ. Διὰ τοῦτο μετὰ τῶν Ἀγγέλων, κτλ.

¶ Εἰς τὴν ἡμέραν τῆς Πεντηκοστῆς, καὶ τὰς μετέπειτα ἓξ ἡμέρας.

ΔΙὰ Ἰησοῦ Χριστοῦ τοῦ Κυρίου ἡμῶν· οὗ κατὰ τὴν ἀληθεστάτην ἐπαγγελίαν, ὡσεὶ ἐν τῷ καιρῷ τούτῳ τὸ Πνεῦμα τὸ ἅγιον κατῆλθεν ἐκ τοῦ οὐρανοῦ μετ' αἰφνιδίου μεγάλου ἤχου, ὥσπερ πνοῆς βιαίας, ἐν εἴδει πυρίνων γλωσσῶν, καθίσαν ἐπὶ τοὺς Ἀποστόλους, τοῦ διδάξαι καὶ ὁδηγῆσαι αὐτοὺς εἰς τὴν ἀλήθειαν πᾶσαν, χαριζόμενον αὐτοῖς τήν τε δωρεὰν ἑτέρων γλωσσῶν, καὶ τὴν παρρησίαν μετὰ θερμοῦ ζήλου, τοῦ ἐνδελεχῶς κηρύξαι τὸ Εὐαγγέλιον πᾶσι τοῖς ἔθνεσι, δι' οὗ καὶ ἡμεῖς ἐξήχθημεν ἐκ τοῦ σκότους καὶ τῆς πλάνης εἰς τὸν ἐναργῆ φωτισμὸν καὶ τὴν ἀληθῆ ἐπίγνωσιν Σοῦ καὶ τοῦ Υἱοῦ σου Ἰησοῦ Χριστοῦ. Διὰ τοῦτο μετὰ τῶν Ἀγγελων, κτλ.

¶ Εἰς μόνην τὴν ἑορτὴν τῆς Τριάδος.

Ὁ Ὢν εἷς Θεός, εἷς Κύριος· οὐχὶ μία μόνη ὑπόστασις, ἀλλὰ τρεῖς ὑποστάσεις ἐν μιᾷ οὐσίᾳ. Ὃ γὰρ πιστεύομεν περὶ τῆς δόξης τοῦ Πατρός, τοῦτο καὶ πιστεύομεν περὶ τοῦ Υἱοῦ, καὶ περὶ τοῦ ἁγίου Πνεύματος, ἄνευ πάσης διαφορᾶς καὶ ἀνισότητος. Διὰ τοῦτο μετὰ τῶν Ἀγγέλων, κτλ.

¶ *Καὶ μεθ' ἓν ἕκαστον τούτων τῶν Προοιμίων ἀμέσως ψάλλεται ἢ ἀναγινώσκεται,*

ΔΙὰ τοῦτο μετὰ τῶν Ἀγγέλων καὶ τῶν Ἀρχαγγέλων, καὶ μετὰ πάσης τῆς ἐπουρανίου στρατιᾶς, ὑμνοῦμεν καὶ μεγαλύνομεν τὸ Ὄνομα τῆς δόξης σου, διαπαντὸς αἰνοῦντές σε, καὶ λέγοντες· Ἅγιος, ἅγιος, ἅγιος, Κύριε ὁ Θεὸς τῶν δυνάμεων, πλήρης ὁ οὐρανὸς καὶ ἡ γῆ τῆς δόξης σου· Δόξα Σοί, Κύριε Ὕψιστε. Ἀμήν.

¶ *Εἶτα ὁ Ἱερεύς, γόνυ κλίνας παρὰ τῇ ἁγίᾳ Τραπέζῃ, λέγει ταύτην τὴν ἐφεξῆς προσευχὴν ἐν ὀνόματι πάντων τῶν μελλόντων κοινωνῆσαι.*

ΟΥκ ἐπὶ ταῖς δικαιοσύναις ἡμῶν, Κύριε ἐλεήμον, ἀλλ' ἐπὶ τοῖς οἰκτιρμοῖς σου τοῖς πολλοῖς καὶ μεγάλοις πεποιθότες ἐσμέν, θαρροῦντες προσεγγίζειν τῇ Τραπέζῃ σου ταύτῃ. Οὐκ ἄξιοί ἐσμεν ἡμεῖς καὶ τὰ ψιχία συναγαγεῖν τὰ ὑποκάτω τῆς Τραπέζης σου. Ἀλλὰ Σὺ ἐκεῖνος εἶ Κύριος, οὗ ἰδιότης ἐστὶ πάντοτε τὸ οἰκτείρειν· Διὰ τοῦτο χάρισαι ἡμῖν, Κύριε οἰκτίρμον, οὕτω τὴν σάρκα φαγεῖν τοῦ Υἱοῦ τῆς ἀγάπης σου Ἰησοῦ Χριστοῦ, καὶ τὸ αἷμα αὐτοῦ πιεῖν, ὥστε τὰ ἁμαρτάνοντα ἡμῶν σώματα διὰ τοῦ σώματος αὐτοῦ καθαρισθῆναι, καὶ τὰς ψυχὰς ἡμῶν ἀπολουθῆναι διὰ τοῦ πολυτιμήτου αὐτοῦ αἵματος, καὶ ἡμᾶς διαπαντὸς ἐν αὐτῷ μένειν, καὶ αὐτὸν ἐν ἡμῖν. Ἀμήν.

¶ *Ὅταν ὁ Ἱερεύς, ἑστὼς πρὸ τῆς Τραπέζης, τὸν Ἄρτον καὶ Οἶνον διοικήσῃ οὕτως, ὥστε διὰ πλείονος εὐκολίας καὶ εὐπρεπείας δύνασθαι κλάσαι τὸν Ἄρτον ἐνώπιον τοῦ λαοῦ, καὶ λαβεῖν τὸ Ποτήριον διὰ χειρῶν, ἀναγινώσκει ταύτην τὴν Ἁγιαστικὴν Προσευχήν, ὡς ἐφεξῆς.*

ὉΘεὸς ὁ παντοκράτωρ, ὁ Πατὴρ ἡμῶν ὁ ἐπουράνιος, ὁ διὰ σπλάγχνα ἐλέους σου δεδωκὼς τὸν μονογενῆ σου Υἱὸν Ἰησοῦν Χριστὸν τὸν θάνατον ἐπὶ τοῦ σταυροῦ ὑπομεῖναι διὰ τὴν ἡμετέραν ἀπολύτρωσιν, ὃς καὶ ἐκεῖ (διὰ τῆς μιᾶς ἑαυτοῦ προσφορᾶς τῆς ἅπαξ προσενεχθείσης) ἐποιήσατο πλήρη, τελείαν, καὶ ἱκανὴν θυσίαν, προσφορὰν καὶ ἱκανοποίησιν ὑπὲρ τῶν ἁμαρτιῶν ὅλου τοῦ κόσμου, καὶ ἀνάμνησιν διηνεκῆ διετάξατο ἐκείνου τοῦ τιμίου αὐτοῦ θανάτου, καὶ ἐν τῷ ἁγίῳ

αὐτοῦ Εὐαγγελίῳ *ἐνετείλατο ἡμῖν συνεχίζειν αὐτὴν μέχρι τῆς πάλιν αὐτοῦ παρουσίας·* Αὐτὸς *ἐπάκουσον ἡμῶν,* Πάτερ *οἰκτίρμον, ταπεινότατα δυσωποῦμέν σε, καὶ παράσχου ἵνα ἡμεῖς, κατὰ τὴν ἁγίαν διάταξιν τοῦ* Υἱοῦ *σου,* Σωτῆρος *δὲ ἡμῶν* Ἰησοῦ Χριστοῦ, *εἰς ἀνάμνησιν τοῦ θανάτου καὶ τοῦ πάθους αὐτοῦ, τῶν κτισμάτων σου τούτων τοῦ ἄρτου καὶ οἴνου μεταλαβόντες, μέτοχοι γενηθῶμεν τοῦ ὑπερευλογήτου σώματος καὶ αἵματος αὐτοῦ·* Ὃς *ἐν τῇ νυκτὶ ᾗ παρεδίδοτο* [a] *ἔλαβεν ἄρτον, καὶ εὐχαριστήσας,* [b] *ἔκλασε, καὶ ἔδωκε τοῖς μαθηταῖς αὐτοῦ, λέγων,* Λάβετε, *φάγετε,* [c] *τοῦτό ἐστι τὸ σῶμά μου τὸ ὑπὲρ ὑμῶν διδόμενον· τοῦτο ποιεῖτε εἰς τὴν ἐμὴν ἀνάμνησιν.* Ὡσαύτως *καὶ* [d] *λαβὼν τὸ ποτήριον μετὰ τὸ δειπνῆσαι, καὶ εὐχαριστήσας, ἔδωκεν αὐτοῖς, λέγων,* Πίετε *ἐξ αὐτοῦ πάντες, τοῦτο γάρ* [e] *ἐστι τὸ αἷμά μου τὸ τῆς* Καινῆς Διαθήκης, *τὸ ὑπὲρ ὑμῶν καὶ πολλῶν ἐκχυνόμενον εἰς ἄφεσιν ἁμαρτιῶν·* Τοῦτο *ποιεῖτε, ὁσάκις ἂν πίνητε, εἰς τὴν ἐμὴν ἀνάμνησιν.* Ἀ*μήν.*

(a) Ἐνταῦθα λαμβάνει ὁ Ἱερεὺς τὸν Δίσκον διὰ χειρῶν· (b) Καὶ ἐνταῦθα κλᾷ τὸν ἄρτον· (c) Καὶ ἐνταῦθα ἐπιθέτει τὴν χεῖρα ἐπὶ παντὶ τῷ ἄρτῳ. (d) Ἐνταῦθα λαμβάνει τὸ Ποτήριον διὰ χειρῶν· (e) Καὶ ἐνταῦθα ἐπιθέτει τὴν χεῖρα ἐπὶ πᾶν σκεῦος (εἴτε Ποτήριον εἴτε Φιάλην) ἐν ᾧ ἁγιαζόμενός τις οἶνός ἐστι.

¶ Εἶτα ὁ Λειτουργὸς αὐτὸς πρῶτον μεταλαμβάνει τῆς Κοινωνίας ἐν ἑκατέρῳ εἴδει, καὶ μετέπειτα παραδίδωσιν αὐτὴν ὡσαύτως τοῖς Ἐπισκόποις καὶ τοῖς Πρεσβυτέροις καὶ τοῖς Διακόνοις (ἐάν τινες παρῶσι) καὶ μετὰ τοῦτο καὶ τῷ λαῷ κατὰ τάξιν, εἰς τὰς χεῖρας αὐτῶν, πάντων μετὰ πρᾳΰτητος γονυκλινόντων. Καὶ παραδιδούς τινι τὸν ἄρτον λέγει,

ΤΟ *σῶμα τοῦ* Κυρίου *ἡμῶν* Ἰησοῦ Χριστοῦ, *τὸ δοθὲν ὑπέρ σου, διαφυλάξαι τὸ σῶμα καὶ τὴν ψυχήν σου εἰς ζωὴν αἰώνιον.* Λάβε *καὶ φάγε τοῦτο εἰς ἀνάμνησιν ὅτι ὁ* Χριστὸς *ὑπέρ σου ἀπέθανεν, καὶ τρέφου ἐξ αὐτοῦ ἐν τῇ καρδίᾳ σου διὰ πίστεως μετ' εὐχαριστίας.*

¶ Καὶ ὁ Λειτουργὸς ὁ παραδιδούς τινι τὸ ποτήριον λέγει,

ΤΟ *αἷμα τοῦ* Κυρίου *ἡμῶν* Ἰησοῦ Χριστοῦ *τὸ ἐκχυθὲν ὑπέρ σου, διαφυλάξαι τὸ σῶμα καὶ τὴν ψυχήν σου εἰς ζωὴν αἰώνιον.* Πίε *τοῦτο εἰς ἀνάμνησιν ὅτι τὸ αἷμα τοῦ* Χριστοῦ *ὑπέρ σου ἐξεχύθη, καὶ εὐγνώμων ἴσθι.*

¶ Ἐὰν ἐκδαπανηθῇ πᾶς ὁ ἡγιασμένος ἄρτος ἢ οἶνος πρὶν ἢ πάντες μεταλάβωσι, τὸν Ἱερέα χρὴ ἄλλον ἔτι καθαγιάσαι κατὰ τὸν προδιατεταγμένον τύπον· Ἀρχόμενον ἀπὸ τοῦ [Ὁ Σωτὴρ ἡμῶν Χριστὸς ἐν τῇ νυκτί, κτλ.] διὰ τὴν εὐλογίαν τοῦ ἄρτου· καὶ ἀπὸ τοῦ [Ὡσαύτως καὶ λαβών, κτλ.] διὰ τὴν εὐλογίαν τοῦ ποτηρίου.

¶ Πάντων μεταλαβόντων, ἐπιστρέφει ὁ Λειτουργὸς εἰς τὴν ἁγίαν Τράπεζαν, καὶ μετ᾽ εὐλαβείας ἀποτίθησιν ἐπ᾽ αὐτὴν τὰ περισσεύματα τῶν Ἁγιασμάτων, σκεπάζων αὐτὰ καθαρῷ λινῷ ὑφάσματι.

¶ Εἶτα λέγει ὁ Ἱερεὺς τὴν Κυριακὴν Προσευχήν, τοῦ λαοῦ ἐπαναλαμβάνοντος μετ᾽ αὐτὸν πᾶσαν Αἴτησιν.

ΠΑτερ ἡμῶν, ὁ ἐν τοῖς οὐρανοῖς· Ἁγιασθήτω τὸ Ὄνομά σου. Ἐλθέτω ἡ βασιλεία σου. Γενηθήτω τὸ θέλημά σου, Ὡς ἐν οὐρανῷ, καὶ ἐπὶ τῆς γῆς. Τὸν ἄρτον ἡμῶν τὸν ἐπιούσιον δὸς ἡμῖν σήμερον. Καὶ ἄφες ἡμῖν τὰ ὀφειλήματα ἡμῶν, Ὡς καὶ ἡμεῖς ἀφίεμεν τοῖς ὀφειλέταις ἡμῶν. Καὶ μὴ εἰσενέγκῃς ἡμᾶς εἰς πειρασμόν· Ἀλλὰ ῥῦσαι ἡμᾶς ἀπὸ τοῦ πονηροῦ. Ὅτι σοῦ ἔστιν ἡ βασιλεία, Καὶ ἡ δύναμις καὶ ἡ δόξα, Εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

¶ Μετέπειτα ἀναγινώσκεται τὸ ἐφεξῆς.

ΚΥριε ὁ Πατὴρ ὁ ἐπουράνιος, ἡμεῖς οἱ ταπεινοί σου δοῦλοι ὁλοψύχως ἐπιποθοῦμεν, ἵνα ἡ σὴ Πατρικὴ ἀγαθότης ἵλεως προσδέξηται ταύτην τὴν θυσίαν ἡμῶν αἰνέσεως καὶ εὐχαριστίας· μετὰ πάσης ταπεινοφροσύνης ἱκετεύοντές σε χαρίσασθαι, ἵνα διὰ τὴν ἀξιομισθίαν καὶ τὸν θάνατον τοῦ Υἱοῦ σου Ἰησοῦ Χριστοῦ, καὶ διὰ πίστεως ἐν τῷ αἵματι αὐτοῦ, ἡμεῖς τε καὶ ἡ ὅλη σου Ἐκκλησία τῆς ἀφέσεως τῶν ἁμαρτημάτων ἡμῶν, καὶ πάντων τῶν ἄλλων ἐκ τοῦ πάθους αὐτοῦ εὐεργεσιῶν ἐπιτύχωμεν. Καὶ νῦν, Κύριε, Σοὶ προσφέρομεν καὶ παρίσταμεν ἡμᾶς αὐτούς, τὰς ψυχὰς καὶ τὰ σώματα ἡμῶν, εἰς θυσίαν Σοὶ λογικὴν καὶ ἁγίαν καὶ ζῶσαν· ταπεινῶς δυσωποῦντές σε, ἵνα πάντες ἡμεῖς οἱ τῆς θείας ταύτης Κοινωνίας μεταλαμβάνοντες, ἐμπλησθῶμεν τῆς χάριτός σου καὶ τῆς οὐρανίου εὐλογίας. Εἰ δὲ καὶ ἀνάξιοί ἐσμεν διὰ τὰς πολλὰς ἡμῶν

ἁμαρτίας τοῦ προσενέγκαι σοι οἱανδήποτε θυσίαν· ἀλλὰ δεόμεθά σου ἵνα προσδέξῃ ταύτην τὴν ὀφειλομένην ἡμῶν θεραπείαν καὶ λατρείαν· μὴ τὴν ἀξιομισθίαν ἡμῶν ἀναλογισάμενος, ἀλλὰ τὰ πλημμελήματα ἡμῶν χαρισάμενος, διὰ Ἰησοῦ Χριστοῦ *τοῦ* Κυρίου *ἡμῶν· δι' οὗ καὶ μεθ' οὗ, ἐν τῇ ἑνότητι τοῦ ἁγίου* Πνεύματος, Σοὶ *τῷ* Πατρὶ *τῷ* Παντοκράτορι *πᾶσα τιμὴ καὶ δόξα εἰς τοὺς αἰῶνας τῶν αἰώνων.* Ἀμήν.

Ἢ τοῦτο.

Ὁ Θεὸς *ὁ παντοκράτωρ καὶ ἀεὶ ζῶν, προθυμότατα εὐχαριστοῦμέν σοι, ὅτι εὐδοκεῖς ἐκθρέψαι ἡμᾶς, τοὺς τῶν ἁγίων τούτων μυστηρίων ἀξίως μεταλαβόντας, τῇ πνευματικῇ τροφῇ τοῦ πολυτίμου σώματος καὶ αἵματος τοῦ* Υἱοῦ *σου,* Κυρίου *δὲ ἡμῶν* Ἰησοῦ Χριστοῦ· *καὶ ὅτι διὰ τούτου διαβεβαιοῖς ἡμᾶς περὶ τῆς πρὸς ἡμᾶς εὐνοίας καὶ ἀγαθότητός σου· καὶ ὅτι μέλη ἐσμὲν ἀληθινὰ ἐνσωματοποιηθέντα εἰς τὸ μυστικὸν σῶμα τοῦ* Υἱοῦ *σου, ὅ ἐστιν ὁ εὐλογημένος πάντων τῶν πιστῶν συναθροισμός· ἔτι δὲ καὶ ὅτι κληρονόμοι δι' ἐλπίδος ἐσμὲν τῆς αἰωνίου σου βασιλείας, διὰ τὴν ἀξιομισθίαν τοῦ πολυτίμου θανάτου καὶ πάθους τοῦ* Υἱοῦ *τῆς ἀγάπης σου.* Καὶ *μετὰ πάσης ταπεινοφροσύνης ἱκετεύομέν σε, ἐπουράνιε* Πάτερ, *οὕτω διὰ τῆς χάριτός σου βοήθησον ἡμῖν, ὥστε προσκαρτερεῖν ἡμᾶς ἐν ἐκείνῃ τῇ ἁγίᾳ κοινωνίᾳ, καὶ ποιεῖν ὅσα ἔργα ἀγαθὰ προητοίμασας ἵνα ἐν αὐτοῖς περιπατήσωμεν, διὰ* Ἰησοῦ Χριστοῦ *τοῦ* Κυρίου *ἡμῶν, ᾧ σὺν* Σοὶ *καὶ τῷ ἁγίῳ* Πνεύματι, *πᾶσα τιμὴ καὶ δόξα εἰς τοὺς αἰῶνας τῶν αἰώνων.* Ἀμήν.

¶ Εἶτα *ἀναγινώσκεται ἢ ψάλλεται,*

ΔΟξα *ἐν ὑψίστοις* Θεῷ, *καὶ ἐπὶ γῆς εἰρήνη, ἐν ἀνθρώποις εὐδοκία.* Ὑμνοῦμέν *σε, εὐλογοῦμέν σε, προσκυνοῦμέν σε, δοξολογοῦμέν σε, εὐχαριστοῦμέν σοι διὰ τὴν μεγάλην σου δόξαν,* Κύριε Θεέ, Βασιλεῦ *ἐπουράνιε,* Θεὲ Πάτερ Παντοκράτορ.

Κύριε, Υἱὲ μονογενὲς Ἰησοῦ Χριστέ· Κύριε ὁ Θεός, ὁ Ἀμνὸς τοῦ Θεοῦ, ὁ Υἱὸς τοῦ Πατρός, ὁ αἴρων τὰς ἁμαρτίας τοῦ κόσμου, ἐλέησον ἡμᾶς. Ὁ αἴρων τὰς ἁμαρτίας τοῦ κόσμου, ἐλέησον ἡμᾶς. Ὁ αἴρων τὰς ἁμαρτίας τοῦ κόσμου, πρόσδεξαι τὴν δέησιν ἡμῶν. Ὁ καθήμενος ἐν δεξιᾷ τοῦ Θεοῦ καὶ Πατρός, ἐλέησον ἡμᾶς.

Ὅτι Σὺ εἶ μόνος ἅγιος· Σὺ εἶ μόνος Κύριος, Σὺ εἶ μόνος ὕψιστος, Χριστέ, σὺν ἁγίῳ Πνεύματι, εἰς δόξαν Θεοῦ Πατρός. Ἀμήν.

¶ Εἶτα ὁ Ἱερεὺς (ἢ ὁ Ἐπίσκοπος, ἐὰν παρῇ) ἀπολύει αὐτοὺς μετὰ ταύτης τῆς εὐλογίας.

Ἡ Εἰρήνη τοῦ Θεοῦ ἡ ὑπερέχουσα πάντα νοῦν, φρουρήσαι τὰς καρδίας ὑμῶν καὶ τὰ νοήματα ὑμῶν ἐν τῇ γνώσει καὶ ἀγάπῃ τοῦ Θεοῦ, καὶ τοῦ Υἱοῦ αὐτοῦ Ἰησοῦ Χριστοῦ τοῦ Κυρίου ἡμῶν· Καὶ ἡ εὐλογία τοῦ Θεοῦ τοῦ Παντοκράτορος, τοῦ Πατρός, καὶ τοῦ Υἱοῦ, καὶ τοῦ ἁγίου Πνεύματος, εἴη ἐν ὑμῖν, καὶ διάμενοι μεθ᾽ ὑμῶν πάντοτε. Ἀμήν.

¶ Εὐχαὶ λεγόμεναι μετὰ τὴν Προσκομιδήν, ὅταν μὴ γίνηται ἡ Κοινωνία, καθ᾽ ἑκάστην ἡμέραν μία ἢ πλείονες ἐξ αὐτῶν· καὶ ἐπιτρέπεται ἀναγινώσκειν αὐτὰς κατ᾽ ἀφορμὴν καὶ μετὰ τὰς Εὐχὰς τῆς τε Πρωινῆς καὶ τῆς Ἑσπερινῆς Ἀκολουθίας, ἢ τὰς τῆς θείας Κοινωνίας, ἢ τῆς Λιτανείας, κατὰ τὴν κρίσιν τοῦ Λειτουργοῦ.

ΠΑράστηθι ἡμῖν ἵλεως, Κύριε, ἐν ταύταις ταῖς δεήσεσι καὶ εὐχαῖς ἡμῶν, καὶ διεύθυνον τὴν ὁδὸν τῶν δούλων σου τοῦ ἐπιτυχεῖν αὐτοὺς τῆς αἰωνίου σωτηρίας· ἵνα ἐν πάσῃ μεταβολῇ καὶ συντυχίᾳ τῆς φθαρτῆς ταύτης ζωῆς, διὰ τῆς πολυελέου καὶ προθύμου σου ὑπερασπισθῶμεν βοηθείας, διὰ Ἰησοῦ Χριστοῦ τοῦ Κυρίου ἡμῶν. Ἀμήν.

ΚΥριε παντοκράτορ, καὶ Θεὲ αἰώνιε, εὐδόκησον, δεόμεθά σου, ὁδηγῆσαι, ἁγιάσαι, καὶ κυβερνῆσαι τάς τε καρδίας καὶ τὰ σώματα ἡμῶν ἐν ταῖς τρίβοις τῶν νόμων σου, καὶ ἐν τῇ ἐργασίᾳ τῶν ἐντολῶν σου, ἵνα, ἐνταῦθά τε καὶ εἰς τὸν αἰῶνα, διὰ τῆς

παντοδυνάμου σου ὑπερασπίσεως σώματι καὶ ψυχῇ διαφυλασσώμεθα, διὰ τοῦ Κυρίου *καὶ* Σωτῆρος *ἡμῶν* Ἰησοῦ Χριστοῦ. Ἀμήν.

ΠΑράσχου, *δεόμεθά σου*, Θεὲ Παντοκράτορ, *ἵνα οἱ λόγοι οὓς σήμερον τοῖς ὠσὶν ἡμῶν ἐκτὸς ἠκούσαμεν, διὰ τῆς χάριτός σου οὕτως ἐν ταῖς καρδίαις ἡμῶν ἐντὸς ἐγκεντρισθῶσιν, ὥστε ἐν ἡμῖν ἀγαθὴν καρποφορῆσαι τὴν πολιτείαν, εἰς τιμὴν καὶ αἶνον τοῦ* Ὀνόματός *σου, διὰ* Ἰησοῦ Χριστοῦ *τοῦ* Κυρίου *ἡμῶν*. Ἀμήν.

ΤΑς *πράξεις ἡμῶν*, Κύριε, *τῇ πολυελέῳ σου πρόφθασον χάριτι, καὶ τῇ διηνεκεῖ σου πρότρεψον βοηθείᾳ, ἵνα ἡμεῖς ἐν παντὶ ἔργῳ ἡμῶν τῷ ἐν* Σοὶ *ἀρχομενῳ καὶ διεξαγομένῳ καὶ ἀποτελειωθέντι, τὸ ἅγιόν σου* Ὄνομα *δοξάσωμεν, καὶ ἐν τέλει διὰ τὸ σὸν ἔλεος ζωῆς ἐπιτύχωμεν αἰωνίου, διὰ* Ἰησοῦ Χριστοῦ *τοῦ* Κυρίου *ἡμῶν*. Ἀμήν.

Ὁ Θεὸς ὁ Παντοκράτωρ, *ἡ πηγὴ πάσης σοφίας, ὁ εἰδὼς ἡμῶν τὴν ἀνάγκην πρὸ τοῦ αἰτεῖσθαι, καὶ τὴν ἄγνοιαν ἐν τῷ αἰτεῖσθαι·* Οἰκτείρησον, *δεόμεθά σου, τὰς ἀσθενείας ἡμῶν· καὶ ὅσα διὰ τὴν ἀναξιότητα ἡμῶν οὐ τολμῶμεν, καὶ διὰ τὴν τυφλότητα ἀδυνατοῦμεν αἰτήσασθαι, τῇ εὐδοκίᾳ σου παράσχου ἡμῖν διὰ τὴν ἀξιότητα τοῦ* Υἱοῦ *σου*, Κυρίου *δὲ ἡμῶν* Ἰησοῦ Χριστοῦ. Ἀμήν.

Ὁ Θεὸς ὁ Παντοκράτωρ, *ὁ τῶν δεήσεων ἐπαγγειλάμενος ἐπακοῦσαι τῶν αἰτουμένων ἐν τῷ* Ὀνόματι *τοῦ* Υἱοῦ *σου·* Δυσωποῦμέν *σε, ἵνα ἵλεως τὸ οὖς σου προσχῇς πρὸς ἡμᾶς τοὺς νῦν σοι τὰς προσευχὰς καὶ τὰς ἱκεσίας ἡμῶν προσενέγκαντας, καὶ παράσχου ἵνα ὅσα μετὰ πίστεως κατὰ τὸ θέλημά σου ᾐτησάμεθα, ἀποληφθῶσιν ἐπιτυχῶς, εἰς ἀνακούφισιν τῆς ἡμετέρας ἀνάγκης, καὶ εἰς τὴν ἐξαγγελίαν τῆς σῆς δόξης, διὰ* Ἰησοῦ Χριστοῦ *τοῦ* Κυρίου *ἡμῶν*. Ἀμήν.

¶ ΤΑς Κυριακὰς καὶ ἄλλας ἑορτασίμους ἡμέρας (ἐὰν μὴ γίνηται ἡ Κοινωνία) πάντα ἀναγινώσκονται, τὰ εἰς τὴν Κοινωνίαν ἐνδιάτακτα μέχρι τέλους τῆς γενικῆς Προσευχῆς τῆς [Ὑπὲρ ὅλης τῆς καταστάσεως τῆς ἐνταῦθα ἐν τῇ γῇ στρατευομένης Ἐκκλησίας τοῦ Χριστοῦ] μετὰ μιᾶς ἢ πλειόνων ἐκ τῶν τελευταίως προειρημένων Εὐχῶν, καὶ ἐπὶ τέλους ἐκφωνεῖται ἡ Εὐλογία.

¶ Καὶ οὐ μὴ τελεσθῇ τὸ Κυριακὸν Δεῖπνον, ἐὰν μὴ παρῇ ἀριθμὸς ἀνήκων, κατὰ τὴν κρίσιν τοῦ Ἱερέως, εἰς τὸ συγκοινωνῆσαι αὐτῷ.

¶ Καὶ ἐὰν μὴ τύχωσιν κατὰ τὴν Ἐνορίαν πλείονες ἢ εἴκοσι ἱκανοὶ πρὸς τὸ μεταλαβεῖν τῆς Κοινωνίας· ὅμως οὐ μὴ τελεσθῇ ἡ Κοινωνία ἐὰν μὴ τέσσαρες (ἢ τοὐλάχιστον τρεῖς) κοινωνήσωσιν μετὰ τοῦ Ἱερέως.

¶ Καὶ ἐν ταῖς Καθεδρικαῖς καὶ ταῖς Κολλεγιάταις Ἐκκλησίαις καὶ ἐν τοῖς Κολλεγίοις, ὅπου τυγχάνουσι πολλοὶ Ἱερεῖς καὶ Διάκονοι, πάντας δεῖ τουτοὺς τῆς Κοινωνίας μετὰ τοῦ Ἱερέως μεταλαβεῖν τοὐλάχιστον πᾶσαν Κυριακήν, ἐὰν μὴ εὔλογον ἔχωσιν αἰτίαν εἰς τοὐναντίον.

¶ Καὶ ἵνα ἀφαιρεθῇ πᾶσα τῆς συζητήσεως καὶ δεισιδαιμονίας ἀφορμή, ἥνπερ τις ἔχει ἢ δύναιτ' ἂν ἔχειν περὶ τοῦ Ἄρτου καὶ τοῦ Οἴνου, ἐξαρκεῖ ἵνα ὁ Ἄρτος τοιοῦτος ᾖ οἷος κοινῶς ἐσθίεται· ἀλλ' ὁ ἄριστος καὶ καθαρώτατος Ἄρτος Σίτινος ὅστις προσφόρως δύναται κομισθῆναι.

¶ Καὶ ἐὰν περισσεύσῃ τι ἐκ τοῦ Ἄρτου καὶ Οἴνου ἀναγίαστον ὄν, τοῦτο λήψεται ὁ Ἐφημέριος εἰς τὴν ἰδίαν χρῆσιν· ἀλλ' ἐάν τι περισσεύσῃ ἐκ τοῦ ἁγιασθέντος, οὐ μὴ ἀποκομισθῇ τοῦτο ἐκ τῆς Ἐκκλησίας, ἀλλ' ὁ Ἱερεὺς μετὰ καὶ ἄλλων τινῶν ἐκ τῶν Κοινωνησάντων, ὅσους τηνικαῦτα προσκαλέσει οὗτος, εὐθὺς μετὰ τὴν Εὐλογίαν εὐλαβῶς αὐτὸ ἔδεται καὶ πίεται.

¶ Τὸν Ἄρτον καὶ τὸν Οἶνον τὸν εἰς τὴν Κοινωνίαν χρὴ ἐφοδιασθῆναι ὑπὸ τοῦ Ἐφημερίου καὶ τῶν Ἐπιτρόπων τῆς Ἐκκλησίας δι' ἐξόδων τῆς Ἐνορίας.

¶ Καὶ σημειωτέον, ὅτι πάντα δεῖ Ἐνοριακὸν μεταλαβεῖν τῆς Κοινωνίας τοὐλάχιστον τρὶς τοῦ ἐνιαυτοῦ, καὶ πρὸ πάντων κατὰ τὸ Πάσχα. Καὶ καθ' ἕκαστον ἔτος κατὰ τὸ Πάσχα πάντα Ἐνοριακὸν δεῖ ἐξοφλῆσαι λογαριασμοὺς μετὰ τοῦ Ἐφημερίου ἢ μετὰ τοῦ ἀντιπροσώπου ἢ τῶν ἀντιπροσώπων αὐτοῦ, καὶ ἀποδοῦναι αὐτοῖς ἢ αὐτῷ πάντας τοὺς ἐκκλησιαστικοὺς Φόρους τοὺς κατ' ἐκεῖνον τὸν ἐνιαυτὸν καὶ καιρὸν συνήθως ὀφειλομένους.

¶ Μετὰ τὸ τέλος τῆς Θείας Ἀκολουθίας, τὸ ἀργύριον τὸ δοθὲν κατὰ τὴν Προσκομιδὴν χρὴ διατεθῆναι πρὸς τὰς εὐσεβεῖς καὶ φιλανθρώπους χρείας, οἵας ἐγκρίνουσιν ὁ Ἐφημέριος καὶ οἱ Ἐπίτροποι. Ἐὰν δὲ οὗτοι περὶ τούτου διαφωνῶσι, διατεθήσεται τὸ ἀργύριον ὡς ὁρίσει ὁ Ὀρδινάριος.

ἘΝ ᾧ διατέτακται κατὰ ταύτην τὴν ἐπὶ Τελέσει τοῦ Κυριακοῦ Δείπνου Ἀκολουθίαν, ἵνα οἱ Κοινωνοῦντες μεταλαμβάνωσιν αὐτοῦ γονυκλίνοντες· (ὃ καὶ διατέτακται μετ' ἀγαθῆς προαιρέσεως, εἰς σημείωσιν τῆς ταπεινῆς καὶ εὐγνώμονος ἡμῶν ὁμολογίας τῶν εὐεργεσιῶν τοῦ

Χριστοῦ τῶν ἐνταῦθα πᾶσι τοῖς ἀξίως μεταλαμβάνουσι δαψιλευομένων, καὶ εἰς κώλυσιν τῆς ἄλλως ἐπὶ τῇ θείᾳ Κοινωνίᾳ οἵας τε γενέσθαι βεβηλώσεως καὶ ἀταξίας)· Ἀλλ᾽ ὅμως, ἵνα μή τις, εἴτε δι᾽ ἄγνοιαν καὶ ἀσθένειαν, εἴτε διὰ κακοβουλίαν καὶ αὐθάδειαν, ταύτην τὴν Γονυκλισίαν παρερμηνεύσῃ καὶ βλασφημήσῃ· Ἐνταῦθα ἀπαγγέλλεται, ὅτι δι᾽ αὐτῆς οὐδεμία σκοπεύεται Λατρεία, οὔτε ὀφείλει γενέσθαι, εἴτε πρὸς τὸν Μυστηριώδη ἄρτον ἢ οἶνον, τὸν ἐνταῦθα σωματικῶς μεταλαμβανόμενον, εἴτε πρὸς Σωματικήν τινα Παρουσίαν τῆς φυσικῆς Σαρκὸς καὶ τοῦ φυσικοῦ Αἵματος τοῦ Χριστοῦ. Ὁ γὰρ Μυστηριώδης ἄρτος καὶ οἶνος διαμένουσιν ἔτι ἐν αὐτῇ τῇ Φυσικῇ αὐτῶν Οὐσίᾳ, καὶ διὰ τοῦτο οὐ δέον αὐτοὺς λατρεύεσθαι, (τοῦτο γὰρ ἂν εἴη εἰδωλολατρεία, ἡ πᾶσι τοῖς πιστοῖς Χριστιανοῖς βδελυρά)· Καὶ τὸ Φυσικὸν σῶμα καὶ αἷμα τοῦ Σωτῆρος ἡμῶν Χριστοῦ ἐν Οὐρανῷ ἐστι, καὶ οὐκ ἐνταῦθα· εἴ γε ἐναντίον ἐστὶ τῇ ἀληθείᾳ τοῦ Φυσικοῦ σώματος τοῦ Χριστοῦ τὸ ἐν πλείοσιν εἶναι τόποις ἢ ἐν ἑνὶ μόνῳ ταὐτοχρόνως.

ΤΑΞΙΣ

ΕΠΙ ΤΕΛΕΣΕΙ ΒΑΠΤΙΣΜΑΤΟΣ ΝΗΠΙΩΝ

ΔΗΜΟΣΙᾼ ΕΝ ΕΚΚΛΗΣΙᾼ ΓΙΝΟΜΕΝΗ

¶ ΔΕον *νουθετεῖσθαι τὸν λαόν, ὅτι μάλιστα ἀνήκει μὴ τελεσθῆναι τὸ* Βάπτισμα *ἐκτὸς τῶν* Κυριακῶν *καὶ ἄλλων ἑορτασίμων ἡμερῶν, ὅτε συνεθίζει συνάγεσθαι τὸ πλεῖστον πλῆθος τοῦ λαοῦ· ἵνα οὕτω συνεπιμαρτυρήσῃ ὁ περιεστὼς συναθροισμὸς τῇ τῶν νεοφωτίστων ὑποδοχῇ εἰς τὸν ἀριθμὸν τῆς τοῦ* Χριστοῦ Ἐκκλησίας· *καὶ ἐπ' ἴσης ἵνα διὰ τοῦ* Βαπτίσματος *τῶν* Νηπίων *πᾶς ὁ παρὼν ὑπομνησθῇ τῆς ἰδίας ἑαυτοῦ ἐπαγγελίας τῆς ἐν τῷ* Βαπτίσματι *αὐτοῦ πρὸς τὸν* Θεὸν *προσενεχθείσης.* Διὰ *τοῦτο καὶ συμφέρει ἵνα τὸ* Βάπτισμα *τελεσθῇ ἐν τῇ κοινῇ γλώσσῃ.* Ἀλλ' *ὅμως (ἐὰν τοῦτο ἀπαιτήσῃ ἡ ἀνάγκη) ἐπιτρέπεται ἵνα παιδία βαπτισθῶσιν ἐν πάσῃ ἡμέρᾳ.*

¶ Καὶ *σημειωτέον, ὅτι δέον παρεστάναι ὑπὲρ παντὸς ἄρρενος παιδίου δύο ἄρρενας* Ἀναδόχους *καὶ μίαν θήλειαν· καὶ ὑπὲρ παντὸς θήλεος παιδίου, ἕνα ἄρρενα καὶ δύο θηλείας.*

¶ Ὅταν *ᾖ παιδία, ἃ δέον βαπτισθῆναι, οἱ* Γονεῖς *ὀφείλουσι τοῦτο τῷ* Ἐφημερίῳ *δηλῶσαι τὴν προτεραίαν, ἢ ἕωθεν πρὸ τῆς ἐνάρξεως τῆς* Πρωινῆς Ἀκολουθίας. Καὶ *τούτου γενομένου, δέον τοὺς* Ἀναδόχους *καὶ τὰς* Ἀναδόχους, *καὶ τὸν* Λαόν, *μετὰ τῶν* Παιδίων, *ἑτοίμους παρεῖναι παρὰ τῇ* Κολυμβήθρᾳ, *εἴτε ἀμέσως μετὰ τὸ δεύτερον* Ἀνάγνωσμα *τῆς* Πρωινῆς Ἀκολουθίας, *εἴτε ἀμέσως μετὰ τὸ δεύτερον* Ἀνάγνωσμα *τῆς* Ἑσπερινῆς Ἀκολουθίας, *καθὼς διορίζει ὁ* Ἐφημέριος *κατὰ τὴν κρίσιν αὐτοῦ.* Καὶ *ὁ* Ἱερεὺς *προσελθὼν τῇ* Κολυμβήθρᾳ *(ἣν δέον νυνὶ πληρωθῆναι ὕδατος καθαροῦ) καὶ ἱστάμενος ἐνταῦθα λέγει,*

Πότερον *ἤδη ἐβαπτίσθη τὸ παιδίον τοῦτο, ἢ οὔ;*

¶ Ἐὰν *δὲ ἀποκριθῶσιν ὅτι οὐκ ἐβαπτίσθη τὸ παιδίον, εἶτα προβαίνει ὁ* Ἱερεὺς *ὡς ἑξῆς.*

ἈΓαπητοί, *ἐπειδὴ πάντες ἄνθρωποι συλλαμβάνονται καὶ γεννῶνται ἐν ἁμαρτίᾳ, καὶ λέγει ὁ* Σωτὴρ *ἡμῶν* Χριστὸς *ὅτι* Οὐδεὶς *δύναται εἰσελθεῖν εἰς τὴν βασιλείαν τοῦ* Θεοῦ, *ἐὰν μὴ ἄνωθεν γεννηθῇ ἐξ ὕδατος καὶ ἁγίου* Πνεύματος· Παρακαλῶ *ὑμᾶς ἐπικαλεῖσθαι τὸν* Θεὸν *καὶ* Πατέρα, *διὰ τοῦ* Κυρίου *ἡμῶν* Ἰησοῦ Χριστοῦ, *ἵνα διὰ τὸν ἄφθονον*

αὐτοῦ οἰκτιρμὸν τῷ παιδίῳ τούτῳ ἐκεῖνο χαρίσηται ὃ φύσει οὐ δύναται κεκτῆσθαι, ὥστε βαπτισθῆναι αὐτὸ μεθ' ὕδατος καὶ ἁγίου Πνεύματος, καὶ δεκτὸν γενέσθαι εἰς τὴν ἁγίαν τοῦ Χριστοῦ Ἐκκλησίαν, καὶ μέλος ταύτης ζῶν γενέσθαι.

¶ Εἶτα λέγει ὁ Ἱερεύς,

Δεηθῶμεν.

Ὁ Θεὸς ὁ παντοκράτωρ καὶ αἰώνιος, ὁ κατὰ τὸ μέγα σου ἔλεος τὸν Νῶε καὶ τὴν οἰκογένειαν αὐτοῦ ἐν τῇ κιβωτῷ διασώσας τοῦ μὴ δι' ὕδατος ἀπολέσθαι αὐτούς, καὶ τοὺς υἱοὺς Ἰσραήλ, τὸν λαόν σου, ἐν ἀσφαλείᾳ διαγαγὼν διὰ τῆς Ἐρυθρᾶς Θαλάσσης, προτυπώσας διὰ τούτων τὸ ἅγιόν σου βάπτισμα· καὶ διὰ τοῦ βαπτίσματος τοῦ ἀγαπητοῦ σου Υἱοῦ Ἰησοῦ Χριστοῦ ἐν τῷ Ἰορδάνῃ ποταμῷ τὸ ὕδωρ καθαγιάσας εἰς μυστικὴν ἔκπλυσιν ἁμαρτίας· Δεόμεθά σου διὰ τὰ ἀμέτρητά σου ἐλέη ἵνα ἵλεως ἐπιβλέψῃς ἐπὶ τοῦτο τὸ παιδίον· ἀπόλουσον καὶ ἁγίασον αὐτὸ τῷ Πνεύματι τῷ ἁγίῳ, ἵνα ῥυσθὲν ἀπὸ τῆς σῆς ὀργῆς, προσληφθῇ εἰς τὴν κιβωτὸν τῆς τοῦ Χριστοῦ Ἐκκλησίας· καὶ ἑδραῖον γενόμενον ἐν τῇ πίστει, ἐπ' ἐλπίδι χαῖρον, καὶ ἐρριζωμένον ἐν τῇ ἀγάπῃ, οὕτω διαπεράσῃ τοὺς κλύδωνας τούτου τοῦ θυελλώδους αἰῶνος, ὥστε ἐπὶ τέλους πρὸς τὴν γῆν ὁρμίσασθαι τῆς ζωῆς τῆς αἰωνίου, ἐκεῖ σὺν Σοὶ βασιλεῦσον εἰς τοὺς αἰῶνας τῶν αἰώνων, διὰ Ἰησοῦ Χριστοῦ τοῦ Κυρίου ἡμῶν. Ἀμήν.

Ὁ Θεὸς ὁ παντοκράτωρ καὶ ἄφθαρτος, ἡ βοήθεια πάντων τῶν δεομένων, ὁ ἀντιλήπτωρ πάντων τῶν πρὸς Σὲ καταφευγόντων, ἡ ζωὴ τῶν πιστευόντων, καὶ ἡ ἀνάστασις τῶν νεκρῶν· Ἐπικαλούμεθά σε ὑπὲρ τοῦ νηπίου τούτου, ἵνα αὐτὸς τῷ ἁγίῳ σου βαπτίσματι προσελθών, διὰ τῆς πνευματικῆς ἀναγεννήσεως τῆς ἀφέσεως ἐπιτύχῃ τῶν ἁμαρτιῶν αὐτοῦ. Πρόσδεξαι αὐτόν, Κύριε, καθὼς ἐπηγγείλω διὰ τοῦ ἀγαπητοῦ σου Υἱοῦ, εἰπών, Αἰτεῖτε, καὶ λήψεσθε· ζητεῖτε,

καὶ εὑρήσετε· κρούετε, καὶ ἀνοιγήσεται ὑμῖν· Οὕτω καὶ νῦν δὸς ἡμῖν τοῖς αἰτοῦσιν· παράσχου ἵνα εὑρήσωμεν ἡμεῖς οἱ ζητοῦντες· αὐτὸς ἄνοιξον τὴν θύραν ἡμῖν τοῖς κρούουσιν· ἵνα οὗτος ὁ νήπιος τῆς ἀπεράντου εὐλογίας ἀπολαύσῃ τοῦ οὐρανίου σου λουτροῦ, καὶ τῆς αἰωνίου ἐφίκηται βασιλείας τῆς ὑπὸ Σοῦ ἐπηγγελμένης, διὰ Χριστοῦ τοῦ Κυρίου ἡμῶν. Ἀμήν.

¶ Εἶτα, ἀναστάντος τοῦ λαοῦ, λέγει ὁ Ἱερεύς,

Ἀκούσατε τὰ ῥήματα τοῦ Εὐαγγελίου, τοῦ διὰ τοῦ ἁγίου Εὐαγγελιστοῦ Μάρκου γεγραμμένου, ἐν τῷ δεκάτῳ κεφαλαίῳ, κατὰ τὸν τρισκαιδέκατον στίχον.

ΠΡοσέφερον τῷ Χριστῷ παιδία, ἵνα ἅψηται αὐτῶν· οἱ δὲ μαθηταὶ ἐπετίμων τοῖς προσφέρουσιν. Ἰδὼν δὲ ὁ Ἰησοῦς ἠγανάκτησε, καὶ εἶπεν αὐτοῖς, Ἄφετε τὰ παιδία ἔρχεσθαι πρός με, καὶ μὴ κωλύετε αὐτά· τῶν γὰρ τοιούτων ἐστὶν ἡ βασιλεία τοῦ Θεοῦ. Ἀμὴν λέγω ὑμῖν, Ὃς ἂν μὴ δέξηται τὴν βασιλείαν τοῦ Θεοῦ ὡς παιδίον, οὐ μὴ εἰσέλθῃ εἰς αὐτήν. Καὶ ἐναγκαλισάμενος αὐτά, τιθεὶς τὰς χεῖρας ἐπ' αὐτά, ηὐλόγει αὐτά.

¶ Ἀναγνωσθέντος τοῦ Εὐαγγελίου, ἐκφωνεῖ ὁ Λειτουργὸς ταύτην τὴν ἐπὶ τοῖς ῥήμασι τοῦ Εὐαγγελίου σύντομον προτροπήν.

ἈΓαπητοί, ἐν τούτῳ τῷ Εὐαγγελίῳ ἠκούσατε τοὺς λόγους τοῦ Σωτῆρος ἡμῶν Χριστοῦ, ὅτι ἐκέλευσεν προσφέρεσθαι αὐτῷ τὰ παιδία· ὅπως ἐπετίμα τοῖς κωλύουσιν αὐτὰ ἀπ' αὐτοῦ· ὅπως πάντας προτρέπει μιμεῖσθαι αὐτῶν τὴν ἀκακίαν. Βλέπετε ὅπως τῷ σχήματι καὶ ἔργῳ αὐτοῦ τὴν πρὸς αὐτοὺς εὐδοκίαν αὐτοῦ ἀπεδείξατο· ἐπειδὴ ἐνηγκαλίσατο αὐτά, ἔθηκεν ἐπ' αὐτὰ τὰς χεῖρας, καὶ ηὐλόγησεν αὐτά. Ἆρ' οὖν μὴ ἀμφιβάλλετε ὑμεῖς, ἀλλ' εὐτόνως πιστεύετε, ὅτι ὡσαύτως ἵλεως προσδέξεται τοῦτον τὸν παρόντα Νήπιον, ὅτι ἐναγκαλίσεται αὐτὸν διὰ τοῦ ἐλέους αὐτοῦ, ὅτι δωρήσεται αὐτῷ τὴν εὐλογίαν τῆς αἰωνίου ζωῆς, καὶ μέτοχον αὐτὸν ποιήσει τῆς ἀϊδίου αὐτοῦ βασιλείας. Διό, οὕτω πεπεισμένοι περὶ τῆς πρὸς τὸν Νήπιον

τοῦτον εὐδοκίας τοῦ ἐπουρανίου Πατρὸς ἡμῶν, τῆς διὰ τοῦ Υἱοῦ αὐτοῦ Ἰησοῦ Χριστοῦ ἀπαγγελθείσης, καὶ μὴ ἀμφιβάλλοντες ὅτι ἵλεως ἐγκρίνει τοῦτο τὸ ἔργον τῆς ἀγάπης ἡμῶν τῶν προσφερόντων τὸν Νήπιον τοῦτον τῷ ἁγίῳ αὐτοῦ βαπτίσματι, μετὰ πίστεως καὶ εὐλαβείας εὐχαριστήσωμεν αὐτῷ, λέγοντες,

Ὁ Θεὸς ὁ παντοκράτωρ καὶ αἰώνιος, ὁ Πατὴρ ὁ ἐπουράνιος, ταπεινῶς εὐχαριστοῦμέν σοι, ὅτι κατηξίωσας ἡμᾶς προσκληθῆναι εἰς τὴν γνῶσιν τῆς χάριτός σου, καὶ εἰς τὴν σὴν πίστιν· Αὐτὸς ταύτην ἐν ἡμῖν διαπαντὸς αὔξησον τὴν γνῶσιν καὶ βεβαίωσον τὴν πίστιν. Δὸς τὸ ἅγιόν σου Πνεῦμα τῷ Νηπίῳ τούτῳ, ἵνα ἄνωθεν γεγεννημένος κληρονόμος γένηται τῆς αἰωνίου σωτηρίας, διὰ τοῦ Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ, τοῦ σὺν Σοὶ καὶ τῷ ἁγίῳ Πνεύματι συζῶντος καὶ συμβασιλεύοντος, νῦν καὶ εἰς τοὺς αἰῶνας. Ἀμήν.

¶ *Εἶτα προσαγορεύει ὁ Ἱερεὺς τοὺς Ἀναδόχους καὶ τὰς Ἀναδόχους κατὰ τοῦτον τὸν τρόπον.*

Ἀγαπητοί, προσηγάγετε τοῦτο τὸ παιδίον βαπτισθῆναι, προσηύξασθε ἵνα ὁ Κύριος ἡμῶν Ἰησοῦς Χριστὸς εὐδοκήσῃ αὐτὸ δέξασθαι, ἀπὸ τῶν ἁμαρτιῶν αὐτοῦ ἀπολύσαι αὐτό, ἁγιάσαι αὐτὸ τῷ Πνεύματι τῷ ἁγίῳ, καὶ δοῦναι αὐτῷ τὴν βασιλείαν τῶν οὐρανῶν, καὶ τὴν ζωὴν τὴν αἰώνιον. Ἔτι δὲ καὶ ἠκούσατε ὅτι ὁ Κύριος ἡμῶν Ἰησοῦς Χριστὸς ἐπηγγείλατο ἐν τῷ Εὐαγγελίῳ αὐτοῦ πάντα ταῦτα ὅσα ᾐτήσασθε χαρίσασθαι· ἥντινα ἐπαγγελίαν Αὐτὸς τὸ καθ' ἑαυτὸν βεβαιότατα τηρήσει καὶ ἐκτελέσει. Ὅθεν μετὰ ταύτην τὴν ἐπαγγελίαν τὴν ὑπὸ τοῦ Χριστοῦ προενεχθεῖσαν, τοῦτον τὸν νήπιον τὸ καθ' ἑαυτὸν χρὴ πιστῶς ὑποσχέσθαι δι' ὑμῶν τῶν ἐγγυητῶν αὐτοῦ (ἄχρις ἂν εἰς ἡλικίαν ἔλθῃ τοῦ ἐφ' ἑαυτὸν τὴν ὑπόσχεσιν ὑποδέξασθαι), ὅτι ἀποτάξεται τῷ διαβόλῳ καὶ πᾶσι τοῖς ἔργοις αὐτοῦ, καὶ πιστεύσει διηνεκῶς τῷ ἁγίῳ λόγῳ τοῦ Θεοῦ, καὶ τὰς ἐντολὰς αὐτοῦ ὑπηκόως τηρήσει.

Διὰ τοῦτο ἐρωτῶ ἐγώ,

ἈΠοτάσσῃ σύ, ἐν τῷ ὀνόματι τοῦ παιδίου τούτου, τῷ διαβόλῳ καὶ πᾶσι τοῖς ἔργοις αὐτοῦ, τῇ ματαίᾳ πομπῇ καὶ δόξῃ τοῦ κόσμου, μετὰ πασῶν τῶν πλεονεκτικῶν αὐτοῦ ἐπιθυμιῶν, καὶ ταῖς ἀσελγέσιν ἐπιθυμίαις τῆς σαρκός, ὥστε μὴ θέλειν τούτοις ἐπακολουθεῖν μηδὲ δι' αὐτῶν ἀπάγεσθαι;

Ἀπόκρισις.

Πᾶσι τούτοις ἀποτάσσομαι.

Ὁ Λειτουργός.

ΠΙστεύεις εἰς Θεὸν Πατέρα Παντοκράτορα, ποιητὴν οὐρανοῦ καὶ γῆς;

Καὶ εἰς Ἰησοῦν Χριστὸν τὸν Υἱὸν αὐτοῦ τὸν μονογενῆ, τὸν Κύριον ἡμῶν; Καὶ ὅτι συνελήφθη ἐκ Πνεύματος ἁγίου, ἐγεννήθη ἐκ Μαρίας τῆς Παρθένου· ὅτι ἔπαθεν ἐπὶ Ποντίου Πιλάτου, ἐσταυρώθη, ἔθανεν, καὶ ἐτάφη· ὅτι κατῆλθεν εἰς ᾅδου, καὶ ὅτι καὶ ἀνέστη τῇ τρίτῃ ἡμέρᾳ· ὅτι ἀνέβη εἰς τοὺς οὐρανούς, καὶ κάθηται ἐν δεξιᾷ Θεοῦ Πατρὸς Παντοκράτορος· καὶ ἐντεῦθεν πάλιν ἔρχεται ἐν τῇ συντελείᾳ τοῦ αἰῶνος, κρῖναι ζῶντας καὶ νεκρούς;

Καὶ πιστεύεις εἰς τὸ Πνεῦμα τὸ ἅγιον· ἁγίαν Καθολικὴν Ἐκκλησίαν, ἁγίων Κοινωνίαν· ἄφεσιν ἁμαρτιῶν· σαρκὸς ἀνάστασιν· καὶ ζωὴν αἰώνιον μετὰ τὸν θάνατον;

Ἀπόκρισις.

Πάντα ταῦτα πιστεύω ἑδραίως.

Ὁ Λειτουργός.

ΘΕλεις βαπτισθῆναι εἰς ταύτην τὴν πίστιν;

Ἀπόκρισις.

Τοῦτο βούλομαι.

Ὁ Λειτουργός.

ΘΕλεις οὖν ὑπηκόως τηρεῖν τὸ ἅγιον θέλημα τοῦ Θεοῦ καὶ

τὰς ἐντολὰς αὐτοῦ, καὶ περιπατεῖν ἐν ταύταις πάσας τὰς ἡμέρας τῆς ζωῆς σου;

Ἀπόκρισις.

Θέλω.

¶ Εἶτα λέγει ὁ Ἱερεύς,

ΘΕὲ οἰκτίρμον, χάρισαι ἵνα οὕτω ταφῇ ὁ παλαιὸς Ἀδὰμ ἐν τούτῳ τῷ παιδίῳ, ὥστε ἐν αὐτῷ τὸν καινὸν ἄνθρωπον ἐγερθῆναι. Ἀμήν.

Χάρισαι ἵνα πάντα τὰ σαρκικὰ πάθη ἀποθάνωσιν ἐν αὐτῷ, καὶ πάντα τὰ τοῦ Πνεύματος ἐχόμενα ζήσωσι καὶ αὐξάνωσιν ἐν αὐτῷ. Ἀμήν.

Χάρισαι ἵνα σχῇ τὴν δύναμιν καὶ τὴν ἰσχὺν τοῦ κατανικῆσαι, καὶ τοῦ θριαμβεῦσαι κατὰ τοῦ διαβόλου, τοῦ κόσμου, καὶ τῆς σαρκός. Ἀμήν.

Χάρισαι ἵνα πᾶς ὁ ἐνταῦθα Σοὶ διὰ τῆς ἡμετέρας ὑπηρεσίας καὶ διακονίας ἀφοσιωθείς, καὶ οὐρανίους ἐνδυθῇ ἀρετάς, καὶ ἀπέραντον ἀπολάβηται μισθαποδοσίαν, διὰ τὸ ἔλεος Σοῦ, τοῦ εὐλογητοῦ Κυρίου τοῦ Θεοῦ, τοῦ ζῶντος καὶ πάντα διοικοῦντος, εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

Ὁ Θεὸς ὁ παντοκράτωρ καὶ ἀεὶ ζῶν, οὗ ὁ Υἱὸς ὁ ὑπεραγαπητὸς Ἰησοῦς Χριστός, διὰ τὴν ἄφεσιν τῶν ἡμετέρων ἁμαρτιῶν, ἐκ τῆς πολυτιμήτου αὐτοῦ πλευρᾶς ἐξέχυσεν ὕδωρ τε καὶ αἷμα, καὶ παρήγγειλεν τοῖς μαθηταῖς αὐτοῦ πορευθῆναι μαθητεῦσαι πάντα τὰ ἔθνη, καὶ βαπτίζειν αὐτοὺς εἰς τὸ Ὄνομα τοῦ Πατρός, καὶ τοῦ Υἱοῦ, καὶ τοῦ ἁγίου Πνεύματος· Πρόσχες, δεόμεθά σου, ταῖς ἱκεσίαις τῆς ἐκκλησίας σου· ἁγίασον τοῦτο τὸ ὕδωρ εἰς τὴν μυστικὴν ἀπόλουσιν τῆς ἁμαρτίας· καὶ παράσχου ἵνα τοῦτο τὸ παιδίον τὸ νῦν εἰς αὐτὸ βαπτιζόμενον τοῦ πληρώματος ἐπιτύχῃ τῆς χάριτός σου, καὶ πάντοτε προσκαρτερῇ ἐν τῷ ἀριθμῷ τῶν πιστῶν καὶ ἐκλεκτῶν σου τέκνων, διὰ Ἰησοῦ Χριστοῦ τοῦ Κυρίου ἡμῶν. Ἀμήν.

¶ Εἶτα λαμβάνει ὁ Ἱερεὺς τὸ παιδίον εἰς τὰς χεῖρας, καὶ λέγει τοῖς Ἀναδόχοις καὶ ταῖς Ἀναδόχοις,

Ὀνομάσατε τὸ παιδίον τοῦτο.

¶ Εἶτα ἐπονομάζων αὐτὸ κατ' αὐτοὺς (ἐὰν αὐτοὶ πιστοποιήσωσιν ὅτι δύναται τὸ παιδίον ἄνευ κινδύνου ὑπομεῖναι τοῦτο) βαπτίζει αὐτὸ εἰς τὸ ὕδωρ συνετῶς καὶ προσεκτικῶς, εἰπών,

Ὁ Δεῖνα, Ἐγὼ βαπτίζω σε εἰς τὸ Ὄνομα τοῦ Πατρός, καὶ τοῦ Υἱοῦ, καὶ τοῦ ἁγίου Πνεύματος. Ἀμήν.

¶ Ἀλλ' ἐὰν πιστοποιήσωσιν ὅτι ἀσθενές ἐστι τὸ παιδίον, ἀρκετόν ἐστιν ὕδωρ ἐπιχέαι ἐπ' αὐτό, λέγοντος τοῦ Ἱερέως τὰ προειρημένα ῥήματα,

Ὁ Δεῖνα, Ἐγὼ βαπτίζω σε εἰς τὸ Ὄνομα τοῦ Πατρός, καὶ τοῦ Υἱοῦ, καὶ τοῦ ἁγίου Πνεύματος. Ἀμήν.

¶ Εἶτα λέγει ὁ Ἱερεύς,

* Ἐνταῦθα ὁ Ἱερεὺς σημειοῖ σταυροειδῶς τὸ μέτωπον τοῦ παιδίου.

ΠΡοσδεχόμεθα τὸ παιδίον τοῦτο εἰς τὸν συναθροισμὸν τῆς ποίμνης τοῦ Χριστοῦ, * καὶ σφραγίζομεν αὐτὸ τῷ σημείῳ τοῦ σταυροῦ, εἰς τεκμήριον ἵνα μὴ μετὰ τοῦτο καταισχυνθῇ τὴν πίστιν ὁμολογῆσαι τοῦ Χριστοῦ τοῦ ἐσταυρωμένου, καὶ ἀνδρείως στρατεύεσθαι ὑπὸ τὴν σημαίαν αὐτοῦ, κατὰ τῆς ἁμαρτίας, καὶ τοῦ κόσμου, καὶ τοῦ διαβόλου, καὶ μέχρι τοῦ τέλους τῆς ζωῆς πιστὸς διατελεῖν στρατιώτης καὶ δοῦλος τοῦ Χριστοῦ. Ἀμήν.

¶ Εἶτα λέγει ὁ Ἱερεύς,

ἘΠειδή, ἀγαπητοὶ ἀδελφοί, τὸ παιδίον τοῦτο ἀναγεγεννημένον ἐστὶ καὶ ἐγκεκεντρισμένον εἰς τὸ σῶμα τῆς τοῦ Χριστοῦ Ἐκκλησίας, εὐχαριστήσωμεν τῷ Θεῷ τῷ Παντοκράτορι ὑπὲρ τῶν εὐεργεσιῶν τούτων, καὶ ὁμοθυμαδὸν δεηθῶμεν αὐτοῦ ἵνα τὸ παιδίον τοῦτο τὸν λοιπὸν διαγάγῃ βίον αὐτοῦ κατὰ ταύτην τὴν ἔναρξιν.

¶ Εἶτα, πάντων γονυκλινόντων, λέγεται,

ΠΑτερ ἡμῶν.

¶ Εἶτα λέγει ὁ Ἱερεύς,

ΕΥχαριστοῦμέν σοι ἐξ ὅλης καρδίας, πολυέλεε Πάτερ, διότι ηὐδόκησας τὸν νήπιον τοῦτον ἀναγεννῆσαι τῷ ἁγίῳ σου

Πνεύματι, προσδέξασθαι αὐτὸν εἰς ἴδιον δι᾽ υἱοθεσίας τέκνον, καὶ ἐνσωματοποιῆσαι αὐτὸν εἰς τὴν ἁγίαν σου Ἐκκλησίαν. Καὶ ταπεινῶς δεόμεθά σου χαρίσασθαι, ἵνα αὐτὸς τῇ ἁμαρτίᾳ ἀπογενόμενος καὶ τῇ δικαιοσύνῃ ζήσας, καὶ συνταφεὶς τῷ Χριστῷ ἐν τῷ θανάτῳ αὐτοῦ, σταυρώσῃ τὸν παλαιὸν ἄνθρωπον, καὶ ὅλον τὸ σῶμα τῆς ἁμαρτίας καταργήσῃ, καὶ ὥσπερ μέτοχος γέγονε τοῦ θανάτου τοῦ Υἱοῦ σου, οὕτω καὶ τῆς ἀναστάσεως γένηται, ὥστε ἐπὶ τέλους μετὰ τῆς λοιπῆς ἁγίας σου Ἐκκλησίας, τὴν αἰώνιόν σου κληρονομῆσαι βασιλείαν, διὰ Χριστοῦ τοῦ Κυρίου ἡμῶν. Ἀμήν.

¶ Εἶτα πάντων ἀναστάντων, λέγει ὁ Ἱερεὺς τοῖς Ἀναδόχοις καὶ ταῖς Ἀναδόχοις τὴν ἐφεξῆς παραίνεσιν.

Ἐπειδὴ ὑπέσχετο τὸ παιδίον τοῦτο δι᾽ ὑμῶν τῶν ἐγγυητῶν αὐτοῦ ὅτι ἀποτάξεται τῷ διαβόλῳ καὶ πᾶσι τοῖς ἔργοις αὐτοῦ, καὶ ὅτι πιστεύσει εἰς τὸν Θεόν, καὶ δουλεύσει αὐτῷ· ἐν τούτοις ὑμᾶς δεῖ μεμνῆσθαι ὅτι ὑμέτερόν ἐστι μέρος καὶ καθῆκον τὸ ἐπιμελεῖσθαι ἵνα διδαχθῇ ὁ Νήπιος οὗτος, εὐθὺς ὡς οἷός τε ἔσται μαθεῖν τοῦτο, ποίαν ἐνθάδε δι᾽ ὑμῶν ἐποιήσατο σεμνοπρεπῆ εὐχήν, ὑπόσχεσιν καὶ ἐπαγγελίαν. Καὶ ἵνα ταῦτα κρεῖττον ἐπιγνῷ, παρακαλέσετε αὐτὸν ἀκούειν Ὁμιλίας, καὶ πρὸ πάντων προμηθεύσετε ἵνα μάθῃ τὸ Σύμβολον τῆς Πίστεως, τὴν Κυριακὴν Προσευχήν, καὶ τὸν Δεκάλογον ἐν τῇ κοινῇ γλώσσῃ, καὶ πάντα τὰ ἄλλα ὅσα δέον τὸν Χριστιανὸν εἰδέναι καὶ πιστεύειν εἰς τὴν σωτηρίαν τῆς ψυχῆς αὐτοῦ· καὶ ἵνα τὸ παιδίον τοῦτο ἐναρέτως ἀνατρέφηται εἰς τὸ εὐσεβῶς καὶ Χριστιανικῶς διάγειν τὸν βίον· μεμνημένον πάντοτε ὅτι εἰκονίζει ἡμῖν τὸ βάπτισμα τὴν ἐπαγγελίαν ἡμῶν, δηλαδή, τοῦ μιμεῖσθαι τὸν ὑπογραμμὸν τοῦ Σωτῆρος ἡμῶν Χριστοῦ, καὶ αὐτῷ ἀφομοιοῦσθαι· ἵνα ὥσπερ Αὐτὸς ἀπέθανεν καὶ ἠγέρθη ὑπὲρ ἡμῶν, οὕτω καὶ ἡμεῖς οἱ βαπτισθέντες ἀποθάνωμεν τῇ ἁμαρτίᾳ, καὶ ἀναστῶμεν τῇ δικαιοσύνῃ, νεκροῦντες διηνεκῶς πάντα τὰ πονηρὰ καὶ φθαρτὰ ἡμῶν πάθη, καὶ ὁσημέραι προβαίνοντες ἐν πάσῃ ἀρετῇ καὶ εὐσεβείᾳ τοῦ βίου.

¶ Καὶ ἐπισυνάπτει,

ΔΕον ὑμᾶς ἐπιμελήσασθαι ἵνα τὸ παιδίον τοῦτο προσαχθῇ τῷ Ἐπισκόπῳ εἰς τὸ βεβαιωθῆναι ὑπ' αὐτοῦ, εὐθὺς ὡς δύναται λέγειν τὸ Σύμβολον τῆς Πίστεως, τὴν Κυριακὴν Προσευχήν, καὶ τὸν Δεκάλογον ἐν τῇ κοινῇ γλώσσῃ, καὶ πρὸς τούτῳ μεμάθηκε τὴν Κατήχησιν τῆς Ἐκκλησίας τὴν ἐκδοθεῖσαν ἐπὶ τούτῳ τῷ σκοπῷ.

Βέβαιόν ἐστι διὰ τοῦ λόγου τοῦ Θεοῦ, ὅτι τὰ παιδία τὰ βαπτισθέντα, καὶ ἀποθανόντα πρὸ τοῦ ποιῆσαι ἁμαρτίαν προαιρετικήν, ἄνευ πάσης ἀμφιβολίας σεσωσμένα εἰσί.

Εἰς τὸ ἀφαιρεθῆναι πᾶσαν λεπτολογίαν περὶ τῆς ἐν τῷ Βαπτίσματι χρήσεως τοῦ σημείου τοῦ Σταυροῦ· ἡ ἀληθινὴ τούτου Ἑρμήνευσις, καὶ αἱ εὔλογοι αἰτίαι δι' ἃς ἐπεκρατήθη αὐτό, πρόκεινται ἐν τῷ λ' Κανόνι τῷ τὸ πρῶτον ἐν ἔτει σωτηρίῳ ͵ΑΧΔ' ἐκδοθέντι.

ΤΑΞΙΣ

ΕΠΙ ΤΕΛΕΣΕΙ ΒΑΠΤΙΣΜΑΤΟΣ ΠΑΙΔΙΩΝ

ΙΔΙΑι ΕΝ ΟΙΚΩι ΓΙΝΟΜΕΝΗ

¶ *Ὁ Ἐφημέριος ἑκάστης Ἐνορίας ὀφείλει πολλάκις τὸν λαὸν νουθετεῖν, ἵνα μὴ ὑπερτιθῶσι τὸ Βάπτισμα τῶν παιδίων αὐτῶν ὑπὲρ τὴν πρώτην ἢ τὴν δευτέραν Κυριακὴν τὴν εὐθὺς μετὰ τὴν γέννησιν αὐτῶν συμβαίνουσαν, ἢ ἄλλην τινὰ ἑορτάσιμον ἡμέραν ἐν τῷ μεταξὺ πίπτουσαν, εἰ μὴ διά τινα μεγάλην καὶ εὔλογον αἰτίαν, ὑπὸ τοῦ Ἐφημερίου ἐγκρινομένην.*

¶ *Ἔτι δὲ ὀφείλει αὐτοὺς νουθετεῖν, εἰς τὸ μὴ ἐκτὸς παραπλησίου τινὸς σπουδαίας αἰτίας καὶ ἀνάγκης προμηθεύεσθαι ἵνα ἰδίᾳ βαπτίζωνται τὰ παιδία κατ' οἶκον. Ἀλλ' ἐάν ποτε τοῦτο ἀναγκάσῃ ἡ χρεία, ἐν τοιαύτῃ περιπτώσει τελεῖται τὸ Βάπτισμα κατὰ τοῦτον τὸν τρόπον.*

¶ Πρῶτον, *ὁ Ἐφημέριος τῆς Ἐνορίας (ἢ τούτου ἀποδημοῦντος, ἄλλος τις νόμιμος Ὑπηρέτης ὅστις ἂν εὑρεθῆναι δύνηται) μετὰ τῶν παρεστώτων τὸν Θεὸν ἐπικαλεῖται, τὴν Κυριακὴν λέγων Προσευχήν, καὶ ἐκ τῶν ἀνωτέρω ἐν τῷ Τύπῳ τοῦ Δημοσίου Βαπτίσματος ἐνδιαταχθεισῶν Εὐχῶν, ὅσας ἐπιδέχεται ὁ χρόνος καὶ ἡ ἐνεστῶσα ἀνάγκη. Εἶτα, ὀνομασθέντος τοῦ παιδίου παρά τινος τῶν παρεστώτων, ἐπιχέει ὕδωρ ἐπ' αὐτὸ ὁ Λειτουργός, λέγων τὰ ῥήματα ταῦτα·*

Ὁ Δεῖνα, Ἐγὼ *βαπτίζω σε εἰς τὸ Ὄνομα τοῦ* Πατρός, *καὶ τοῦ* Υἱοῦ, *καὶ τοῦ ἁγίου* Πνεύματος. Ἀμήν.

¶ *Εἶτα πάντων γονυπετούντων, ὁ Λειτουργὸς εὐχαριστεῖ τῷ Θεῷ, λέγων,*

ΕΥχαριστοῦμέν *σοι ἐξ ὅλης καρδίας* [*καὶ τὰ ἑξῆς ὡς ἀνωτέρω. Ὅρα σελ.* 280].

¶ *Καὶ μὴ ἀμφιβαλλέτωσαν, ὅτι τὸ παιδίον τὸ οὕτως βαπτισθὲν ἐννόμως καὶ ἱκανῶς ἐβαπτίσθη, καὶ οὐκ ὀφείλει ἀναβαπτισθῆναι. Ἀλλ' ὅμως, ἐὰν τὸ παιδίον τὸ κατὰ τοῦτον τὸν τρόπον βαπτισθέν, μετέπειτα ζήσῃ, συμφέρει ἵνα ἀναχθῇ αὐτὸ εἰς τὴν Ἐκκλησίαν, ἐπὶ σκοπῷ ἵνα, εἰ αὐτὸς ὁ Ἐφημέριος τῆς Ἐνορίας ἐβάπτισε τὸ παιδίον, πληροφορηθῇ τὸ Ἐκκλησίασμα ὅτι τῷ ἀληθινῷ τύπῳ τοῦ Βαπτίσματος πρότερον αὐτὸς ἰδίᾳ ἐχρήσατο· Καὶ ἐν ταύτῃ τῇ περιπτώσει λέγει οὕτως·*

Ἐγὼ ὑμᾶς πιστοποιῶ, ὅτι κατὰ τὴν εὐπρεπῆ καὶ διωρισμένην τάξιν τῆς Ἐκκλησίας (τῷδε τῷ χρόνῳ) καὶ (τῷδε τῷ τόπῳ) ἐπὶ μαρτύρων ἱκανῶν τὸ παιδίον τοῦτο ἐβάπτισα.

¶ Ἀλλ' *εἰ ἐβαπτίσθη τὸ παιδίον δι' ἄλλου τινὸς νομίμου Ὑπηρέτου. ὁ Ἐφημέριος τῆς Ἐνορίας ἔνθα ἐτέχθη ἢ ἐβαπτίσθη τὸ παιδίον,*

ἐπερωτᾷ καὶ ἐξερευνᾷ πότερον ἐννόμως ἐβαπτίσθη τὸ παιδίον, ἢ μή. Καὶ *ἐν ταύτῃ τῇ περιπτώσει, ἐὰν οἱ προσφέροντες τὸ παιδίον εἰς τὴν Ἐκκλησίαν ἀποκριθῶσιν, ὅτι τὸ παιδίον ἤδη ἐβαπτίσθη, περαιτέρω ἐξετάζει αὐτοὺς ὁ Λειτουργός, λέγων,*

ὙΠὸ *τίνος ἐβαπτίσθη τοῦτο τὸ παιδίον;*
Τίς *παρῆν ὅτε ἐβαπτίσθη τοῦτο τὸ παιδίον;*

Ἐπειδὴ *ἐνδεχόμενον, ἐν τοιούτοις τῆς ἀνάγκης καιροῖς, τῶν πρὸς τὸ* Μυστήριον *τοῦτο ἀναγκαίων τινὰ διὰ φόβον ἢ σπουδὴν παραλειπόμενα τυγχάνειν· διὰ τοῦτο περαιτέρω ἀφ᾽ ὑμῶν ἀπαιτῶ,*

Μετὰ *τίνος ὕλης ἐβαπτίσθη τοῦτο τὸ παιδίον;*
Μετὰ *τίνων ῥημάτων ἐβαπτίσθη τοῦτο τὸ παιδίον;*

¶ Καὶ *ἐὰν ἐξεύρῃ ὁ Λειτουργὸς διὰ τῶν ἀποκρίσεων τῶν τὸ παιδίον προσφερόντων, ὅτι πάντα γέγονεν ὡς δεῖ· οὐκ ἀναβαπτίζει τὸ παιδίον, ἀλλὰ προσδέχεται αὐτὸ ὡς ἓν τῆς ποίμνης τῶν ἀληθινῶν Χριστιανῶν, οὕτω λέγων,*

ἘΓὼ *ὑμᾶς πιστοποιῶ, ὅτι ἐνταῦθα πάντα καλῶς καὶ κατὰ τὴν δέουσαν τάξιν ἐγένετο, πρὸς τὴν βάπτισιν τούτου τοῦ παιδίου· ὃ γεγεννημένον ἐν προπατορικῇ ἁμαρτίᾳ, καὶ ἐν τῇ ὀργῇ τοῦ* Θεοῦ, *νῦν διὰ τοῦ λουτροῦ τῆς ἐν τῷ* Βαπτίσματι Παλιγγενεσίας *συγκατηρίθμηται ἐν τοῖς τέκνοις τοῦ* Θεοῦ, *καὶ κληρονόμοις τῆς ζωῆς τῆς αἰωνίου·* Οὐ *γὰρ παραιτεῖται ὁ* Κύριος *ἡμῶν* Ἰησοῦς Χριστὸς *τὴν χάριν καὶ τὸ ἔλεος αὐτοῦ πρὸς τοιούτους νηπίους, ἀλλὰ μετὰ πάσης ἀγάπης προσκαλεῖται αὐτούς, καθὼς ἐπιμαρτυρεῖ τὸ ἅγιον* Εὐαγγέλιον *εἰς τὴν ἡμετέραν παραμυθίαν κατὰ τοῦτον τὸν τρόπον.*

Τὸ Εὐαγγέλιον.

Μαρκ. Ι′ 13. ΠΡοσέφερον *τῷ* Χριστῷ *παιδία, ἵνα ἅψηται αὐτῶν* [*καὶ τὰ ἑξῆς.* Ὅρα *σελ.* 276].

¶ *Ἀναγνωσθέντος τοῦ* Εὐαγγελίου, *ἐκφωνεῖ ὁ* Λειτουργὸς *ταύτην τὴν ἐπὶ τοῖς ῥήμασι τοῦ* Εὐαγγελίου *σύντομον προτροπήν.*

ἈΓαπητοί, *ἐν τούτῳ τῷ* Εὐαγγελίῳ *ἠκούσατε τοὺς λόγους* [*καὶ τὰ λοιπά, σελ.* 276, *προστιθείς*]
τὴν Εὐχὴν *ἣν αὐτὸς ὁ* Κύριος *ἡμᾶς ἐδίδαξεν.*

ΠΑτερ ἡμῶν.

Ὁ Θεὸς ὁ παντοκράτωρ καὶ αἰώνιος [Σελ. 277].

¶ Εἶτα ἀπαιτεῖ ὁ Ἱερεὺς τὸ Ὄνομα τοῦ παιδίου, καὶ τούτου παρὰ τῶν Ἀναδόχων ἀπαγγελθέντος, λέγει ὁ Λειτουργός,

ἈΠοτάσσῃ σύ, ἐν τῷ ὀνόματι τοῦ παιδίου τούτου [κτλ. Σελ. 278].

Πιστεύεις εἰς Θεὸν Πατέρα Παντοκράτορα [κτλ.].

Θέλεις οὖν ὑπηκόως [κτλ.].

¶ Εἶτα λέγει ὁ Ἱερεύς,

ΠΡοσδεχόμεθα τὸ παιδίον τοῦτο [κτλ. Σελ. 280].

¶ Εἶτα λέγει ὁ Ἱερεύς,

ἘΠειδή, ἀγαπητοὶ ἀδελφοί [κτλ.].

¶ Εἶτα λέγει ὁ Ἱερεύς,

ΕΥχαριστοῦμέν σοι ἐξ ὅλης καρδίας [κτλ.].

¶ Εἶτα πάντων ἀναστάντων, λέγει ὁ Λειτουργὸς ταύτην τὴν παραίνεσιν τοῖς Ἀναδόχοις καὶ ταῖς Ἀναδόχοις.

ἘΠειδὴ ὑπέσχετο τὸ παιδίον τοῦτο [κτλ. Σελ. 281].

¶ ἈΛλ' ἐὰν οἱ τὸν νήπιον εἰς τὴν Ἐκκλησίαν προσφέροντες οὕτως ἀποκριθῶσιν ἀδήλως πρὸς τὰς ἐρωτήσεις τοῦ Ἱερέως, ὥστε μὴ φαίνεσθαι τὸ παιδίον βαπτισθὲν μεθ' ὕδατος, Εἰς τὸ Ὄνομα τοῦ Πατρός, καὶ τοῦ Υἱοῦ, καὶ τοῦ ἁγίου Πνεύματος (ἅτινά εἰσιν ἀναγκαῖα μέρη τοῦ Βαπτίσματος), ἐν ταύτῃ τῇ περιπτώσει βαπτίζει αὐτὸ ὁ Ἱερεὺς κατὰ τὸν τύπον τὸν εἰς τὸ Δημοσίᾳ Βάπτισμα τῶν νηπίων ἀνωτέρω διατεταγμένον· πλὴν ὅτι ἐπ' αὐτῇ τῇ εἰς τὴν Κολυμβήθραν βαπτίσει τοῦ παιδίου, τούτῳ τῷ τύπῳ τῶν λογίων χρῆται,

ΕΙ μὴ ἤδη βεβαπτισμένος εἶ, Ὁ δεῖνα, Ἐγὼ βαπτίζω σε Εἰς τὸ Ὄνομα τοῦ Πατρός, καὶ τοῦ Υἱοῦ, καὶ τοῦ ἁγίου Πνεύματος. Ἀμήν.

ΤΑΞΙΣ

ΓΙΝΟΜΕΝΗ ΕΠΙ ΤΕΛΕΣΕΙ ΒΑΠΤΙΣΜΑΤΟΣ

ΤΩΝ ΕΝ ΩΡΙΜΩι ΗΛΙΚΙΑι ΚΑΙ ΔΥΝΑΜΕΝΩΝ ΑΠΟΚΡΙΝΕΣΘΑΙ ΥΠΕΡ ΕΑΥΤΩΝ

¶ ΟΤαν τινὲς τῶν ἐν ὡρίμῳ ἡλικίᾳ μέλλωσι βαπτίζεσθαι, ὀφείλουσιν οἱ Γονεῖς, ἢ ἄλλα τινὰ συνετὰ πρόσωπα ἐγκαίρως, καὶ τοὐλάχιστον πρὸ μιᾶς ἑβδομάδος, προειδοποιῆσαι τὸν Ἐπίσκοπον, ἢ ὅντινα αὐτὸς εἰς τοῦτο διορίζει· ἐπὶ σκοπῷ ἵνα οὗτος πρεπόντως μεριμνᾷ περὶ τῆς ἐξετάσεως τῶν βαπτιζομένων, πότερον ἱκανῶς εἰσὶ δεδιδαγμένοι τὰ στοιχεῖα τῆς Χριστιανικῆς Θρησκείας· καὶ ἵνα αὐτοὶ οἱ βαπτιζόμενοι νουθετῶνται εἰς τὸ ἑαυτοὺς μετὰ προσευχῆς καὶ νηστείας προετοιμάσασθαι πρὸς τὴν λῆψιν τούτου τοῦ θείου Μυστηρίου.

¶ Ἐὰν δὲ ἄξιοι εὑρεθῶσιν, εἶτα οἱ Ἀνάδοχοι καὶ αἱ Ἀνάδοχοι (συναθροισθέντος τοῦ λαοῦ τὴν τεταγμένην Κυριακὴν ἢ Ἑορτάσιμον ἡμέραν) ὀφείλουσιν εἶναι ἕτοιμοι εἰς τὸ παρουσιάζειν αὐτοὺς παρὰ τῇ Κολυμβήθρᾳ ἀμέσως μετὰ τὸ δεύτερον Ἀνάγνωσμα, ἢ κατὰ τὴν Πρωινὴν ἢ τὴν Ἑσπερινὴν Ἀκολουθίαν, ὡς ὁ Ἐφημέριος κατὰ τὴν γνώμην αὐτοῦ ἐγκρίνει.

¶ Καὶ ἐκεῖ ἱστάμενος, ὁ Ἱερεὺς ἐρωτᾷ πότερον ἤδη ἐβαπτίσθη τις τῶν παρουσιαζομένων προσώπων ἢ μή· Ἐὰν δὲ ἀποκριθῶσιν ὅτι οὐκ ἐβαπτίσθη· εἶτα λέγει ὁ Ἱερεὺς κατὰ τόνδε τὸν τρόπον.

Ἀγαπητοί, Ἐπειδὴ πάντες ἄνθρωποι συλλαμβάνονται καὶ γεννῶνται ἐν τῇ ἁμαρτίᾳ, (καὶ τὸ γεγεννημένον ἐκ τῆς σαρκὸς σάρξ ἐστι,) οἱ δὲ ἐν σαρκὶ ὄντες Θεῷ ἀρέσαι οὐ δύνανται, ἀλλ' ἐν τῇ ἁμαρτίᾳ ζῶσι, πολλὰ πράσσοντες παραπτώματα προαιρετικά· καὶ ἐπειδὴ ὁ Σωτὴρ ἡμῶν Χριστὸς λέγει ὅτι Οὐδεὶς δύναται εἰσελθεῖν εἰς τὴν βασιλείαν τοῦ Θεοῦ, ἐὰν μὴ ἄνωθεν γεννηθῇ ἐξ ὕδατος καὶ ἁγίου Πνεύματος· Παρακαλῶ ὑμᾶς ἐπικαλεῖσθαι τὸν Θεὸν καὶ Πατέρα, διὰ τοῦ Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ, ἵνα διὰ τὴν ἄφθονον αὐτοῦ ἀγαθότητα ἐκεῖνο χαρίσηται τούτοις τοῖς προσώποις ὃ φύσει οὐ δύνανται κεκτῆσθαι, ὥστε βαπτισθῆναι αὐτοὺς μεθ' ὕδατος καὶ τοῦ ἁγίου Πνεύματος, καὶ δεκτοὺς γενέσθαι εἰς τὴν ἁγίαν τοῦ Χριστοῦ Ἐκκλησίαν, καὶ μέλη ταύτης ζῶντα γενέσθαι.

¶ Εἶτα λέγει ὁ Ἱερεύς,

Δεηθῶμεν.

(¶ Καὶ ἐνταῦθα γονυπετεῖ πᾶν τὸ Ἐκκλησίασμα.)

Ὁ Θεὸς ὁ παντοκράτωρ καὶ αἰώνιος [κτλ. Ὅρα σελ. 275].

Ὁ Θεὸς ὁ παντοκράτωρ καὶ ἄφθαρτος [κτλ. Σελ. 275].

¶ Εἶτα, ἀναστάντος τοῦ λαοῦ, λέγει ὁ Ἱερεύς,

Ἀκούσατε τὰ ῥήματα τοῦ Εὐαγγελίου τοῦ διὰ τοῦ ἁγίου Εὐαγγελιστοῦ Ἰωάννου γεγραμμένου, ἐν τῷ τρίτῳ Κεφαλαίῳ, ἀρχόμενα ἀπὸ τοῦ πρώτου στίχου.

ἮΝ ἄνθρωπος ἐκ τῶν Φαρισαίων, Νικόδημος ὄνομα αὐτῷ, Ἰωάν. Γ΄ 1.
ἄρχων τῶν Ἰουδαίων. Οὗτος ἦλθε πρὸς τὸν Ἰησοῦν νυκτός, καὶ εἶπεν αὐτῷ, Ῥαββί, οἴδαμεν ὅτι ἀπὸ Θεοῦ ἐλήλυθας διδάσκαλος· οὐδεὶς γὰρ ταῦτα τὰ σημεῖα δύναται ποιεῖν ἃ σὺ ποιεῖς, ἐὰν μὴ ᾖ ὁ Θεὸς μετ᾽ αὐτοῦ. Ἀπεκρίθη ὁ Ἰησοῦς καὶ εἶπεν αὐτῷ, Ἀμήν, ἀμὴν λέγω σοι, Ἐὰν μή τις γεννηθῇ ἄνωθεν, οὐ δύναται ἰδεῖν τὴν βασιλείαν τοῦ Θεοῦ. Λέγει πρὸς αὐτὸν ὁ Νικόδημος, Πῶς δύναται ἄνθρωπος γεννηθῆναι γέρων ὤν; Μὴ δύναται εἰς τὴν κοιλίαν τῆς μητρὸς αὐτοῦ δεύτερον εἰσελθεῖν, καὶ γεννηθῆναι; Ἀπεκρίθη ὁ Ἰησοῦς, Ἀμήν, ἀμὴν λέγω σοι, Ἐὰν μή τις γεννηθῇ ἐξ ὕδατος καὶ Πνεύματος οὐ δύναται εἰσελθεῖν εἰς τὴν βασιλείαν τοῦ Θεοῦ. Τὸ γεγεννημένον ἐκ τῆς σαρκὸς σάρξ ἐστι· καὶ τὸ γεγεννημένον ἐκ τοῦ Πνεύματος πνεῦμά ἐστι. Μὴ θαυμάσῃς ὅτι εἶπόν σοι, Δεῖ ὑμᾶς γεννηθῆναι ἄνωθεν. Τὸ πνεῦμα ὅπου θέλει πνεῖ, καὶ τὴν φωνὴν αὐτοῦ ἀκούεις· ἀλλ᾽ οὐκ οἶδας πόθεν ἔρχεται, καὶ ποῦ ὑπάγει· οὕτως ἐστὶ πᾶς ὁ γεγεννημένος ἐκ τοῦ Πνεύματος.

¶ Μεθ᾽ ὃ ἀναγινώσκει ταύτην τὴν ἐφεξῆς ἑπομένην προτροπήν.

ἈΓαπητοί, ἐν τούτῳ τῷ Εὐαγγελίῳ ἠκούσατε τοὺς ῥητοὺς λόγους τοῦ Σωτῆρος ἡμῶν Χριστοῦ, ὅτι ἐὰν μή τις γεννηθῇ ἐξ ὕδατος καὶ Πνεύματος, οὐ δύναται εἰσελθεῖν

εἰς τὴν βασιλείαν τοῦ Θεοῦ. Ὅθεν δύνασθε ἐννοῆσαι τὴν μεγάλην ἀνάγκην τοῦ Μυστηρίου τούτου, ὅταν δυνηθῇ ληφθῆναι αὐτό. Ὡσαύτως καὶ ἀμέσως πρὸ τῆς ἀναβάσεως αὐτοῦ εἰς τοὺς οὐρανούς (ὡς ἀναγινώσκομεν ἐν τῷ τελευταίῳ Κεφαλαίῳ τοῦ κατὰ Μάρκον ἁγίου Εὐαγγελίου,) παρήγγειλεν τοῖς αὐτοῦ μαθηταῖς, λέγων, Πορευθέντες εἰς τὸν κόσμον ἅπαντα κηρύξατε τὸ Εὐαγγέλιον πάσῃ τῇ κτίσει. Ὁ πιστεύων καὶ βαπτισθεὶς σωθήσεται· ὁ δὲ ἀπιστήσας κατακριθήσεται. Ὃ καὶ δηλοῖ ἡμῖν τὴν μεγάλην ἐκ τοῦ Βαπτίσματος καρπουμένην εὐεργεσίαν. Διὸ καὶ ὁ ἅγιος Ἀπόστολος Πέτρος, ὅτε τὸ πρῶτον αὐτοῦ κηρύξαντος τὸ Εὐαγγέλιον πολλοὶ κατενύγησαν τὴν καρδίαν, εἶπόν τε πρὸς αὐτὸν καὶ τοὺς λοιποὺς Ἀποστόλους, Τί ποιήσομεν, ἄνδρες ἀδελφοί; ἀποκρινόμενος ἔφη πρὸς αὐτούς, Μετανοήσατε καὶ βαπτισθήτω ἕκαστος ὑμῶν εἰς ἄφεσιν ἁμαρτιῶν, καὶ λήψεσθε τὴν δωρεὰν τοῦ ἁγίου Πνεύματος. Ὑμῖν γάρ ἐστιν ἡ ἐπαγγελία καὶ τοῖς τέκνοις ὑμῶν, καὶ πᾶσι τοῖς εἰς μακράν, ὅσους ἂν προσκαλέσηται Κύριος ὁ Θεὸς ἡμῶν. Ἑτέροις τε λόγοις πλείοσι παρεκάλει, λέγων, Σώθητε ἀπὸ τῆς γενεᾶς τῆς σκολιᾶς ταύτης. Ἐπειδὴ (ὡς ἄλλοθι μαρτυρεῖ ὁ αὐτὸς Ἀπόστολος) νῦν ἡμᾶς σώζει Βάπτισμα, (οὐ σαρκὸς ἀπόθεσις ῥύπου, ἀλλὰ συνειδήσεως ἀγαθῆς ἐπερώτημα εἰς Θεόν) δι' ἀναστάσεως Ἰησοῦ Χριστοῦ. Ἆρ' οὖν μὴ ἀμφιβάλλετε ὑμεῖς, ἀλλ' εὐτόνως πιστεύετε ὅτι ἵλεως προσδέξεται ταῦτα τὰ παρόντα πρόσωπα, τὰ εἰλικρινῶς μετανοοῦντα καὶ διὰ πίστεως προσιόντα αὐτῷ, ὅτι χαρίσεται αὐτοῖς τὴν ἄφεσιν τῶν ἁμαρτιῶν αὐτῶν, καὶ δωρήσεται αὐτοῖς τὸ Πνεῦμα τὸ ἅγιον· ὅτι παρέξεται αὐτοῖς τὴν εὐλογίαν τῆς ζωῆς τῆς αἰωνίου, καὶ μετόχους αὐτοὺς ποιήσει τῆς ἀϊδίου αὐτοῦ βασιλείας.

Διὸ οὕτω πεπεισμένοι περὶ τῆς πρὸς ταῦτα τὰ πρόσωπα εὐδοκίας τοῦ ἐπουρανίου Πατρὸς ἡμῶν, τῆς διὰ τοῦ Υἱοῦ αὐτοῦ

Ἰησοῦ Χριστοῦ ἀπαγγελθείσης· μετὰ πίστεως καὶ εὐλαβείας εὐχαριστήσωμεν Αὐτῷ, λέγοντες,

Ὁ Θεὸς ὁ παντοκράτωρ καὶ αἰώνιος, ὁ Πατὴρ ὁ ἐπουράνιος [κτλ. Ὅρα σελ. 277].

¶ Εἶτα ὁ Ἱερεὺς τοὺς βαπτιζομένους προσαγορεύει κατὰ τοῦτον τὸν τρόπον.

Ἀγαπητοί, οἱ ὧδε προσελθόντες βουλόμενοι τὸ ἅγιον λαβεῖν Βάπτισμα, ἠκούσατε ὅπως προσηύξατο τὸ ἐκκλησίασμα ἵνα καταξιώσῃ ὁ Κύριος ἡμῶν Ἰησοῦς Χριστὸς προσδέξασθαι καὶ εὐλογῆσαι ὑμᾶς, ἀπολῦσαι ὑμᾶς τῶν ἁμαρτιῶν ὑμῶν, δοῦναι ὑμῖν τὴν βασιλείαν τῶν οὐρανῶν καὶ ζωὴν αἰώνιον. Ἔτι δὲ καὶ ἠκούσατε ὅτι ὁ Κύριος ἡμῶν Ἰησοῦς Χριστὸς ἐπηγγείλατο ἐν τῷ ἁγίῳ λόγῳ αὐτοῦ πάντα ταῦτα ὅσα ᾐτησάμεθα χαρίσασθαι· ἥντινα ἐπαγγελίαν Αὐτὸς τὸ καθ' ἑαυτὸν βεβαιότατα τηρήσει καὶ ἐκτελέσει.

Ὅθεν μετὰ ταύτην τὴν ἐπαγγελίαν τὴν ὑπὸ τοῦ Χριστοῦ προενεχθεῖσαν, καὶ ὑμᾶς τὸ καθ' ἑαυτοὺς χρὴ πιστῶς ὑποσχέσθαι ἔναντι τούτων τῶν μαρτύρων ὑμῶν, καὶ τούτου τοῦ ἐκκλησιάσματος ἅπαντος, ὅτι ἀποτάξεσθε τῷ διαβόλῳ καὶ πᾶσι τοῖς ἔργοις αὐτοῦ, καὶ πιστεύσετε διηνεκῶς τῷ ἁγίῳ λόγῳ τοῦ Θεοῦ, καὶ τὰς ἐντολὰς αὐτοῦ ὑπηκόως τηρήσετε.

¶ Εἶτα ἐρωτᾷ ὁ Ἱερεὺς τοὺς βαπτιζομένους καθ' ἕνα ταύτας τὰς ἐφεξῆς ἐρωτήσεις.

Ἀποτάσσῃ τῷ διαβόλῳ καὶ πᾶσι τοῖς ἔργοις αὐτοῦ [κτλ. Ὅρα σελ. 278].

Πιστεύεις εἰς Θεὸν Πατέρα Παντοκράτορα [κτλ.].

Θέλεις βαπτισθῆναι [κτλ.].

Θέλεις οὖν ὑπηκόως τηρεῖν [κτλ.].

¶ Εἶτα λέγει ὁ Ἱερεύς,

Θεὲ οἰκτίρμον, χάρισαι [κτλ. Σελ. 279].

ΧΑρισαι ἵνα πάντα τὰ σαρκικά [κτλ.].

ΧΑρισαι ἵνα σχῇ τὴν δύναμιν [κτλ.].

ΧΑρισαι ἵνα πᾶς ὁ ἐνταῦθα [κτλ.].

Ὁ Θεὸς ὁ παντοκράτωρ καὶ ἀεὶ ζῶν [κτλ.].

¶ Εἶτα ὁ Ἱερεὺς ἐπιλαβόμενος ἑνὸς ἑκάστου τῶν βαπτιζομένων τῆς δεξιᾶς, καὶ καθιστῶν αὐτὸν προσφόρως κατὰ τὴν κρίσιν αὐτοῦ παρὰ τῇ Κολυμβήθρᾳ, ἀπαιτεῖ τὸ Ὄνομα παρὰ τῶν Ἀναδόχων· καὶ εἶτα βαπτίζει αὐτὸν εἰς τὸ ὕδωρ, ἢ ὕδωρ ἐπ' αὐτὸν ἐπιχέει, λέγων,

Ὁ Δεῖνα Ἐγὼ βαπτίζω σε Εἰς τὸ Ὄνομα τοῦ Πατρός, καὶ τοῦ Υἱοῦ, καὶ τοῦ ἁγίου Πνεύματος. Ἀμήν.

¶ Εἶτα λέγει ὁ Ἱερεύς,

ΠΡοσδεχόμεθα τοῦτο τὸ πρόσωπον εἰς τὸν συναθροισμόν [κτλ. Σελ. 280].

Ἐπειδή, ἀγαπητοὶ ἀδελφοί, ταῦτα τὰ πρόσωπα ἀναγεγεννημένα εἰσὶ καὶ ἐγκεκεντρισμένα [κτλ.].

¶ Εἶτα λέγεται ἡ Κυριακὴ Προσευχή, πάντων γονυπετούντων.

ΠΑτερ ἡμῶν.

ΕΥχαριστοῦμέν σοι ἐξ ὅλης καρδίας [κτλ.].

¶ Εἶτα, πάντων ἀναστάντων, ὁ Ἱερεὺς ἀναγινώσκει ταύτην τὴν ἐφεξῆς παραίνεσιν· πρῶτον τοῖς Ἀνάδοχοις καὶ ταῖς Ἀναδόχοις προσλαλῶν.

Ἐπειδὴ ὑπέσχοντο ἔναντι ὑμῶν τὰ πρόσωπα ταῦτα ὅτι ἀποτάξονται τῷ διαβόλῳ καὶ πᾶσι τοῖς ἔργοις αὐτοῦ, ὅτι πιστεύσουσιν εἰς Θεόν, καὶ δουλεύσουσιν αὐτῷ· ἐν τούτοις ὑμᾶς δεῖ μεμνῆσθαι ὅτι ὑμέτερόν ἐστι μέρος καὶ καθῆκον τὸ ὑπομνῆσαι αὐτοὺς ποίαν ἐνθάδε ἐποιήσαντο σεμνοπρεπῆ εὐχήν, ὑπόσχεσιν καὶ ἐπαγγελίαν ἐνώπιον τούτου τοῦ ἐκκλησιάσματος, καὶ ἐν πρώτοις ἐνώπιον ὑμῶν τῶν ἐκλεκτῶν αὐτῶν μαρτύρων. Ἔτι δὲ καὶ ὀφείλετε παρακαλέσαι αὐτοὺς σπουδάζειν ὀρθῶς διδάσκεσθαι τὸν ἅγιον λόγον τοῦ Θεοῦ, ἵνα οὕτως

αὐξάνωσιν ἐν χάριτι, καὶ γνώσει τοῦ Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ, καὶ εὐσεβῶς, δικαίως καὶ σωφρόνως ζῶσιν ἐν τῷ νῦν αἰῶνι.

(¶ *Εἶτα, τοῖς νεοφωτίστοις προσλαλῶν, προβαίνει λέγων,*)

ΥΜῶν δέ, τῶν νῦν διὰ τοῦ Βαπτίσματος ἐνδυσαμένων τὸν Χριστόν, τὸ μέρος καὶ καθῆκόν ἐστι, τέκνων γενομένων τοῦ Θεοῦ καὶ τοῦ φωτὸς διὰ πίστεως εἰς Ἰησοῦν Χριστόν, περιπατεῖν ἁρμοδίως πρὸς τὴν Χριστιανικὴν ὑμῶν κλῆσιν, καὶ ὡς πρέπει τοῖς τέκνοις τοῦ φωτός· μεμνημένων πάντοτε ὅτι εἰκονίζει ἡμῖν τὸ Βάπτισμα τὴν ἐπαγγελίαν ἡμῶν· δηλαδή, τοῦ μιμεῖσθαι τὸν ὑπογραμμὸν τοῦ Σωτῆρος ἡμῶν Χριστοῦ, καὶ Αὐτῷ ἀφομοιοῦσθαι· ἵνα ὥσπερ Αὐτὸς ἀπέθανεν, καὶ ἠγέρθη ὑπὲρ ἡμῶν, οὕτω καὶ ἡμεῖς οἱ βαπτισθέντες ἀποθάνωμεν τῇ ἁμαρτίᾳ, καὶ ἀναστῶμεν τῇ δικαιοσύνῃ, νεκροῦντες διηνεκῶς πάντα τὰ πονηρὰ καὶ φθαρτὰ ἡμῶν πάθη, καὶ ὁσημέραι προβαίνοντες ἐν πάσῃ ἀρετῇ καὶ εὐσεβείᾳ τοῦ βίου.

¶ *Συμφέρει ἵνα πᾶν πρόσωπον οὕτω βαπτισθὲν βεβαιωθῇ ὑπὸ τοῦ Ἐπισκόπου ὡς δυνατόν ἐστι τάχιστα μετὰ τὸ Βάπτισμα αὐτοῦ· ἵνα οὕτως δεκτὸν γένηται πρὸς τὴν θείαν Κοινωνίαν.*

¶ *Εἴ τι πρόσωπον, μὴ βεβαπτισμένον ἐν νηπιότητι, προσφέρηται εἰς τὸ Βάπτισμα πρὸ τοῦ εἰς ἡλικίαν ἐλθεῖν τοῦ ἀποκρίνεσθαι ὑπὲρ ἑαυτοῦ· ἐπαρκεῖ τῇ Ἀκολουθίᾳ χρῆσθαι τῇ εἰς τὸ Δημοσιᾳ Βάπτισμα τῶν νηπίων, ἢ (ἐπ' ἐσχάτῳ κινδύνῳ) τῇ εἰς τὸ Ἰδίᾳ Βάπτισμα, ἀλλασσομένου μόνου τοῦ ῥήματος [Νηπίου] εἰς τὸ [Παιδίον ἢ Πρόσωπον] καθὼς ἀπαιτεῖ ἡ περίπτωσις.*

ΚΑΤΗΧΗΣΙΣ

ΗΓΟΥΝ

ΔΙΔΑΣΚΑΛΙΑ ΗΝ ΠΑΣ ΕΚΑΣΤΟΣ ΟΦΕΙΛΕΙ ΕΚΜΑΘΕΙΝ, ΠΡΙΝ Η ΠΡΟΣΑΧΘΗι ΕΙΣ ΒΕΒΑΙΩΣΙΝ ΥΠΟ ΤΟΥ ΕΠΙΣΚΟΠΟΥ

Ἐρώτησις.

ΠΟῖον τὸ ὄνομά σου;

Ἀπόκρισις.

Δεῖνα, ἢ δεῖνα.

Ἐρώτησις.

Τίς ἔδωκέ σοι τὸ ὄνομα τοῦτο;

Ἀπόκρισις.

Οἱ Ἀνάδοχοι καὶ αἱ Ἀνάδοχοί μου κατὰ τὴν ἐμὴν Βάπτισιν, δι' ἧς ἐγενόμην μέλος Χριστοῦ, τέκνον Θεοῦ, καὶ κληρονόμος τῆς Βασιλείας τῶν οὐρανῶν.

Ἐρώτησις.

Τί δὲ ἔπραξαν τότε ὑπὲρ σοῦ οἱ Ἀνάδοχοι καὶ αἱ Ἀνάδοχοί σου;

Ἀπόκρισις.

Ὑπέσχοντο καὶ ἔταξαν ἐν ὀνόματί μου τρία τινά. Πρῶτον, ὅτι ἀποτάξομαι τῷ διαβόλῳ καὶ πᾶσι τοῖς ἔργοις αὐτοῦ, τῇ πομπῇ καὶ τῇ ματαιότητι τοῦ πονηροῦ τούτου κόσμου, καὶ πάσαις ταῖς ἀνόμοις ἐπιθυμίαις τῆς σαρκός. Δεύτερον, ὅτι πιστεύσω πᾶσι τῆς Χριστιανικῆς Πίστεως τοῖς Κεφαλαίοις. Καὶ τρίτον, ὅτι τηρήσω τὸ ἅγιον τοῦ Θεοῦ θέλημα καὶ τὰς ἐντολὰς αὐτοῦ, καὶ περιπατήσω ἐν αὐταῖς πάσας τὰς ἡμέρας τῆς ζωῆς μου.

Ἐρώτησις.

Φρονεῖς λοιπὸν ὅτι ὑπόχρεως εἶ πιστεύειν, καὶ πράττειν, καθὰ ἐκεῖνοι ὑπέσχοντο ὑπὲρ σοῦ;

Ἀπόκρισις.

Ναί, τῇ ἀληθείᾳ· καὶ δὴ καὶ οὕτω ποιήσω, τοῦ Θεοῦ βοηθοῦντος. Εὐχαριστῶ δὲ τῷ ἐπουρανίῳ ἡμῶν Πατρὶ ἐξ ὅλης καρδίας, ὅτι εἰς ταύτην ἐκάλεσέ με τὴν τῆς σωτηρίας κατάστασιν, δι' Ἰησοῦ Χριστοῦ τοῦ Σωτῆρος ἡμῶν. Καὶ δέομαι τοῦ Θεοῦ δοῦναί μοι τὴν χάριν αὐτοῦ, ὥστε μένειν ἐν αὐτῇ μέχρι τέλους τῆς ζωῆς μου.

Κατηχητής.

Λέγε τὰ Κεφάλαια τῆς πίστεώς σου.

Ἀπόκρισις.

Πιστεύω εἰς Θεὸν Πατέρα Παντοκράτορα, Ποιητὴν οὐρανοῦ καὶ γῆς·

Καὶ εἰς Ἰησοῦν Χριστὸν τὸν Υἱὸν αὐτοῦ τὸν μονογενῆ, τὸν Κύριον ἡμῶν· Συλληφθέντα ἐκ Πνεύματος Ἁγίου, Γεννηθέντα ἐκ Μαρίας τῆς Παρθένου, Παθόντα ἐπὶ Ποντίου Πιλάτου, Σταυρωθέντα, θανόντα καὶ ταφέντα, Κατελθόντα εἰς ᾅδου, Τῇ τρίτῃ ἡμέρᾳ ἀναστάντα ἐκ τῶν νεκρῶν, Ἀναβάντα εἰς τοὺς οὐρανούς, Καὶ καθήμενον ἐν δεξιᾷ Θεοῦ Πατρὸς Παντοκράτορος· Ὅθεν ἔρχεται κρῖναι ζῶντας καὶ νεκρούς.

Πιστεύω εἰς τὸ Πνεῦμα τὸ ἅγιον, Ἁγίαν Καθολικὴν Ἐκκλησίαν, Ἁγίων κοινωνίαν, Ἄφεσιν ἁμαρτιῶν, Σαρκὸς ἀνάστασιν, Καὶ ζωὴν αἰώνιον. Ἀμήν.

Ἐρώτησις.

Τί κυρίως μανθάνεις ἐν τοῖς Κεφαλαίοις τούτοις τῆς πίστεώς σου;

Ἀπόκρισις.

Πρῶτον, μανθάνω πιστεύειν εἰς Θεὸν τὸν Πατέρα, τὸν δημιουργήσαντα ἐμὲ καὶ ὅλον τὸν κόσμον.

Δεύτερον, εἰς Θεὸν τὸν Υἱόν, τὸν λυτρώσαντά με, καὶ σύμπαν τὸ ἀνθρώπινον γένος.

Τρίτον, εἰς Θεὸν τὸ ἅγιον Πνεῦμα, τὸν ἁγιάζοντα ἐμέ, καὶ πάντα τὸν ἐκλεκτὸν τοῦ Θεοῦ λαόν.

ΚΑΤΗΧΗΣΙΣ

'Ερώτησις.

Εἶπας ὅτι οἱ 'Ανάδοχοι καὶ αἱ 'Ανάδοχοί σου ὑπέσχοντο ὑπὲρ σοῦ, ὅτι τηρήσεις τὰς ἐντολὰς τοῦ Θεοῦ. Λέγε μοι πόσαι εἰσὶν αὗται;

'Απόκρισις.

Δέκα.

'Ερώτησις.

Καὶ ποῖαι αὗται;

'Απόκρισις.

ΑΥταὶ ἐκεῖναι ἃς ἐλάλησεν ὁ Θεὸς ἐν τῷ εἰκοστῷ Κεφαλαίῳ τῆς 'Εξόδου, λέγων, 'Εγώ εἰμι Κύριος ὁ Θεός σου, ὁ ἐξαγαγών σε ἐκ γῆς Αἰγύπτου, ἐξ οἴκου δουλείας.

Α'. Οὐκ ἔσονταί σοι Θεοὶ ἕτεροι πλὴν ἐμοῦ.

Β'. Οὐ ποιήσεις σεαυτῷ εἴδωλον, οὐδὲ παντὸς ὁμοίωμα, ὅσα ἐν τῷ οὐρανῷ ἄνω, καὶ ὅσα ἐν τῇ γῇ κάτω, καὶ ὅσα ἐν τοῖς ὕδασιν ὑποκάτω τῆς γῆς. Οὐ προσκυνήσεις αὐτοῖς, οὐδὲ μὴ λατρεύσῃς αὐτοῖς. 'Εγὼ γάρ εἰμι Κύριος ὁ Θεός σου, Θεὸς ζηλωτής, ἀποδιδοὺς ἁμαρτίας πατέρων ἐπὶ τέκνα ἕως τρίτης καὶ τετάρτης γενεᾶς τοῖς μισοῦσί με, καὶ ποιῶν ἔλεος εἰς χιλιάδας τοῖς ἀγαπῶσί με, καὶ τοῖς φυλάσσουσι τὰ προστάγματά μου.

Γ'. Οὐ λήψῃ τὸ Ὄνομα Κυρίου τοῦ Θεοῦ σου ἐπὶ ματαίῳ· οὐ γὰρ μὴ καθαρίσῃ Κύριος τὸν λαμβάνοντα τὸ Ὄνομα αὐτοῦ ἐπὶ ματαίῳ.

Δ'. Μνήσθητι τὴν ἡμέραν τῶν σαββάτων τοῦ ἁγιάζειν αὐτήν. Ἓξ ἡμέρας ἐργᾷ, καὶ ποιήσεις πάντα τὰ ἔργα σου· τῇ δὲ ἡμέρᾳ τῇ ἑβδόμῃ Σάββατα Κυρίῳ τῷ Θεῷ σου. Οὐ ποιήσεις ἐν αὐτῇ πᾶν ἔργον, σύ, καὶ ὁ υἱός σου, καὶ ἡ θυγάτηρ σου, ὁ παῖς σου καὶ ἡ παιδίσκη σου, τὸ κτῆνός σου καὶ ὁ προσήλυτος ὁ παροικῶν ἐν σοί. 'Εν γὰρ ἓξ ἡμέραις ἐποίησε Κύριος τόν τε οὐρανὸν καὶ τὴν γῆν καὶ τὴν θάλασσαν, καὶ πάντα τὰ ἐν αὐτοῖς, καὶ κατέπαυσεν ἐν τῇ ἡμέρᾳ τῇ ἑβδόμῃ· διὰ τοῦτο ηὐλόγησε Κύριος τὴν ἡμέραν τὴν ἑβδόμην, καὶ ἡγίασεν αὐτήν.

Ε'. Τίμα τὸν πατέρα σου καὶ τὴν μητέρα σου, ἵνα μακροχρόνιος γένῃ ἐπὶ τῆς γῆς, ἧς Κύριος ὁ Θεός σου δίδωσί σοι.

Ϛ'. Οὐ φονεύσεις.

Ζ'. Οὐ μοιχεύσεις.

Η'. Οὐ κλέψεις.

Θ'. Οὐ ψευδομαρτυρήσεις κατὰ τοῦ πλησίον σου μαρτυρίαν ψευδῆ.

Ι'. Οὐκ ἐπιθυμήσεις τὴν οἰκίαν τοῦ πλησίον σου, οὐκ ἐπιθυμήσεις τὴν γυναῖκα τοῦ πλησίον σου, οὐδὲ τὸν παῖδα αὐτοῦ, οὐδὲ τὴν παιδίσκην αὐτοῦ, οὔτε τοῦ βοὸς αὐτοῦ, οὔτε τοῦ ὑποζυγίου αὐτοῦ, οὔτε ὅσα τῷ πλησίον σού ἐστι.

Ἐρώτησις.

Τί κυρίως μανθάνεις ἐκ τῶν ἐντολῶν τούτων;

Ἀπόκρισις.

Μανθάνω δύο τινά· τὸ πρὸς τὸν Θεὸν καθῆκόν μου, καὶ τὸ καθῆκόν μου πρὸς τὸν πλησίον.

Ἐρώτησις.

Ποῖον τὸ σὸν καθῆκον πρὸς τὸν Θεόν;

Ἀπόκρισις.

Τὸ ἐμὸν πρὸς τὸν Θεὸν καθῆκόν ἐστι, τὸ πιστεύειν εἰς αὐτόν, φοβεῖσθαι αὐτόν, καὶ ἀγαπᾷν αὐτὸν ἐξ ὅλης τῆς καρδίας, ἐξ ὅλης τῆς διανοίας, ἐξ ὅλης τῆς ψυχῆς, καὶ ἐξ ὅλης τῆς ἐμῆς ἰσχύος· τὸ λατρεύειν αὐτόν, εὐχαριστεῖν αὐτῷ, αὐτῷ ἀναθέτειν πᾶσαν τὴν ἐμὴν πεποίθησιν, τὸ ἐπικαλεῖσθαι αὐτόν, τιμᾷν τὸ ἅγιον αὐτοῦ Ὄνομα καὶ τὸν Λόγον αὐτοῦ· καὶ πιστῶς δουλεύειν αὐτῷ πάσας τὰς ἡμέρας τῆς ζωῆς μου.

Ἐρώτησις.

Ποῖον τὸ σὸν καθῆκον πρὸς τὸν πλησίον;

Ἀπόκρισις.

Τὸ ἐμὸν πρὸς τὸν πλησίον καθῆκόν ἐστι, τὸ ἀγαπᾷν αὐτὸν ὡς ἐμαυτόν, καὶ οὕτω ποιεῖν πᾶσιν ἀνθρώποις, ὡς ἂν θέλοιμι ἵνα

αὐτοὶ ποιῶσιν ἐμοί. Τὸ ἀγαπᾷν, τιμᾷν καὶ περιθάλπειν πατέρα καὶ μητέρα. Τιμᾷν τὸν Βασιλέα καὶ ὑπακούειν αὐτῷ, καὶ πᾶσι τοῖς ὑπ᾽ αὐτὸν ἐν ἐξουσίᾳ τεταγμένοις. Τὸ ὑποτάττεσθαι πᾶσι τοῖς καθοδηγοῦσί με, τοῖς ἐπιστάταις, πνευματικοῖς ποιμέσι καὶ διδασκάλοις μου. Τὸ διαθέτειν ἐμαυτὸν ταπεινῶς καὶ σεμνῶς πρὸς πάντας τοὺς κρείττονας ἐμοῦ. Μηδένα βλάπτειν λόγῳ, ἢ ἔργῳ. Πιστὸν καὶ δίκαιον εἶναι ἐν πάσαις ταῖς συναλλαγαῖς μου. Μηδεμίαν ὑποθάλπειν ἐν τῇ καρδίᾳ κακίαν, μηδὲν μῖσος. Τὸ ἀπείργειν τὰς μὲν χεῖρας ὑπεξαιρέσεως ἢ κλοπῆς, τὴν δὲ γλῶσσαν κακολογίας, ψεύδους καὶ διαβολῆς. Τηρεῖν τὸ σῶμα ἐν ἐγκρατείᾳ, νηφαλιότητι, καὶ ἁγνείᾳ. Μὴ ἐπιθυμεῖν μηδὲ ὀρέγεσθαι τῶν ἀλλοτρίων ἀγαθῶν· ἀλλὰ μανθάνειν καὶ μοχθεῖν τὰ πρὸς ζωάρκειαν ἀδόλως πορίζεσθαι, καὶ τὸ ἐμὸν ἐπιτελεῖν καθῆκον ἐν οἵᾳ ἂν στάσει βίου εὐδοκήσῃ ὁ Θεὸς καταστῆσαί με.

Κατηχητής.

Τέκνον, τοῦτο μάθε, ὅτι ἀφ᾽ ἑαυτοῦ οὐδόλως ἰσχύεις ταῦτα πράττειν, οὐδὲ πορεύεσθαι ἐν ταῖς ἐντολαῖς τοῦ Θεοῦ, καὶ λατρεύειν αὐτόν, ἂν μὴ τύχῃς τῆς ἰδίας αὐτοῦ χάριτος, ἣν ὀφείλεις μαθεῖν ἐν παντὶ καιρῷ ἐπικαλεῖσθαι διὰ προσευχῆς ἐνδελεχοῦς. Ἄγε λοιπόν, καὶ ἀκροάσομαί σου λέγοντος τὴν Κυριακὴν προσευχήν.

Ἀπόκρισις.

ΠΑτερ ἡμῶν ὁ ἐν τοῖς οὐρανοῖς· Ἁγιασθήτω τὸ Ὄνομά σου. Ἐλθέτω ἡ βασιλεία σου. Γενηθήτω τὸ θέλημά σου, Ὡς ἐν οὐρανῷ, καὶ ἐπὶ τῆς γῆς. Τὸν ἄρτον ἡμῶν τὸν ἐπιούσιον δὸς ἡμῖν σήμερον. Καὶ ἄφες ἡμῖν τὰ ὀφειλήματα ἡμῶν, Ὡς καὶ ἡμεῖς ἀφίεμεν τοῖς ὀφειλέταις ἡμῶν. Καὶ μὴ εἰσενέγκῃς ἡμᾶς εἰς πειρασμόν· Ἀλλὰ ῥῦσαι ἡμᾶς ἀπὸ τοῦ πονηροῦ. Ἀμήν.

Ἐρώτησις.

Τί ἐξαιτῇ παρὰ τοῦ Θεοῦ ἐν τῇ προσευχῇ ταύτῃ ;

'Απόκρισις.

Αἰτοῦμαι Κύριον τὸν Θεόν μου τὸν ἐπουράνιον ἡμῶν Πατέρα, τὸν δοτῆρα πάντων τῶν ἀγαθῶν, ἐπιπέμψαι ἐμοί τε καὶ πᾶσιν ἀνθρώποις τὴν χάριν αὐτοῦ, ἵνα λατρεύωμεν αὐτῷ, δουλεύωμεν αὐτῷ, καὶ ὑπακούωμεν αὐτῷ καθάπερ ὀφείλομεν. Δέομαι τοῦ Θεοῦ καταπέμψαι πάντα τὰ ἀναγκαῖα ταῖς ψυχαῖς καὶ τοῖς σώμασιν ἡμῶν· καὶ ἵλεων εἶναι ἡμῖν, καὶ ἀφιέναι τὰ ἁμαρτήματα ἡμῶν· καὶ εὐδοκῆσαι σώζειν καὶ φρουρεῖν ἡμᾶς ἐν παντὶ κινδύνῳ ψυχῆς τε καὶ σώματος· καὶ φυλάττειν ἡμᾶς ἀπὸ πάσης ἁμαρτίας καὶ πονηρίας καὶ ἀπὸ τοῦ πνευματικοῦ ἡμῶν ἐχθροῦ, καὶ ἀπὸ θανάτου αἰωνίου. Πέποιθα δὲ ὅτι δώσει ἡμῖν ταῦτα ἐξ ἐλέους καὶ ἀγαθότητος Αὐτοῦ, διὰ τοῦ Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ. Διὸ καὶ ἐπιλέγω, Ἀμήν, τουτέστιν, Οὕτω γένοιτο.

'Ερώτησις.

ΠΟσα Μυστήρια κατέστησεν ὁ Χριστὸς ἐν τῇ Ἐκκλησίᾳ Αὐτοῦ;

'Απόκρισις.

Δύο μόνον, ὡς καθόλου ἀναγκαῖα εἰς σωτηρίαν, ἤτοι τὸ Βάπτισμα, καὶ τὸ Δεῖπνον τὸ Κυριακόν.

'Ερώτησις.

Τί νοεῖς διὰ τῆς λέξεως ταύτης, Μυστήριον;

'Απόκρισις.

Νοῶ ἐξωτερικόν τι καὶ ὁρατὸν σημεῖον ἐσωτέρας καὶ πνευματικῆς χάριτος, δαψιλευομένης ἡμῖν, διαταχθὲν ὑπ' αὐτοῦ τοῦ Χριστοῦ, ὡς μέσον δι' οὗ τυγχάνομεν τῆς χάριτος, καὶ ὡς ἐχέγγυον βεβαιοῦν ἡμᾶς περὶ τούτου.

'Ερώτησις.

Πόσα μέρη εἰσὶν ἐν τῷ Μυστηρίῳ;

'Απόκρισις.

Δύο· τὸ ἐξωτερικὸν ὁρατὸν σημεῖον, καὶ ἡ ἐσωτέρα πνευματικὴ χάρις.

Ἐρώτησις.

Ποῖον τὸ ἐξωτερικὸν καὶ ὁρατὸν σημεῖον ἤτοι σχῆμα ἐν τῷ Βαπτίσματι ;

Ἀπόκρισις.

Τὸ ὕδωρ· ἐν ᾧ ὁ βαπτιζόμενος βαπτίζεται, Εἰς τὸ Ὄνομα τοῦ Πατρός, καὶ τοῦ Υἱοῦ, καὶ τοῦ ἁγίου Πνεύματος.

Ἐρώτησις.

Ποία ἡ ἐσωτέρα καὶ πνευματικὴ χάρις ;

Ἀπόκρισις.

Θάνατος τῇ ἁμαρτίᾳ, καὶ ἀναγέννησις εἰς δικαιοσύνην· ἐπειδή, φύσει ἐν ἁμαρτίᾳ γεννηθέντες, καὶ τέκνα ὀργῆς ὄντες, γινόμεθα ἐντεῦθεν τέκνα χάριτος.

Ἐρώτησις.

Τί ἀπαιτεῖται παρὰ τῶν βαπτιζομένων ;

Ἀπόκρισις.

Μετάνοια, δι' ἧς παραιτοῦνται τὴν ἁμαρτίαν· καὶ πίστις, δι' ἧς ἑδραίως πιστεύουσι ταῖς ἐπαγγελίαις τοῦ Θεοῦ, ταῖς πρὸς αὐτοὺς γενομέναις ἐν τῷ Μυστηρίῳ τούτῳ.

Ἐρώτησις.

Διατί λοιπὸν βαπτίζονται τὰ βρέφη, τὰ διὰ τὸ τρυφερὸν τῆς ἡλικίας μὴ δυνάμενα ποιεῖν ταῦτα ;

Ἀπόκρισις.

Διότι ὑπισχνοῦνται ἀμφότερα ταῦτα διὰ τῶν ἐγγυητῶν αὐτῶν· ἥντινα ὑπόσχεσιν ὀφείλουσιν ἐνηλικιωθέντα πραγματῶσαι.

Ἐρώτησις.

Διατί διετάχθη τὸ Μυστήριον τοῦ Δείπνου τοῦ Κυριακοῦ ;

Ἀπόκρισις.

Πρὸς διηνεκῆ ἀνάμνησιν τῆς τοῦ θανάτου τοῦ Χριστοῦ θυσίας, καὶ τῶν εὐεργεσιῶν ὧν δι' αὐτῆς λαμβάνομεν.

ΚΑΤΗΧΗΣΙΣ

Ἐρώτησις.

Ποῖον τὸ ἐξωτερικὸν μέρος ἢ σημεῖον τοῦ Κυριακοῦ Δείπνου ;

Ἀπόκρισις.

Ἄρτος καὶ οἶνος, ἃ ὁ Κύριος προσέταξε λαμβάνεσθαι.

Ἐρώτησις.

Ποῖον τὸ ἐσωτερικὸν μέρος, ἤτοι τὸ σημαινόμενον ;

Ἀπόκρισις.

Τὸ σῶμα καὶ αἷμα τοῦ Χριστοῦ, ὧν ἀληθῶς καὶ ὄντως μεταλαμβάνουσιν οἱ πιστοί, καὶ εἰσδέχονται αὐτά, ἐν τῷ Κυριακῷ Δείπνῳ.

Ἐρώτησις.

Ποῖα τὰ εὐεργετήματα ὧν ἐντεῦθεν μετέχομεν ;

Ἀπόκρισις.

Ἡ ἐπίρρωσις καὶ ἀνάψυξις τῶν ψυχῶν ἡμῶν διὰ τοῦ σώματος καὶ αἵματος τοῦ Χριστοῦ, καθʼ ὃν τρόπον τὰ σώματα ἡμῶν ἀναρρωννύονται διὰ τοῦ ἄρτου καὶ οἴνου.

Ἐρώτησις.

Τί ἀπαιτεῖται παρὰ τῶν προσερχομένων εἰς τὸ Δεῖπνον τοῦ Κυρίου ;

Ἀπόκρισις.

Τὸ ἐξετάζειν ἑαυτούς, ἂν ἀληθῶς μετανοῶσιν ἐπὶ τοῖς προημαρτημένοις, ἑδραίως προτιθέμενοι καινὸν διάγειν βίον· ἂν ἔχωσι πίστιν ζῶσαν εἰς τὸ ἔλεος τοῦ Θεοῦ διὰ τοῦ Χριστοῦ, μετʼ εὐγνώμονος ἀναμνήσεως τοῦ θανάτου αὐτοῦ· καὶ ἂν διατελῶσιν ἐν ἀγάπῃ πρὸς πάντας.

¶ Ὁ Ἐφημέριος ἑκάστης Ἐνορίας ὀφείλει κατὰ Κυριακὰς καὶ τὰς Ἑορτασίμους ἡμέρας, μετὰ τὸ δεύτερον τῆς Ἑσπερινῆς Ἀκολουθίας Ἀνάγνωσμα, ἐπιμελῶς καὶ δημοσίᾳ ἐν τῇ Ἐκκλησίᾳ διδάσκειν μέρη τινὰ τῆς Κατηχήσεως ταύτης καὶ ἐξετάζειν ὅσα τῶν ἐκ τῆς Ἐνορίας σταλέντων παιδίων κρίνει εὔλογον.

¶ Πάντες δὲ οἱ Πατέρες, αἱ Μητέρες, οἱ Οἰκοδεσπόται καὶ αἱ Δέσποιναι, ὀφείλουσι μεριμνᾷν ὅπως τὰ τέκνα, οἱ ὑπηρέται καὶ οἱ μαθητιῶντες ὑπʼ

αὐτοὺς (οἱ μήπω ἐκμαθόντες τὴν Κατήχησιν) φοιτῶσι κατὰ τὸν τεταγμένον καιρὸν ἐν ταῖς Ἐκκλησίαις, εὐπειθῶς ἀκροώμενοι, καὶ ὑπὸ τοῦ Ἐφημερίου καθοδηγούμενοι, ἄχρις οὗ ἐκμάθωσι πάντα τὰ ἐνθάδε ὡρισμένα αὐτοῖς πρὸς μάθησιν.

¶ Ἅμα τὰ Παιδία ἡλικιωθῶσιν ἱκανῶς, καὶ δύνωνται ἀπαγγεῖλαι ἐν τῇ Μητρικῇ αὐτῶν γλώσσῃ τὸ Σύμβολον τῆς Πίστεως, τὴν Κυριακὴν Προσευχήν, καὶ τὸν Δεκάλογον· καί, πρὸς τούτοις, ἀποκρίνεσθαι εἰς τὰ ἄλλα ἐρωτήματα τῆς συντόμου ταύτης Κατηχήσεως· δέον προσάγεσθαι αὐτὰ τῷ Ἐπισκόπῳ. Καὶ ἕκαστον παιδίον ἐχέτω ἀνὰ ἕνα ἢ ἀνὰ μίαν Ἀνάδοχον, ὡς μάρτυρα τῆς Βεβαιώσεως αὐτοῦ.

¶ Τοῦ Ἐπισκόπου μηνύσαντος ἵνα τὰ παιδία προσαχθῶσιν αὐτῷ πρὸς Βεβαίωσιν, ὁ Ἐφημέριος ἑκάστης Ἐνορίας ὀφείλει ἢ αὐτὸς κομίσαι, ἢ ἰδίᾳ χειρὶ ὑπογράψας διαπέμψαι, τὰ ὀνόματα πάντων τῶν ἐν τῇ Ἐνορίᾳ αὐτοῦ, οὓς ἂν κρίνῃ ἀξίους παρουσιασθῆναι τῷ Ἐπισκόπῳ πρὸς Βεβαίωσιν. Ἐὰν δὲ ὁ Ἐπίσκοπος ἐγκρίνῃ, βεβαιώσει αὐτοὺς τῷ ἑξῆς τρόπῳ.

ΤΑΞΙΣ

ΓΙΝΟΜΕΝΗ ΕΠΙ ΒΕΒΑΙΩΣΕΙ.

Η

ΕΠΙΘΕΣΙΣ ΧΕΙΡΩΝ ΕΠΙ ΒΑΠΤΙΣΘΕΝΤΑΣ ΚΑΙ ΕΙΣ ΗΛΙΚΙΑΝ ΕΛΘΟΝΤΑΣ

¶ *Τὴν ὡρισμένην ἡμέραν πάντων τῶν βεβαιουμένων κατασταθέντων, καὶ ἐν τάξει ἔμπροσθεν τοῦ Ἐπισκόπου ἱσταμένων· αὐτὸς (ἢ ἄλλος τις Ὑπηρέτης παρ' αὐτοῦ ὡρισμένος) ἀναγινώσκει τὸ ἑξῆς Προοίμιον.*

ἘΠὶ σκοπῷ ἵνα τελῆται ἡ Βεβαίωσις εἰς μείζονα τὴν οἰκοδομὴν τῶν βεβαιουμένων, ἔδοξεν τῇ Ἐκκλησίᾳ διατάξασθαι, Ἵνα μηδεὶς βεβαιωθῇ μετὰ τοῦτο, ἐκτὸς τῶν δυναμένων λέγειν τὸ Σύμβολον τῆς Πίστεως, τήν τε Κυριακὴν Προσευχήν, καὶ τὸν Δεκάλογον· καὶ πρὸς τούτοις ἀποκρίνεσθαι δυναμένων πρὸς τὰ ἄλλα ἐν τῇ συντόμῳ Κατηχήσει περιεχόμενα ἐρωτήματα· Ἥτις Διάταξις εὐλογώτατα τηρεῖται, ἐπὶ σκοπῷ ἵνα τὰ παιδία τὰ νῦν εἰς ἡλικίαν ἐλθόντα, καὶ μαθόντα ὅσα κατὰ τὴν Βάπτισιν ὑπέσχοντο ὑπὲρ αὐτῶν οἱ Ἀνάδοχοι καὶ αἱ Ἀνάδοχοι αὐτῶν, αὐτὰ δι' οἰκείου λόγου καὶ συναινέσεως ἔμπροσθεν τῆς Ἐκκλησίας δημοσίᾳ ἐπικυρώσωσι καὶ βεβαιώσωσι ταῦτα· καὶ προσέτι ἐπαγγείλωνται ὅτι τῇ τοῦ Θεοῦ χάριτι σπουδάσουσι διαπαντὸς πιστῶς τηρεῖν ὅσοις διὰ τῆς ἰδίας ὁμολογίας συγκατέθεντο.

¶ *Εἶτα λέγει ὁ Ἐπίσκοπος,*

ἈΝανεοῦσθε ὑμεῖς ὧδε ἐνώπιον τοῦ Θεοῦ καὶ τούτου τοῦ ἐκκλησιάσματος τὴν σεμνοπρεπῆ ὑπόσχεσιν καὶ ἐπαγγελίαν τὴν εἰς τὸ ὑμέτερον ὄνομα γενομένην κατὰ τὴν Βάπτισιν ὑμῶν· ἐπικυροῦντες καὶ βεβαιοῦντες αὐτὴν αὐτοπροσώπως, καὶ ὁμολογοῦντες ὅτι ὑπόχρεῴ ἐστε πιστεύειν καὶ πράττειν πάντα, ὅσα ὑπὲρ ὑμῶν τότε ὑπέσχοντο οἱ Ἀνάδοχοι καὶ αἱ Ἀνάδοχοι ὑμῶν ;

¶ Καὶ εἷς ἕκαστος ἀποκρίνεται εὐηκόως,

'Ανανεοῦμαι αὐτήν.

Ὁ Ἐπίσκοπος.

Ἡ Βοήθεια ἡμῶν ἐν Ὀνόματι Κυρίου·

Ἀπόκρισις.

Τοῦ ποιήσαντος τὸν οὐρανὸν καὶ τὴν γῆν.

Ὁ Ἐπίσκοπος.

Εἴη τὸ Ὄνομα Κυρίου εὐλογημένον,

Ἀπόκρισις.

Ἀπὸ τοῦ νῦν καὶ ἕως τοῦ αἰῶνος.

Ὁ Ἐπίσκοπος.

Κύριε, ἐπάκουσον τῶν προσευχῶν ἡμῶν.

Ἀπόκρισις.

Καὶ ἡ κραυγὴ ἡμῶν πρὸς Σὲ ἐλθέτω.

Ὁ Ἐπίσκοπος.

Δεηθῶμεν.

Ὁ Θεὸς ὁ παντοκράτωρ καὶ ἀεὶ ζῶν, ὁ εὐδοκήσας τοὺς δούλους σου τούτους ἀναγεννῆσαι δι' ὕδατος καὶ ἁγίου Πνεύματος, καὶ χαρισάμενος αὐτοῖς τὴν ἄφεσιν πασῶν τῶν ἁμαρτιῶν αὐτῶν· Αὐτὸς καὶ νῦν ἐνίσχυσον αὐτούς, δεόμεθά σου, Κύριε, τῷ Πνεύματι τῷ ἁγίῳ καὶ Παρακλήτῳ, καὶ πλήθυνον εἰς αὐτοὺς ὁσημέραι τὰ ποικίλα σου δωρήματα τῆς χάριτος· πνεῦμα σοφίας καὶ συνέσεως· πνεῦμα βουλῆς καὶ ἰσχύος· πνεῦμα γνώσεως καὶ ἀληθινῆς εὐσεβείας· καὶ ἔμπλησον αὐτούς, Κύριε, πνεύματος τοῦ ἁγίου σου φόβου, καὶ νῦν καὶ εἰς τοὺς αἰῶνας. Ἀμήν.

¶ Εἶτα πάντων τῶν παιδίων ἐν τάξει γονυκλινόντων ἔμπροσθεν τοῦ Ἐπισκόπου, ἐπιτίθησιν αὐτὸς τὴν χεῖρα ἐπὶ κεφαλὴν ἑνὸς ἑκάστου, λέγων,

Ὑπεράσπισον, Κύριε, τοῦτο τὸ τέκνον σου [ἢ τοῦτον τὸν δοῦλόν σου] τῇ οὐρανίῳ σου χάριτι, ἵνα Σὸς προσ-

καρτερήσῃ εἰς τὸν αἰῶνα· καὶ ὁσημέραι ἐπὶ πλέον πληθύνῃ ἐν τῷ ἁγίῳ σου Πνεύματι, ἄχρις ἂν ἔλθῃ εἰς τὴν αἰώνιόν σου βασιλείαν. Ἀμήν.

¶ Εἶτα λέγει ὁ Ἐπίσκοπος,

Ὁ Κύριος μεθ' ὑμῶν.

Ἀπόκρισις.

Καὶ μετὰ τοῦ πνεύματός σου.

¶ Καὶ (πάντων γονυκλινόντων) ἐπισυνάπτει ὁ Ἐπίσκοπος;

Δεηθῶμεν.

ΠΑτερ ἡμῶν.

¶ Καὶ ταύτην τὴν Εὐχήν.

Ὁ Θεὸς ὁ παντοκράτωρ καὶ αἰώνιος, ὁ ἐνεργῶν ἐν ἡμῖν τὸ θέλειν καὶ τὸ ἐνεργεῖν τὰ ἀγαθὰ καὶ τῇ θείᾳ σου Μεγαλειότητι εὐάρεστα· Ταπεινῶς ἱκετεύομέν σε ὑπὲρ τούτων τῶν δούλων σου ἐφ' οὓς νῦν (κατὰ τὸ ὑπόδειγμα τῶν ἁγίων σου Ἀποστόλων) ἐπεθήκαμεν τὰς χεῖρας, εἰς τὸ πιστοποιῆσαι αὐτοὺς (διὰ τούτου τοῦ σημείου) περὶ τῆς σῆς πρὸς αὐτοὺς εὐνοίας καὶ ἀγαθότητος. Ἡ Πατρική σου χείρ, δεόμεθά σου, διαπαντὸς σκεπαζέτω ἐπ' αὐτούς· τὸ ἅγιόν σου Πνεῦμα διηνεκῶς αὐτοῖς συνέστω· καὶ οὕτως καθοδήγησον αὐτοὺς ἐν τῇ γνώσει καὶ ὑπακοῇ τοῦ λόγου σου, ὥστε ἐπὶ τέλους ἐπιτυχεῖν αὐτοὺς τῆς ζωῆς τῆς αἰωνίου, διὰ τοῦ Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ, τοῦ σὺν Σοὶ καὶ τῷ ἁγίῳ Πνεύματι συζῶντος καὶ συμβασιλεύοντος, ἑνὸς ἀεὶ Θεοῦ, εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

ΚΥριε παντοκράτορ, καὶ Θεὲ αἰώνιε, εὐδόκησον, δεόμεθά σου, ὁδηγῆσαι, ἁγιάσαι, καὶ κυβερνῆσαι τάς τε καρδίας καὶ τὰ σώματα ἡμῶν ἐν ταῖς τρίβοις τῶν νόμων σου, καὶ ἐν τῇ ἐργασίᾳ τῶν ἐντολῶν σου, ἵνα ἐνταῦθά τε καὶ εἰς τὸν αἰῶνα διὰ τῆς παντοδυνάμου σου ὑπερασπίσεως σώματι καὶ ψυχῇ δια-

φυλασσώμεθα, διὰ τοῦ Κυρίου καὶ Σωτῆρος ἡμῶν Ἰησοῦ Χριστοῦ. Ἀμήν.

¶ Εἶτα εὐλογεῖ αὐτοὺς ὁ Ἐπίσκοπος, λέγων οὕτως,

ΕΥλογία Θεοῦ Παντοκράτορος, Πατρός, καὶ Υἱοῦ, καὶ ἁγίου Πνεύματος, εἴη ἐφ᾽ ὑμᾶς, καὶ μείναι μεθ᾽ ὑμῶν εἰς τοὺς αἰῶνας. Ἀμήν.

¶ *Καὶ οὐδεὶς δεκτὸς γενήσεται πρὸς τὴν θείαν Κοινωνίαν, ἄχρις ἂν ᾖ βεβεβαιωμένος, ἤτοι ἕτοιμος ᾖ καὶ ἐπιθυμῶν τοῦ βεβαιωθῆναι.*

ΤΑΞΙΣ

ΓΙΝΟΜΕΝΗ ΕΠΙ ΤΕΛΕΣΕΙ ΓΑΜΟΥ

¶ ΠΡῶτον δέον πάντων τῶν γαμούντων τὸν Γάμον προκηρυχθῆναι ἐπ' Ἐκκλησίας τρεῖς Κυριακὰς ἢ Ἑορτασίμους ἡμέρας ἐν καιρῷ τῆς Θείας Λειτουργίας, ἀμέσως πρὸ τῶν στίχων τῶν ἐπὶ τῇ Προσκομιδῇ· λέγοντος τοῦ Ἐφημερίου κατὰ τὸν συνήθη τρόπον,

ΠΡοκηρύττω τὸν γάμον τοῦ δεῖνα τοῦ ἐκ —— ἐνορίας καὶ τῆς δεῖνα τῆς ἐκ —— ἐνορίας. Ἐάν τινες ἐξ ὑμῶν αἰτίαν τινὰ γνωρίζωσιν ἢ ἐμποδισμὸν δίκαιον, δι' ὅντινα τὰ δύο ταῦτα πρόσωπα οὐκ ὀφείλουσιν εἰς ἱερὸν συζευχθῆναι γάμον, δέον ὑμᾶς αὐτὸν ἀπαγγεῖλαι· Σήμερον τὸ πρῶτον [δεύτερον ἢ τρίτον] τοῦτο προκηρύττεται.

¶ Ἐὰν δὲ κατοικῶσιν οἱ γαμοῦντες ἐν διαφόροις Ἐνορίαις, δέον προκηρυχθῆναι τόν Γάμον αὐτῶν ἐν ἀμφοτέραις Ἐνορίαις· καὶ οὐ μὴ τελέσῃ τὸν μεταξὺ αὐτῶν Γάμον ὁ τῆς μιᾶς Ἐνορίας Ἐφημέριος, ἐὰν μὴ λάβῃ παρὰ τοῦ τῆς ἑτέρας Γράμμα Πιστοποιητικόν, δηλοῦν ὅτι ὁ Γάμος τρὶς προεκηρύχθη.

¶ Τῇ ἡμέρᾳ καὶ ὥρᾳ τῇ ὡρισμένῃ εἰς τὴν τέλεσιν τοῦ Γάμου, οἱ γαμοῦντες εἰσέρχονται εἰς τὸν κυρίως ναὸν τῆς Ἐκκλησίας μετὰ τῶν φίλων καὶ τῶν πλησίον αὐτῶν· Καὶ ἐκεῖ συνισταμένων αὐτῶν, τοῦ μὲν ἀνδρὸς ἐκ δεξιῶν, τῆς δὲ γυναικὸς ἐξ εὐωνύμων, λέγει ὁ Ἱερεύς,

ἈΓαπητοί, συνηγμένοι ἐσμὲν ἐνθάδε ἐνώπιον τοῦ Θεοῦ, καὶ ἔναντι τοῦ ἐκκλησιάσματος τούτου, τοῦ συζεῦξαι τὸν ἄνδρα τοῦτον καὶ τὴν γυναῖκα ταύτην εἰς τὸν ἱερὸν γάμον, ὅστις ἔντιμος ὑπάρχει κατάστασις ἐπ' ἀνθρώπου ἀναμαρτήτου ἔτι ὄντος ὑπὸ τοῦ Θεοῦ διαταχθεῖσα, παριστάνουσα ἡμῖν τὴν μυστικὴν ἕνωσιν τὴν μεταξὺ τοῦ Χριστοῦ καὶ τῆς Ἐκκλησίας αὐτοῦ· ἥντινα καὶ ἁγίαν κατάστασιν κατεκόσμησε καὶ ἐξωράϊσεν ὁ Χριστὸς διὰ τῆς παρουσίας αὐτοῦ καὶ τοῦ πρώτου ὑπ' αὐτοῦ ποιηθέντος σημείου ἐν Κανᾷ τῆς Γαλιλαίας· ἥτις καὶ συνίσταται ὑπὸ τοῦ Ἀποστόλου ὡς τιμία ὑπάρχουσα ἐν πᾶσι· καὶ διὰ τοῦτο οὐκ ὀφείλει ἀβουλεύτως, ἐλαφρῶς, ἢ ἀσελγῶς ὑπό τινων

ἀναληφθῆναι ἢ ἐγχειρηθῆναι, πρὸς πλησμονὴν τῶν σαρκικῶν ἐπιθυμιῶν καὶ ὀρέξεων τῶν ἀνθρώπων, ὡσεὶ ὑπ' ἀλόγων ζώων οἷς οὐκ ἐστι σύνεσις· ἀλλ' εὐλαβῶς, φρονίμως, εὐβουλεύτως, σωφρόνως, καὶ ἐν φόβῳ Θεοῦ, ὑπὸ τῶν πρεπόντως τὰς αἰτίας ἐνθυμουμένων δι' ἃς διετάχθη ὁ γάμος.

Πρῶτον, διετάχθη εἰς παιδοποιΐαν, ἵνα τὰ παιδία ἐκτρέφωνται ἐν τῷ φόβῳ καὶ τῇ νουθεσίᾳ Κυρίου, καὶ πρὸς αἶνον τοῦ ἁγίου Αὐτοῦ Ὀνόματος.

Δεύτερον, διετάχθη εἰς φάρμακον καθ' ἁμαρτίας, καὶ εἰς ἀποφυγὴν πορνείας, ἵνα οἱ μὴ ἔχοντες τὸ χάρισμα τῆς ἐγκρατείας, γαμήσαντες, φυλάσσωσιν ἑαυτοὺς ὡς μέλη ἀμίαντα τοῦ σώματος τοῦ Χριστοῦ.

Τρίτον, διετάχθη εἰς τὴν ἀμοιβαίαν ὁμιλίαν, βοήθειαν καὶ παραμυθίαν ἣν δεῖ ἑκάτερον σχεῖν παρ' ἑκατέρου, ἐν τῇ τε εὐημερίᾳ καὶ τῇ θλίψει. Εἰς ἥνπερ ἁγίαν κατάστασιν προσέρχονται νῦν συζευχθῆναι ταῦτα τὰ παρόντα δύο πρόσωπα. Διὰ τοῦτο, ἐάν τις δικαίαν δύνηται ἐνδεῖξαι αἰτίαν, δι' ἣν οὐκ ἔνεστιν αὐτοῖς ἐννόμως συζευχθῆναι, ἐξειπάτω τὰ νῦν· εἰ δὲ μή, εἰς τὸ ἑξῆς διηνεκῶς σιωπάτω.

¶ Καὶ πρὸς τούτοις, προσλαλῶν τοῖς γαμοῦσι, λέγει,

Ἀπαιτῶ ἀφ' ὑμῶν καὶ ἐντέλλομαι ὑμῖν ἀμφοτέροις (ὡς μέλλουσιν ἀποκρίνεσθαι ἐν τῇ φοβερᾷ ἡμέρᾳ τῆς κρίσεως, ἐν ᾗ πάσης καρδίας τὰ κρυπτὰ ἀποκαλυφθήσεται) ἵνα ἐὰν ὁ εἷς ἢ ἡ ἄλλη ἐξ ὑμῶν αἰτίαν τινὰ συνειδὼς ᾖ ἢ συνειδυῖα δι' ἥντινα οὐκ ἔνεστιν ὑμῖν ἐν γάμῳ ἐννόμως συζευχθῆναι, τὰ νῦν ὁμολογήσῃ ταύτην. Εὖ γὰρ ἴστε, ὅτι ὅσοι ἄλλως συνδυάζονται ἢ ὡς ἐγκρίνει ὁ λόγος τοῦ Θεοῦ, οὗτοι οὐχ ὑπὸ τοῦ Θεοῦ συζεύγνυνται, οὐδὲ ἔννομος ὑπάρχει ὁ γάμος αὐτῶν.

¶ Καὶ τὴν ἡμέραν τοῦ γάμου, ἐάν τις προτείνῃ καὶ ἀπαγγείλῃ ἐμποδισμόν τινα δι' ὅν, εἴτε διὰ τὸν Νόμον τοῦ Θεοῦ, εἴτε διὰ τοὺς Νόμους τούτου τοῦ Βασιλείου, οὐκ ἔξεστιν αὐτοῖς ἐν γάμῳ συνδυασθῆναι, καὶ ἐὰν θέλωσιν αὐτός, καὶ ἱκανοὶ σὺν αὐτῷ ἐγγυηταί, τοῖς γαμοῦσιν δεσμεύεσθαι, ἢ

ὑποβάλωσιν ἐγγύην (μέχρι πλήρους τοῦ τιμήματος τῆς δαπάνης ὅσην ὑφίστανται διὰ τοῦτο οἱ γαμοῦντες) ὅτι ἀποδείξει τὰ ὑφ' αὐτοῦ προταθέντα· Ἐπὶ τούτοις δέον ὑπερτεθῆναι τὴν τέλεσιν τοῦ γάμου ἕως ἂν δοκιμασθῇ ἡ ἀλήθεια τῶν προταθέντων.

¶ *Ἐὰν δὲ μηδεὶς προταθῇ ἐμποδισμός, λέγει ὁ Ἐφημέριος τῷ ἀνδρί,*

Ὁ *Δεῖνα*, Θέλεις προσλαβέσθαι ταύτην τὴν γυναῖκα εἰς ὕπανδρόν σου σύζυγον, τοῦ συμβιοῦν κατὰ τὴν διάταξιν τοῦ Θεοῦ, εἰς τὴν ἁγίαν κατάστασιν τοῦ γάμου; Θέλεις ἀγαπᾷν αὐτήν, παραμυθεῖσθαι, τιμᾷν καὶ διατηρεῖν αὐτὴν κατ' ἀσθένειαν καὶ καθ' ὑγείαν; καὶ πᾶσαν ἑτέραν καταλείψας, ταύτῃ μόνῃ προσκολλᾶσθαι, ἐν ὅσῳ ἀμφότεροι ζήσετε;

¶ *Ἀποκρίνεται ὁ ἀνήρ,*

Θέλω.

¶ *Εἶτα λέγει ὁ Ἱερεὺς τῇ γυναικί.*

Ἡ *Δεῖνα*, Θέλεις προσλαβέσθαι τοῦτον τὸν ἄνδρα εἰς ἔγγαμόν σου σύζυγον, τοῦ συμβιοῦν κατὰ τὴν διάταξιν τοῦ Θεοῦ, εἰς τὴν ἁγίαν κατάστασιν τοῦ γάμου; Θέλεις ὑποτάσσεσθαι αὐτῷ, καὶ ὑπηρετεῖν, ἀγαπᾷν, τιμᾷν, καὶ διατηρεῖν αὐτὸν κατ' ἀσθένειαν καὶ καθ' ὑγείαν, καὶ πάντα ἕτερον καταλείψασα, τούτῳ μόνῳ προσκολλᾶσθαι, ἐν ὅσῳ ἀμφότεροι ζήσετε;

¶ *Ἀποκρίνεται ἡ γυνή,*

Θέλω.

¶ *Εἶτα λέγει ὁ Λειτουργός,*

Τίς ἐκδίδωσι τὴν γυναῖκα ταύτην τῷ ἀνδρὶ τούτῳ ὑπανδρευθῆναι;

¶ *Εἶτα τὴν πίστιν ὑπισχνοῦνται πρὸς ἀλλήλους κατὰ τοῦτον τὸν τρόπον.*

¶ *Ὁ Λειτουργὸς παραλαβὼν τὴν γυναῖκα παρὰ τοῦ πατρὸς ἢ τοῦ φίλου αὐτῆς, τὸν ἄνδρα ποιεῖ τῇ δεξιᾷ ἐπιλαβέσθαι τῆς γυναικὸς τῆς δεξιᾶς, καὶ ὄπισθεν αὐτοῦ λέγειν ὡς ἐφεξῆς.*

ἘΓὼ (*ὁ δεῖνα*) λαμβάνω σὲ (*τὴν δεῖνα*) εἰς ὕπανδρόν μου γυναῖκα, τοῦ ἔχειν καὶ τοῦ κρατεῖν ἀπὸ τῆς σήμερον εἰς

τὸ ἑξῆς, εἴτε κρειττονα εἴτε χείρονα, εἴτε πλουσιωτέραν εἴτε πενεστέραν, κατ' ἀσθένειαν καὶ καθ' ὑγείαν, τοῦ ἀγαπᾷν καὶ τοῦ θάλπειν, ἄχρις ἂν διαστείλῃ ἀνὰ μέσον ἡμῶν ὁ θάνατος, κατὰ τὴν ἁγίαν τοῦ Θεοῦ διάταξιν· καὶ εἰς τοῦτό σοι τὴν πίστιν μου ὑπισχνοῦμαι.

¶ Εἶτα διαζευγνύουσι τὰς χεῖρας, καὶ ἡ γυνὴ τῇ δεξιᾷ ἐπιλαβομένη τοῦ ἀνδρὸς τῆς δεξιᾶς, λέγει ὁμοίως ὄπισθεν τοῦ Λειτουργοῦ·

'ΕΓὼ (ἡ δεῖνα) λαμβάνω σὲ (τὸν δεῖνα) εἰς ἔγγαμόν μου ἄνδρα, τοῦ ἔχειν καὶ τοῦ κρατεῖν ἀπὸ τῆς σήμερον εἰς τὸ ἑξῆς, εἴτε κρείττονα εἴτε χείρονα, εἴτε πλουσιώτερον εἴτε πενέστερον, κατ' ἀσθένειαν καὶ καθ' ὑγείαν, τοῦ ἀγαπᾷν, τοῦ θάλπειν, καὶ τοῦ σοι ὑποτάσσεσθαι, ἄχρις ἂν διαστείλῃ ἀνὰ μέσον ἡμῶν ὁ θάνατος, κατὰ τὴν ἁγίαν τοῦ Θεοῦ διάταξιν· καὶ εἰς τοῦτό σοι τὴν πίστιν μου ὑπισχνοῦμαι.

¶ Εἶτα πάλιν διαζευγνύουσι τὰς χεῖρας, καὶ ὁ ἀνὴρ δακτυλίδιον δίδωσι τῇ γυναικί, καταθεὶς αὐτὸ ἐπὶ τὸ βιβλίον, μετὰ τοῦ συνήθως τῷ 'Ιερεῖ καὶ τῷ 'Υπηρέτῃ ὀφειλομένου. Καὶ ὁ 'Ιερεὺς λαβὼν τὸ δακτυλίδιον παραδίδωσιν αὐτὸ τῷ ἀνδρί, ἵνα οὗτος θῇ αὐτὸ ἐπὶ τὸν τέταρτον δάκτυλον τῆς εὐωνύμου τῆς γυναικός. Καὶ κρατῶν ὧδε τὸ δακτυλίδιον, καὶ διδασκόμενος ὑπὸ τοῦ 'Ιερέως, λέγει ὁ ἀνήρ,

ΜΕτὰ τούτου τοῦ δακτυλίου ἐγὼ σὲ γαμῶ, μετὰ τοῦ σώματός μου ἐγὼ σὲ προσκυνῶ, καὶ διὰ πάντων μου τῶν βιωτικῶν ἀγαθῶν ἐγὼ σὲ προικίζω· Εἰς τὸ Ὄνομα τοῦ Πατρός, καὶ τοῦ Υἱοῦ, καὶ τοῦ ἁγίου Πνεύματος. 'Αμήν.

¶ Εἶτα ἀφέντος τοῦ ἀνδρὸς τὸ δακτυλίδιον ἐπὶ τῷ τετάρτῳ δακτύλῳ τῆς εὐωνύμου τῆς γυναικός, καὶ ἀμφοτέρων γονυκλινάντων, λέγει ὁ Λειτουργός,

Δεηθῶμεν.

'Ο Θεὸς ὁ αἰώνιος, ὁ κτίστης καὶ φύλαξ παντὸς τοῦ γένους τῶν ἀνθρώπων, ὁ πάσης πνευματικῆς χάριτος δοτήρ, ὁ ἀρχηγὸς τῆς ζωῆς τῆς αἰωνίου· Αὐτὸς καὶ νῦν κατάπεμψον τὴν σὴν εὐλογίαν ἐπὶ τοὺς δούλους σου τούτους, τὸν ἄνδρα τοῦτον καὶ τὴν γυναῖκα ταύτην, οὓς εὐλογοῦμεν ἐν τῷ σῷ 'Ονόματι·

ἵνα καθὼς πιστοὶ συνεβίωσαν ὁ Ἰσαὰκ καὶ ἡ Ῥεβέκκα, οὕτω καὶ τὰ πρόσωπα ταῦτα βεβαίως ἐκτελέσωσι καὶ τηρήσωσι τὴν μεταξὺ αὐτῶν γενομένην ὑπόσχεσιν καὶ συνθήκην (ἥστινος σημεῖόν ἐστι καὶ ἀρραβὼν ὁ δακτύλιος οὗτος ὁ παραδοθεὶς καὶ παραληφθείς) καὶ μένωσι διαπαντὸς ἐν τελείᾳ τῇ πρὸς ἀλλήλους ἀγάπῃ καὶ εἰρήνῃ, καὶ κατὰ τοὺς σοὺς πολιτεύωνται νόμους, διὰ Ἰησοῦ Χριστοῦ τοῦ Κυρίου ἡμῶν. Ἀμήν.

¶ Εἶτα τὰς δεξιὰς αὐτῶν συνάψας λέγει ὁ Ἱερεύς,

Οὓς ὁ Θεὸς συνέζευξεν, ἄνθρωπος μὴ χωριζέτω.

¶ Εἶτα τῷ λαῷ προσλαλεῖ ὁ Ἱερεύς.

ἘΠειδὴ (ὁ δεῖνα) καὶ (ἡ δεῖνα) εἰς τὸν ἱερὸν συνήνεσαν γάμον, καὶ ἐπεμαρτύρησαν τούτῳ ἐνώπιον τοῦ Θεοῦ καὶ τοῦ συναθροισμοῦ τούτου, καὶ εἰς τοῦτο ἔδωκαν καὶ ὑπέσχοντο πρὸς ἀλλήλους τὴν πίστιν, καὶ ταύτην ἀπήγγειλαν διὰ παραδόσεως καὶ παραλήψεως δακτυλίου, καὶ διὰ συμπλεξίας χειρῶν· Ἐγὼ ἀναγορεύω αὐτοὺς ἐγγάμους εἶναι, Εἰς τὸ Ὄνομα τοῦ Πατρός, καὶ τοῦ Υἱοῦ, καὶ τοῦ ἁγίου Πνεύματος. Ἀμήν.

¶ Καὶ ἐπισυνάπτει ὁ Λειτουργὸς τὴν εὐλογίαν ταύτην.

Ὁ Θεὸς καὶ Πατήρ, ὁ Θεὸς καὶ Υἱός, ὁ Θεὸς καὶ ἅγιον Πνεῦμα, εὐλογήσαι, φυλάξαι καὶ τηρήσαι ὑμᾶς· Κύριος μετὰ τῆς εὐνοίας αὐτοῦ ἵλεως ἐπιβλέψαι ἐφ' ὑμᾶς, καὶ οὕτως ὑμᾶς ἐμπλήσαι πάσης εὐλογίας πνευματικῆς καὶ χάριτος, ἵνα ἐν ταύτῃ τῇ ζωῇ οὕτω συμβιώσητε, ὥστε ἐν τῷ μέλλοντι αἰῶνι ζωὴν ἔχειν αἰώνιον. Ἀμήν.

¶ Εἶτα ὁ Λειτουργὸς καὶ οἱ Ψάλται πρὸς τὴν ἁγίαν Τράπεζαν πορευόμενοι, ψάλλουσιν ἢ ἀναγινώσκουσι τοῦτον τὸν ἐφεξῆς Ψαλμόν.

ΜΑκάριοι πάντες οἱ φοβούμενοι τὸν Κύριον. *Beati omnes.* Ψαλ. ΡΚΖʹ.

¶ Ἢ τὸν Ψαλμὸν τοῦτον.

Ὁ Θεὸς οἰκτειρήσαι ἡμᾶς καὶ εὐλογήσαι ἡμᾶς. *Deus misereatur.* Ψαλ. ΞϚʹ.

Δόξα. Ὥσπερ ἐν ἀρχῇ, καὶ νῦν.

¶ Συντελεσθέντος τοῦ Ψαλμοῦ, καὶ γονυπετούντων τοῦ ἀνδρὸς καὶ τῆς γυναικὸς ἔμπροσθεν τῆς ἁγίας Τραπέζης, ὁ Ἱερεὺς ἱστάμενος παρὰ τῇ Τραπέζῃ, καὶ στρεψάμενος τὸ πρόσωπον πρὸς αὐτούς, λέγει,

Κύριε, ἐλέησον ἡμᾶς.

Ἀπόκρισις.

Χριστέ, ἐλέησον ἡμᾶς.

Ὁ Λειτουργός

Κύριε, ἐλέησον ἡμᾶς.

ΠΑτερ ἡμῶν.

Ὁ Λειτουργός.

Σῶσον τὸν δοῦλόν σου, καὶ τὴν δούλην σου, Κύριε·

Ἀπόκρισις.

Τοὺς ἐλπίζοντας ἐπὶ Σέ.

Ὁ Λειτουργός.

Κύριε, ἐξαπόστειλον αὐτοῖς βοήθειαν ἐξ ἁγίου σου.

Ἀπόκρισις.

Καὶ εἰς τὸν αἰῶνα ἀντιλαβοῦ αὐτῶν.

Ὁ Λειτουργός.

Γενοῦ αὐτοῖς πύργος ἰσχύος,

Ἀπόκρισις.

Ἀπὸ προσώπου ἐχθροῦ αὐτῶν.

Ὁ Λειτουργός.

Εἰσάκουσον, Κύριε, τῆς προσευχῆς ἡμῶν.

Ἀπόκρισις.

Καὶ ἡ κραυγὴ ἡμῶν πρὸς Σὲ ἐλθέτω.

Ὁ Λειτουργός.

ὉΘεὸς Ἀβραάμ, ὁ Θεὸς Ἰσαάκ, ὁ Θεὸς Ἰακώβ, εὐλόγησον τοὺς δούλους σου τούτους, καὶ σπεῖρον ἐν ταῖς καρδίαις αὐτῶν σπέρμα ζωῆς αἰωνίου, ἵνα ὁτιοῦν ἐν τῷ ἁγίῳ σου λόγῳ ὠφελίμως μαθήσονται, τοῦτο καὶ ἔργῳ ἐκπληρῶσιν. Ἵλεως

ἐπίβλεψον ἐπ' αὐτοὺς οὐρανόθεν, Κύριε, καὶ εὐλόγησον αὐτούς. Καὶ ὡς κατέπεμψας τὴν εὐλογίαν σου ἐπὶ τὸν Ἀβραὰμ καὶ τὴν Σάρραν, πρὸς τὴν πολλὴν αὐτῶν παραμυθίαν· οὕτω εὐδόκησον τὴν εὐλογίαν σου καταπέμψαι ἐπὶ τοὺς δούλους σου τούτους, ἵνα καὶ οὗτοι τῷ θελήματί σου πειθόμενοι, καὶ ἀσφαλεῖς πάντοτε διατελοῦντες ὑπὸ τὴν σὴν ὑπεράσπισιν, ἐν τῇ σῇ ἀγάπῃ διαμείνωσι μέχρι τοῦ τέλους τῆς ζωῆς αὐτῶν, διὰ Ἰησοῦ Χριστοῦ τοῦ Κυρίου ἡμῶν. Ἀμήν.

¶ Παραλείπεται ἡ ἐφεξῆς ἑπομένη Εὐχή, ἐὰν ἡ Γυνὴ ὑπερβῇ τὴν ἡλικίαν τῆς τεκνογονίας.

ΚΥριε οἰκτίρμον καὶ Πάτερ οὐράνιε, οὗ τῇ εὐσπλάγχνῳ δωρεᾷ πληθύνεται τὸ γένος τῶν ἀνθρώπων· Ἐπικούρησον, δεόμεθά σου, διὰ τῆς σῆς εὐλογίας τοῖς δυσὶ τούτοις προσώποις, ἵνα καὶ καρποφόροι γένωνται ἐν παιδοποιΐᾳ, καὶ οὕτω συμμακροημερεύωσιν ἐν θεαρέστῳ ἀγάπῃ καὶ σεμνότητι, ὥστε ἰδεῖν τὰ τέκνα αὐτῶν Χριστιανικῶς καὶ ἐναρέτως ἐκτεθραμμένα, πρὸς τὴν σὴν δόξαν καὶ τιμήν, διὰ Ἰησοῦ Χριστοῦ τοῦ Κυρίου ἡμῶν. Ἀμήν.

Ὁ Θεὸς ὁ τῇ κραταιᾷ σου δυνάμει ἐκ τοῦ μὴ ὄντος εἰς τὸ εἶναι τὰ πάντα παραγαγών, ὁ καὶ (καταρτισθέντων τῶν λοιπῶν) διατάξας ἵνα ἐξ ἀνδρὸς (τοῦ κατ' εἰκόνα σὴν καὶ καθ' ὁμοίωσιν κτισθέντος) προεξέλθῃ ἡ γυνή· ὁ καὶ συνάψας αὐτούς, καὶ διδάξας ὅτι οὐδέποτε ἐξέσται χωρίζειν τοὺς ὑπὸ Σοῦ διὰ γάμου συνηνωμένους· ὁ Θεός, ὁ τὸν ἔγγαμον οὕτω καθαγιάσας βίον εἰς ἔξοχον μυστήριον, ὥστε ἐν αὐτῷ ἐκδηλοῦσθαι καὶ παρίστασθαι τὸν μεταξὺ Χριστοῦ καὶ τῆς Ἐκκλησίας πνευματικὸν γάμον καὶ ἕνωσιν· Αὐτὸς καὶ νῦν ἵλεως ἐπίβλεψον ἐπὶ τοὺς δούλους σου τούτους, ἵνα καὶ οὗτος μὲν ὁ ἀνὴρ κατὰ τὸν λόγον σου ἀγαπᾷ τὴν γυναῖκα αὐτοῦ (καθὼς καὶ ὁ Χριστὸς ἠγάπησε τὴν νύμφην αὐτοῦ καὶ Ἐκκλησίαν, ὃς καὶ ἑαυτὸν παρέδωκεν ὑπὲρ αὐτῆς, ἀγαπήσας καὶ θάλψας αὐτὴν ὡς τὴν

ἑαυτοῦ σάρκα), αὕτη δὲ καὶ ἡ γυνὴ ἀγαπητικὴ καὶ ἀξιαγάπητος γένηται, πιστὴ καὶ εὐπειθὴς πρὸς τὸν ἄνδρα αὐτῆς, καὶ ἐν πάσῃ ἡσυχίᾳ, σωφροσύνῃ τε καὶ εἰρήνῃ μιμῆται τὰς ἁγίας καὶ θεοσεβεῖς δεσποίνας. Εὐλόγησον, Κύριε, τοὺς ἀμφοτέρους, καὶ χάρισαι αὐτοῖς τὴν αἰωνίαν σου κληρονομῆσαι βασιλείαν, διὰ Ἰησοῦ Χριστοῦ τοῦ Κυρίου ἡμῶν. Ἀμήν.

¶ Εἶτα λέγει ὁ Ἱερεύς,

ὉΘεὸς ὁ Παντοκράτωρ ὁ ἐν ἀρχῇ πλάσας τοὺς πρωτογονέας ἡμῶν, τὸν Ἀδὰμ καὶ τὴν Εὔαν, καὶ ἁγιάσας τε αὐτοὺς καὶ συζεύξας ἐν γάμῳ· Ἐπιχέαι ἐφ' ὑμᾶς τὸν πλοῦτον τῆς χάριτος αὐτοῦ, ἁγιάσαι καὶ εὐλογῆσαι ὑμᾶς, ἵνα εὐαρεστήσητε αὐτῷ σώματί τε καὶ ψυχῇ, καὶ ἐν ἁγίᾳ συμβιώσητε ἀγάπῃ μέχρι τοῦ τέλους τῆς ζωῆς ὑμῶν. Ἀμήν.

¶ Μεθ' ὅ, ἐὰν μὴ γένηται Ὁμιλία ἀπαγγέλλουσα τὰ τῶν συζύγων καθήκοντα, ἀναγινώσκει ὁ Λειτουργὸς τὸ ἑφεξῆς.

ΠΑντες ὑμεῖς οἱ γεγαμηκότες, ἢ προτιθέμενοι τὴν ἁγίαν τοῦ γάμου ὑποδέξασθαι κατάστασιν, ἀκούσατε ποῖα λέγουσιν αἱ θεῖαι Γραφαὶ περὶ τοῦ καθήκοντος ἀνδρῶν πρὸς τὰς γυναῖκας αὐτῶν, καὶ γυναικῶν πρὸς τοὺς ἄνδρας αὐτῶν.

Ὁ ἅγιος Ἀπόστολος Παῦλος ἐν τῷ Πέμπτῳ Κεφαλαίῳ τῆς πρὸς Ἐφεσίους Ἐπιστολῆς αὐτοῦ ταύτην δίδωσι παραγγελίαν
Ἐφεσ. πᾶσι τοῖς ἐγγάμοις ἄνδρασιν, Οἱ ἄνδρες, ἀγαπᾶτε τὰς γυναῖκας
Ε΄ 25. ἑαυτῶν, καθὼς καὶ ὁ Χριστὸς ἠγάπησε τὴν Ἐκκλησίαν, καὶ ἑαυτὸν παρέδωκεν ὑπὲρ αὐτῆς, ἵνα αὐτὴν ἁγιάσῃ, καθαρίσας τῷ λουτρῷ τοῦ ὕδατος ἐν ῥήματι, ἵνα παραστήσῃ αὐτὴν ἑαυτῷ ἔνδοξον τὴν Ἐκκλησίαν, μὴ ἔχουσαν σπῖλον ἢ ῥυτίδα, ἤ τι τῶν τοιούτων· ἀλλ' ἵνα ᾖ ἁγία καὶ ἄμωμος. Οὕτως ὀφείλουσιν οἱ ἄνδρες ἀγαπᾷν τὰς ἑαυτῶν γυναῖκας ὡς τὰ ἑαυτῶν σώματα· Ὁ ἀγαπῶν τὴν ἑαυτοῦ γυναῖκα, ἑαυτὸν ἀγαπᾷ. Οὐδεὶς γάρ ποτε τὴν ἑαυτοῦ σάρκα ἐμίσησεν, ἀλλ' ἐκτρέφει καὶ θάλπει αὐτήν, καθὼς καὶ ὁ Κύριος τὴν Ἐκκλησίαν· Ὅτι μέλη ἐσμὲν

τοῦ σώματος αὐτοῦ, ἐκ τῆς σαρκὸς αὐτοῦ, καὶ ἐκ τῶν ὀστέων αὐτοῦ. Ἀντὶ τούτου καταλείψει ἄνθρωπος τὸν πατέρα αὐτοῦ καὶ τὴν μητέρα, καὶ προσκολληθήσεται πρὸς τὴν γυναῖκα αὐτοῦ, καὶ ἔσονται οἱ δύο εἰς σάρκα μίαν. Τὸ μυστήριον τοῦτο μέγα ἐστίν· ἐγὼ δὲ λέγω εἰς Χριστὸν καὶ εἰς τὴν Ἐκκλησίαν. Πλήν, καὶ ὑμεῖς οἱ καθ᾽ ἕνα, ἕκαστος τὴν ἑαυτοῦ γυναῖκα οὕτως ἀγαπάτω, ὡς ἑαυτόν.

Ὡσαύτως ὁ αὐτὸς ἅγιος Ἀπόστολος, ἐγγράφων πρὸς τοὺς Κολοσσαεῖς, οὕτω πᾶσι τοῖς ἐγγάμοις λαλεῖ, *Οἱ ἄνδρες,* Κολ. *ἀγαπᾶτε τὰς γυναῖκας, καὶ μὴ πικραίνεσθε πρὸς αὐτάς.* Γʹ 19.

Ἀκούσατε καὶ τί λέγει τοῖς ἐγγάμοις ὁ ἅγιος τοῦ Χριστοῦ Ἀπόστολος Πέτρος, αὐτὸς ἔγγαμος ὑπάρχων· *Οἱ ἄνδρες,* Αʹ Πέτ. *συνοικεῖτε ταῖς γυναιξὶ κατὰ γνῶσιν, ὡς ἀσθενεστέρῳ σκεύει* Γʹ 7. *τῷ γυναικείῳ ἀπονέμοντες τιμήν, ὡς καὶ συγκληρονόμοι χάριτος ζωῆς, εἰς τὸ μὴ ἐγκόπτεσθαι τὰς προσευχὰς ὑμῶν.*

Μέχρι τοῦδε ἠκούσατε τὸ καθῆκον τοῦ ἀνδρὸς πρὸς τὴν γυναῖκα. Ἀλλὰ καὶ νῦν ὡσαύτως, αἱ γυναῖκες, ἀκούσατε καὶ ἐκμάθετε τὸ ὑμέτερον καθῆκον πρὸς τοὺς ἄνδρας, καθὼς ἐστι σαφῶς ἀπηγγελμένον ἐν ταῖς θείαις Γραφαῖς.

Ὁ Ἀπόστολος ἐν τῇ προειρημένῃ πρὸς Ἐφεσίους Ἐπιστολῇ, οὕτω διδάσκει ὑμᾶς· *Αἱ γυναῖκες, τοῖς ἰδίοις ἀνδράσιν ὑπο-* Ἐφεσ. *τάσσεσθε, ὡς τῷ Κυρίῳ. Ὅτι ὁ ἀνήρ ἐστι κεφαλὴ τῆς* Εʹ 22. *γυναικός, ὡς καὶ ὁ Χριστὸς κεφαλὴ τῆς Ἐκκλησίας· καὶ αὐτός ἐστι Σωτὴρ τοῦ σώματος. Ἀλλ᾽ ὥσπερ ἡ Ἐκκλησία ὑποτάσσεται τῷ Χριστῷ, οὕτω καὶ αἱ γυναῖκες τοῖς ἰδίοις ἀνδράσιν ἐν παντί.* Καὶ πάλιν, *Ἡ γυνὴ ἵνα φοβῆται τὸν ἄνδρα.*

Καὶ ἐν τῇ αὐτοῦ πρὸς Κολασσαεῖς Ἐπιστολῇ, ὁ ἅγιος Ἀπόστολος οὕτω διὰ βραχέων διδάσκει ὑμᾶς· *Αἱ γυναῖκες,* Κολ. *ὑποτάσσεσθε τοῖς ἀνδράσι, ὡς ἀνήκει ἐν Κυρίῳ.* Γʹ 18.

Πρὸς τούτοις καὶ πάνυ καλῶς συμβιβάζει ὑμᾶς ὁ ἅγιος Ἀπόστολος Πέτρος, λέγων, *Αἱ γυναῖκες, ὑποτάσσεσθε τοῖς ἰδίοις* Αʹ Πέτ. *ἀνδράσιν· ἵνα καὶ εἴ τινες ἀπειθοῦσι τῷ λόγῳ, διὰ τῆς τῶν* Γʹ 1.

γυναικῶν ἀναστροφῆς ἄνευ λόγου κερδηθήσωνται· ἐποπτεύσαντες τὴν ἐν φόβῳ ἁγνὴν ἀναστροφὴν ὑμῶν. Ὧν ἔστω οὐχ ὁ ἔξωθεν ἐμπλοκῆς τριχῶν, καὶ περιθέσεως χρυσίων, ἢ ἐνδύσεως ἱματίων κόσμος· ἀλλ' ὁ κρυπτὸς τῆς καρδίας ἄνθρωπος, ἐν τῷ ἀφθάρτῳ τοῦ πρᾳέος καὶ ἡσυχίου πνεύματος, ὅ ἐστιν ἐνώπιον τοῦ Θεοῦ πολυτελές. Οὕτω γάρ ποτε καὶ αἱ ἅγιαι γυναῖκες, αἱ ἐλπίζουσαι ἐπὶ τὸν Θεόν, ἐκόσμουν ἑαυτάς, ὑποτασσόμεναι τοῖς ἰδίοις ἀνδράσιν· ὡς Σάρρα ὑπήκουσε τῷ Ἀβραάμ, Κύριον αὐτὸν καλοῦσα· ἧς ἐγενήθητε τέκνα, ἀγαθοποιοῦσαι, καὶ μὴ φοβούμεναι μηδεμίαν πτόησιν.

¶ *Πρόσφορόν ἐστιν ἵνα οἱ νεόγαμοι μεταλαμβάνωσι τῆς θείας Κοινωνίας κατὰ τὸν καιρὸν τοῦ γάμου αὐτῶν, ἢ κατὰ τὴν πρώτην μετὰ τὸν γάμον αὐτῶν εὐκαιρίαν.*

ΤΑΞΙΣ

ΓΙΝΟΜΕΝΗ

ΕΠ' ΕΠΙΣΚΕΨΕΙ ΑΣΘΕΝΩΝ

¶ Ὅταν τις ἀσθενῇ, δέον εἰδοποιεῖσθαι περὶ τούτου τὸν Ἐφημέριον τῆς Ἐνορίας· καὶ οὗτος εἰσελθὼν εἰς τὸν οἶκον τοῦ ἀσθενοῦντος λέγει,

ΕΙρήνη τῷ οἴκῳ τούτῳ, καὶ πᾶσι τοῖς κατοικοῦσιν ἐν αὐτῷ.

¶ Καὶ εἰσελθὼν πρὸς αὐτὸν τὸν ἀσθενοῦντα, γονυκλίνων λέγει,

ΜΗ μνησθῇς, Κύριε, τῶν ἀνομημάτων ἡμῶν, ἢ τῶν πατέρων ἡμῶν. Φεῖσαι ἡμῶν, Κύριε, φεῖσαι τοῦ λαοῦ σου ὃν ἐλυτρώσω τῷ πολυτίμῳ σου αἵματι, καὶ μὴ ὀργίζου ἡμῖν εἰς τέλος.

Ἀπόκρισις.

Φεῖσαι ἡμῶν, Κύριε.

¶ Εἶτα λέγει ὁ Λειτουργός,

Δεηθῶμεν.

Κύριε, ἐλέησον ἡμᾶς.

Χριστέ, ἐλέησον ἡμᾶς.

Κύριε, ἐλέησον ἡμᾶς.

ΠΑτερ ἡμῶν.

Ὁ Λειτουργός.

Σῶσον τὸν δοῦλόν σου, Κύριε·

Ἀπόκρισις.

Τὸν ἐλπίζοντα ἐπὶ Σέ.

Ὁ Λειτουργός.

Ἐξαπόστειλον αὐτῷ βοήθειαν ἐξ ἁγίου σου,

Ἀπόκρισις.

Καὶ εἰς τὸν αἰῶνα ἐν τῷ βραχίονί σου ἀντιλαβοῦ αὐτοῦ.

Ὁ Λειτουργός.

Μὴ ὠφελησάτω ἐχθρὸς ἐν αὐτῷ·

Ἀπόκρισις.

Καὶ ὁ ἄνομος μὴ προσθέτω τοῦ κακῶσαι αὐτῷ.

Ὁ Λειτουργός.

Γενοῦ αὐτῷ πύργος ἰσχύος,

Ἀπόκρισις.

Ἀπὸ προσώπου ἐχθροῦ αὐτοῦ.

Ὁ Λειτουργός.

Εἰσάκουσον, Κύριε, τῶν προσευχῶν ἡμῶν.

Ἀπόκρισις.

Καὶ ἡ κραυγὴ ἡμῶν πρός σε ἐλθέτω.

Ὁ Λειτουργός.

Ἐπίβλεψον ἐξ οὐρανοῦ, Κύριε, ἴδε, καὶ ἐπίσκεψαι καὶ ἀνακούφισον τὸν δοῦλόν σου τοῦτον. Ἐπίβλεψον ἐπ' αὐτὸν τοῖς ὄμμασιν τοῦ ἐλέους σου, δὸς αὐτῷ παραμυθίαν καὶ σταθερὰν πεποίθησιν ἐπὶ Σοί, ὑπεράσπισον αὐτὸν ἀπὸ τῆς ἐπιβουλῆς τοῦ ἀντικειμένου, καὶ διαφύλαξον αὐτὸν ἐν εἰρήνῃ καὶ ἀσφαλείᾳ διηνεκεῖ, διὰ Ἰησοῦ Χριστοῦ τοῦ Κυρίου ἡμῶν. Ἀμήν.

Ἐπάκουσον ἡμῶν, Παντοκράτορ καὶ πολυέλεε Θεὲ καὶ Σῶτερ· ἔκτεινον τὴν συνήθη σου ἀγαθότητα πρὸς τὸν δοῦλόν σου τοῦτον τὸν τῇ ἀσθενείᾳ λυπούμενον. Ἁγίασον αὐτῷ, δυσωποῦμέν σε, τὴν πατρικήν σου παιδείαν ταύτην· ἵνα ἡ συναίσθησις τῆς ἀδυναμίας αὐτοῦ ἰσχὺν προσθῇ τῇ πίστει αὐτοῦ, καὶ σπουδαιότητα τῇ μετανοίᾳ. Ὥστε, ἐὰν εὐδοκήσῃς τὴν προτέραν αὐτῷ ἀποδοῦναι ὑγείαν, διαγαγεῖν αὐτὸν τὸν ὑπολοιπὸν χρόνον τῆς ζωῆς αὐτοῦ ἐν τῷ σῷ φόβῳ, καὶ πρὸς τὴν σὴν δόξαν· ἐὰν δὲ μή, παράσχου αὐτῷ τὴν χάριν τοῦ προσδέξασθαι οὕτω τὴν σὴν ἐπίσκεψιν, ὥστε συντελεσθείσης ταύτης τῆς λυπηρᾶς ζωῆς Σοὶ συμπαραμεῖναι ἐν τῇ ζωῇ τῇ αἰωνίῳ, διὰ Ἰησοῦ Χριστοῦ τοῦ Κυρίου ἡμῶν. Ἀμήν.

¶ *Εἶτα παραινεῖ ὁ Λειτουργὸς τὸν ἀσθενοῦντα κατὰ τοῦτον ἢ ἄλλον τοιοῦτον τρόπον.*

Ἀγαπητέ, ἴσθι τοῦτο, ὅτι ὁ Παντοκράτωρ Θεὸς Κύριός ἐστι ζώης καὶ θανάτου, καὶ πάντων τῶν τούτων ἐχομένων, οἷον νεότητος, ἰσχύος, ὑγείας, γήρως, μαλακίας, καὶ ἀσθενείας. Ὅθεν, οἱαδήποτ' ἂν ᾖ σου ἡ ἀσθένεια, ἴσθι βεβαίως ὅτι αὐτὴ τοῦ Θεοῦ ἐστιν ἡ ἐπίσκεψις. Καὶ δι' ἥντιν' ἂν αἰτίαν ἡ ἀσθένεια αὕτη σοι ἐπιπεμφθῇ, εἴτε τοῦ δοκιμάσαι τὴν ὑπομονήν σου εἰς ὑπόδειγμα τοῖς ἄλλοις, καὶ τοῦ εὑρεθῆναι τὴν πίστιν σου ἐν ἡμέρᾳ Κυρίου ἐπαινετήν, ἔνδοξον, καὶ ἔντιμον, εἰς αὔξησιν δόξης καὶ ἀτελευτήτου μακαριότητος· εἴτε καὶ ἐπεπέμφθη σοι τοῦ παιδεῦσαι καὶ ἐπανορθῶσαι πᾶν ὁτιοῦν ἔν σοι δυσαρεστεῖ τοῖς ὄμμασι τοῦ ἐπουρανίου σου Πατρός· ἴσθι βεβαίως ὅτι ἐὰν μετανοήσῃς εἰλικρινῶς ἐπὶ τοῖς ἁμαρτήμασί σου, καὶ μεθ' ὑπομονῆς ὑπενέγκῃς τὴν ἀσθένειάν σου, πεποιθὼς ἐπὶ τῷ ἐλέει τοῦ Θεοῦ τῷ διὰ τὸν ἀγαπητὸν αὐτοῦ Υἱὸν Ἰησοῦν Χριστόν, καὶ ἐὰν ταπεινὴν αὐτῷ ἀποδῷς εὐχαριστίαν διὰ τὴν Πατρικὴν αὐτοῦ ἐπίσκεψιν, ὅλως ὑποταξάμενος σεαυτὸν τῷ θελήματι αὐτοῦ, ἀποβήσεται τοῦτο εἰς τὴν ὠφέλειάν σου, καί σε προάξει ἐν τῇ εὐθείᾳ ὁδῷ τῇ φερούσῃ εἰς τὴν ζωὴν τὴν αἰωνίον.

¶ *Ἐὰν λίαν ἀσθενῇ ὁ ἐπισκεπτόμενος, ὁ Ἐφημέριος δύναται ἐνταῦθα διακόψαι τὴν προτροπὴν αὐτοῦ· ἐὰν δὲ μή, προβαίνει.*

Προσλαβοῦ τοίνυν ἐπὶ καλοῦ τὴν παιδείαν Κυρίου· Ἐπειδὴ (ὡς λέγει ὁ Ἀπόστολος ἐν τῷ δωδεκάτῳ Κεφαλαίῳ τῷ πρὸς Ἑβραίους) ὃν ἀγαπᾷ Κύριος παιδεύει, μαστιγοῖ δὲ πάντα υἱὸν ὃν παραδέχεται. Εἰ παιδείαν ὑπομένετε, ὡς υἱοῖς ὑμῖν προσφέρεται ὁ Θεός· τίς γάρ ἐστιν υἱὸς ὃν οὐ παιδεύει πατήρ; Εἰ δὲ χωρίς ἐστε παιδείας, ἧς μέτοχοι γεγόνασι πάντες, ἄρα νόθοι ἐστέ, καὶ οὐχ υἱοί. Εἶτα, τοὺς μὲν τῆς σαρκὸς ἡμῶν πατέρας εἴχομεν παι-

δευτάς, καὶ ἐνετρεπόμεθα· οὐ πολλῷ μᾶλλον ὑποταγησόμεθα τῷ Πατρὶ τῶν Πνευμάτων, καὶ ζήσομεν; Οἱ μὲν γὰρ πρὸς ὀλίγας ἡμέρας κατὰ τὸ δοκοῦν αὐτοῖς ἐπαίδευον· ὁ δὲ ἐπὶ τὸ συμφέρον, εἰς τὸ μεταλαβεῖν τῆς ἁγιότητος αὐτοῦ. Ταῦτα τὰ ῥήματα, ἀδελφέ, ἐν τῇ θείᾳ Γραφῇ εἰς τὴν ἡμετέραν γέγραπται παραμυθίαν καὶ διδασκαλίαν, ἵνα μεθ' ὑπομονῆς, καὶ μετ' εὐχαριστίας, τὴν παιδείαν ὑποφέρωμεν τοῦ ἐπουρανίου Πατρὸς ἡμῶν, ὅταν δι' ὁποιασδήποτε συμφορᾶς εὐδοκήσῃ ἐπισκέψασθαι ἡμᾶς ἡ ἐλεήμων αὐτοῦ ἀγαθωσύνη. Καὶ οὐδὲν δεῖ τοὺς Χριστιανοὺς μείζονα λογίσασθαι παραμυθίαν, ἢ τὸ ἀφομοιωθῆναι τῷ Χριστῷ, μεθ' ὑπομονῆς πάσχοντας θλίψεις, στενοχωρίας τε καὶ ἀσθενείας. Καὶ γὰρ Αὐτὸς οὐκ ἀνέβη εἰς τὴν χαράν, εἰ μὴ πρῶτον ὀδύνην παθών· οὐκ εἰσῆλθεν εἰς τὴν δόξαν αὐτοῦ πρὸ τοῦ σταυρωθῆναι. Οὕτω καὶ ἐπ' ἀληθείας ἡμῶν ἡ ὁδὸς εἰς τὴν αἰώνιον χαράν ἐστι τὸ ἐνταῦθα τῷ Χριστῷ συμπάσχειν· καὶ ἡ θύρα τοῦ εἰσελθεῖν εἰς ζωὴν αἰώνιόν ἐστι τὸ ἀσμένως τῷ Χριστῷ συναποθανεῖν· ἵνα ἐκ θανάτου ἀναστῶμεν, καὶ ἐνδημήσωμεν σὺν αὐτῷ ἐν ζωῇ ἀπεράντῳ. Ἀρ' οὖν νυνὶ ἐν τῷ Ὀνόματι τοῦ Θεοῦ σε παραινῶ, τὴν ἀσθένειαν, τὴν οὕτω σοι συμφέρουσαν, μεθ' ὑπομονῆς προσδεχόμενον, ἀναμνησθῆναι τῆς ἐν τῷ Βαπτίσματι πρὸς τὸν Θεὸν προσενεχθείσης ὁμολογίας σου. Καὶ ἐπειδὴ μετὰ ταύτην τὴν ζωὴν ἀποδοθήσεται λόγος τῷ δικαίῳ Κριτῇ, ὑφ' οὗ πάντας χρὴ ἀπροσωπολήπτως κριθῆναι· ἀπαιτῶ παρά σου ἵνα δοκιμάσῃς καὶ σεαυτόν καὶ τὴν πρὸς Θεόν τε καὶ ἄνθρωπον κατάστασίν σου· ὥστε κατηγοροῦντα καὶ καταγινώσκοντα σεαυτοῦ διὰ τὰ ἴδια πταίσματα, ἔλεος εὑρῆσαι διὰ τὸν Χριστὸν παρὰ τοῦ ἐπουρανίου Πατρὸς ἡμῶν, καὶ μὴ κατηγορηθῆναι καὶ καταγνωσθῆναι ἐν ἐκείνῃ τῇ φοβερᾷ κρίσει. Διὰ τοῦτο ἀπαγγελῶ σοι τὰ Κεφάλαια τῆς Πίστεως ἡμῶν, ἵνα γνωρίζῃς πότερον πιστεύεις ὡς ὀφείλει ὁ Χριστιανός, ἢ οὔ.

¶ Ἐνταῦθα ἀπαγγέλλει ὁ Λειτουργὸς τὰ Κεφάλαια τῆς Πίστεως, οὕτω λέγων,

Πιστεύεις εἰς Θεὸν Πατέρα Παντοκράτορα [κτλ. Σελ. 278].

¶ Ἀποκρίνεται ὁ ἀσθενῶν,

Πάντα ταῦτα ἑδραίως πιστεύω.

¶ Εἶτα ἐξετάζει αὐτὸν ὁ Λειτουργὸς εἰ εἰλικρινῶς μετανοεῖ ἐπὶ τοῖς ἁμαρτήμασιν αὐτοῦ, καὶ ἐν ἀγάπῃ ὑπάρχει μετὰ πάντων τῶν ἀνθρώπων· προτρέπων αὐτὸν συγχωρῆσαι ἐξ ὅλης καρδίας πᾶσι τοῖς κατ' αὐτοῦ πλημμελήσασι, καὶ εἰ αὐτὸς ἐπλημμέλησε κατά τινων, συγχώρησιν αἰτήσασθαι παρ' αὐτῶν· καὶ ἐν ᾧ ἔβλαψεν ἢ ἠδίκησέν τινα, ὅση δύναμις αὐτῷ, τοῦτον ἀποζημιῶσαι. Καὶ εἰ πρὸ τούτου μὴ διέθετο τὰ ὑπάρχοντα, δέον νουθετεῖσθαι αὐτὸν ἵνα ποιήσηται διαθήκην, καὶ ἀναγγείλῃ τὰ ὀφειλήματα αὐτοῦ, πόσον αὐτὸς χρεωστεῖ, καὶ πόσον αὐτῷ χρεωστεῖται, εἰς τὴν ἐλευθέρωσιν τῆς ἰδίας συνειδήσεως, καὶ τὴν ἀμεριμνίαν τῶν ἐκτελεστῶν αὐτοῦ. Ἀλλὰ δέον πολλάκις ἀναμνησθῆναι ἀνθρώπους, ἔτι ἐν ὑγείᾳ ὑπάρχοντας, τοῦ προμηθεύεσθαι ὑπὲρ τῆς τῶν προσκαίρων αὐτῶν πραγμάτων εὐθετήσεως.

¶ Τὰ ῥήματα ταῦτα τὰ προειρημένα λέγεσθαι δύνανται πρὶν ἢ ἄρξηται ὁ Λειτουργὸς τῆς προσευχῆς αὐτοῦ, κατὰ τὸ δοκοῦν αὐτῷ.

¶ Οὐκ ὀφείλει ὁ Λειτουργὸς παραλεῖψαι τὸ σοβαρῶς πείθειν τοὺς ἀσθενοῦντας τοὺς δυναμένους, ἵνα ἐλευθέριοι γένωνται πρὸς τοὺς πένητας.

¶ Εἶτα δέον πείθεσθαι τὸν ἀσθενοῦντα ἰδιαιτέραν ποιήσασθαι ἐξομολόγησιν τῶν ἁμαρτιῶν αὐτοῦ, ἐὰν ᾖ συνειδὼς ἑαυτῷ λυπουμένῳ ἐπὶ σπουδαίῳ τινὶ πταίσματι. Μεθ' ἣν ἐξομολόγησιν, ὁ Ἱερεὺς ἀφίησιν αὐτῷ (ἐὰν οὗτος ταπεινῶς καὶ ἐκ καρδίας τοῦτο ἐπιθυμήσῃ) κατὰ τοῦτον τὸν τρόπον.

Ὁ Κύριος ἡμῶν Ἰησοῦς Χριστός, ὁ τῇ αὐτοῦ Ἐκκλησίᾳ τὴν ἐξουσίαν καταλείψας τοῦ πᾶσιν ἀφιέναι ἁμαρτωλοῖς τοῖς εἰλικρινῶς μετανοοῦσι καὶ εἰς αὐτὸν πιστεύουσιν, Αὐτὸς διὰ τὸ μέγα ἔλεος αὐτοῦ συγχωρῆσαι σοι τὰ πλημμελήματά σου· Καὶ κατὰ τὴν ἐξουσίαν αὐτοῦ τὴν ἐμοὶ ἐμπεπιστευμένην, ἐγὼ ἀφίημί σοι πάσας τὰς ἁμαρτίας σου, Εἰς τὸ Ὄνομα τοῦ Πατρός, καὶ τοῦ Υἱοῦ, καὶ τοῦ ἁγίου Πνεύματος. Ἀμήν.

¶ Εἶτα ὁ Ἱερεὺς ἀναγινώσκει τὴν ἑξῆς ἑπομένην Εὐχήν.

Δεηθῶμεν.

Ὁ Θεὸς ὁ πολυέλεος, ὁ κατὰ τὸ πλῆθος τῶν οἰκτιρμῶν σου οὕτως ἀθετῶν τὰς ἁμαρτίας τῶν εἰλικρινῶς μετα-

νοούντων, ὥστ᾽ αὐτῶν μηκέτι μνησθῆναι· Αὐτὸς καὶ νῦν ἄνοιξον τὸ ὄμμα τοῦ ἐλέους σου ἐπὶ τὸν δοῦλόν σου τοῦτον, τὸν μετὰ πάσης προθυμίας τὴν ἄφεσιν καὶ συγχώρησιν ἐπιποθοῦντα. Ἐγκαίνισον ἐν αὐτῷ, Πάτερ πολυφιλόστοργε, πᾶν τὸ διὰ τῆς διαβολικῆς ἀπάτης καὶ κακίας, ἢ διὰ τῆς ἰδίας σαρκικῆς θελήσεως καὶ ἀδυναμίας διεφθαρμένον· διαφύλαξον καὶ διατήρησον ἐν τῇ ἑνότητι τῆς Ἐκκλησίας τοῦτο τὸ μέλος τὸ ἀσθενοῦν· μνήσθητι αὐτοῦ τῆς κατανύξεως, πρόσδεξαι τὰ δάκρυα, πράυνον τὴν ὀδύνην, ὡς δοκήσει σοι μάλιστα αὐτῷ συμφέρειν. Καὶ ἐπειδὴ ἐπὶ μόνῳ τῷ σῷ ἐλέει ὅλως πέποιθε, μὴ αὐτῷ λόγισαι τὰ προημαρτημένα αὐτοῦ· ἀλλὰ κραταίωσον αὐτὸν διὰ τοῦ εὐλογητοῦ σου Πνεύματος, καὶ ὅταν εὐδοκήσῃς ἐντεῦθεν αὐτὸν μεταστῆσαι, πρόσδεξαι αὐτὸν εἰς τὴν σὴν εὔνοιαν, διὰ τὴν ἀξιομισθίαν τοῦ ὑπεραγαπητοῦ σου Υἱοῦ, Κυρίου δὲ ἡμῶν Ἰησοῦ Χριστοῦ. Ἀμήν.

¶ Εἶτα ἀναγινώσκει ὁ Λειτουργὸς τοῦτον τὸν Ψαλμόν.

In te, Domine, speravi. Ψαλ. Ο΄.

Ὁ Θεός, ἐπὶ σοὶ ἤλπισα, μὴ κατασχυνθείην εἰς τὸν αἰῶνα.
Δόξα. Ὥσπερ ἐν ἀρχῇ, καὶ νῦν.

¶ Ἐπισυνάπτων τοῦτο.

Ὁ Σωτὴρ τοῦ κόσμου, ὁ διὰ τοῦ σταυροῦ σου καὶ τοῦ τιμίου αἵματος ἀπολυτρωσάμενος ἡμᾶς, σῶσον ἡμᾶς καὶ ἀντιλαβοῦ ἡμῶν, ταπεινῶς σου δεόμεθα, Κύριε.

¶ Εἶτα λέγει ὁ Λειτουργός,

Ὁ Κύριος ὁ Παντοκράτωρ, ὁ ὢν πύργος ἰσχύος πᾶσι τοῖς ἐλπίζουσιν ἐπ᾽ αὐτόν, ᾧ πάντα τὰ ἐπουράνια καὶ τὰ ἐπίγεια καὶ τὰ καταχθόνια κλίνονται καὶ πειθαρχοῦσιν, Αὐτὸς καὶ νῦν καὶ εἰς τὸν αἰῶνα εἴη σοι ὑπεράσπισις, καὶ ποιήσαι σε γνῶναι καὶ συναισθάνεσθαι, ὅτι οὐδέν ἐστιν ὄνομα ἕτερον ὑπὸ τὸν οὐρανὸν δεδομένον ἀνθρώποις, ἐν ᾧ, καὶ δι᾽ οὗ ὑγείαν καὶ σωτηρίαν δύνασαι λήψασθαι, εἰ μὴ μόνον τὸ Ὄνομα τοῦ Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ. Ἀμήν.

¶ Καὶ μετέπειτα λέγει,

ΤΩι ἐλέει καὶ ὑπερασπίσει τοῦ Θεοῦ παραδίδομέν σε. Εὐλογήσαι Κύριος καὶ φυλάξαι σε. Ἐπιφάναι Κύριος τὸ πρόσωπον αὐτοῦ ἐπί σε, καὶ ἐλεήσαι σε. Ἐπάραι Κύριος τὸ πρόσωπον αὐτοῦ ἐπί σε, καὶ δῴη σοι εἰρήνην, καὶ νῦν καὶ εἰς τοὺς αἰῶνας. Ἀμήν.

Εὐχὴ εἰς παιδίον ἀσθενοῦν.

ὉΘεὸς ὁ παντοκράτωρ καὶ ὁ Πατὴρ ὁ οἰκτίρμων, οὗ μόνου αἱ διέξοδοι ζωῆς καὶ θανάτου· Ταπεινῶς δεόμεθά σου, ἐπίβλεψον ἐξ οὐρανοῦ τοῖς ὄμμασι τοῦ ἐλέους σου ἐπὶ τὸ παιδίον τοῦτο τὸ νῦν κατακείμενον ἐπὶ κλίνῃ ἀσθενείας· Ἐπίσκεψαι αὐτό, Κύριε, τῷ σωτηρίῳ σου· ῥῦσαι αὐτὸ ἐν τῷ εὐθέτῳ σου καιρῷ ἐκ τῆς σωματικῆς αὐτοῦ ὀδύνης, καὶ σῶσον τὴν ψυχὴν αὐτοῦ διὰ τοὺς οἰκτιρμούς σου· Ἵνα ἐὰν εὐδοκήσῃς τὰς ἡμέρας αὐτοῦ παρατεῖναι τὰς ἐνταῦθα ἐπὶ τῆς γῆς, Σοὶ ζήσῃ, καὶ ὄργανον γένηται τῆς σῆς δόξης, πιστῶς σοι δουλεῦον, καὶ ἀγαθοεργοῦν ἐν τῇ γενεᾷ αὐτοῦ· ἐὰν δὲ μή, πρόσδεξαι αὐτὸ εἰς τὰ ἐπουράνια σκηνώματα, ἔνθα αἱ ψυχαὶ τῶν διὰ τοῦ Κυρίου Ἰησοῦ κεκοιμημένων ἀεννάου ἀναπαύσεως καὶ μακαριότητος ἀπολαύουσι. Τοῦτο χάρισαι, Κύριε, διὰ τὰ ἐλέη σου, τὰ ἐν τῷ αὐτῷ τῷ Υἱῷ σου, Κυρίῳ δὲ ἡμῶν Ἰησοῦ Χριστῷ, τῷ σὺν Σοὶ καὶ τῷ ἁγίῳ Πνεύματι συζῶντι καὶ συμβασιλεύοντι, ἑνὶ ἀεὶ Θεῷ, εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

Εὐχὴ εἰς ἀσθενοῦντα, ὅταν ὀλίγη φαίνηται ἐλπὶς ἀναρρώσεως.

ὉΠατὴρ τῶν οἰκτιρμῶν, καὶ ὁ Θεὸς πάσης παρακλήσεως, ἡ μόνη ἡμῶν εὔκαιρος βοήθεια· Καταφεύγομεν πρὸς Σὲ ὑπὲρ τούτου τοῦ δούλου σου, τοῦ κατακειμένου ὑπὸ τὴν χεῖρά σου ἐν πολλῇ τῇ σωματικῇ ἀσθενείᾳ. Οἰκτιρμόνως ἐπίβλεψον ἐπ' αὐτόν, Κύριε· καὶ ὅσῳ μᾶλλον διαφθείρεται

ὁ ἔξω ἄνθρωπος, τοσούτῳ, δεόμεθά σου, κραταίωσον αὐτὸν διηνεκῶς διὰ τῆς χάριτος καὶ τοῦ Πνεύματός σου εἰς τὸν ἔσω ἄνθρωπον. Δὸς αὐτῷ εἰλικρινῆ τὴν μετάνοιαν ἐπὶ πᾶσι τοῖς τοῦ παρῳχημένου βίου αὐτοῦ σφάλμασι, καὶ ἑδραίαν τὴν εἰς τὸν Ἰησοῦν τὸν Υἱόν σου πίστιν, ἵνα αὐτοῦ ἀθετηθῶσιν αἱ ἁμαρτίαι ἐν τῷ ἐλέει σου καὶ ἡ συγχώρησις ἐν οὐρανῷ σφραγισθῇ, πρὶν ἢ ἐνθένδε ἀπέλθῃ καὶ οὐκέτι μὴ φάνηται. Ἐπιστάμεθα, Κύριε, ὅτι οὐκ ἀδυνατεῖ παρὰ Σοὶ πᾶν ῥῆμα· καὶ ὅτι ἐὰν θέλῃς, δύνασαι καὶ νῦν ἐγεῖραι αὐτόν, καὶ χαρίσασθαι αὐτῷ ἔτι παραμεῖναι ἐν ἡμῖν. Ἀλλ' ἐπειδὴ κατὰ τὰ φαινόμενα ὁ καιρὸς τῆς ἀναλύσεως αὐτοῦ ἐφέστηκεν, οὕτω παρασκεύασον αὐτὸν καὶ ἑτοίμασον, δεόμεθά σου, πρὸς τὴν ὥραν τοῦ θανάτου, ὥστε μετὰ τὴν ἐντεῦθεν ἐν εἰρήνῃ καὶ ἐν τῇ σῇ εὐνοίᾳ αὐτοῦ μετάστασιν, δεκτὴν γενέσθαι τὴν ψυχὴν αὐτοῦ εἰς τὴν αἰώνιόν σου βασιλείαν, διὰ τὴν ἀξιομισθίαν καὶ μεσιτείαν τοῦ μονογενοῦς σου Υἱοῦ, Κυρίου δὲ καὶ Σωτῆρος ἡμῶν Ἰησοῦ Χριστοῦ. Ἀμήν.

¶ Εὐχὴ συστατικὴ εἰς ἀσθενοῦντα ψυχορραγοῦντα.

Ὁ Θεὸς ὁ Παντοκράτωρ, παρ' ᾧ ζῶσι τὰ πνεύματα δικαίων τετελειωμένων, μετὰ τὸ ἐλευθέρωθῆναι ἀπὸ τῶν χοϊκῶν αὐτῶν δεσμωτηρίων· Τὴν ψυχὴν τούτου τοῦ δούλου σου καὶ ἀγαπητοῦ ἀδελφοῦ ἡμῶν ταπεινῶς παραδίδομεν εἰς τὰς σὰς χεῖρας, ὡς εἰς χεῖρας πιστοῦ Κτίστου, καὶ πολυελέου Σωτῆρος· ταπεινότατα ἱκετεύοντές σε ἵνα τίμιος αὐτὴ γένηται ἐναντίον σου. Λοῦσον αὐτήν, παρακαλοῦμέν σε, ἐν τῷ αἵματι τοῦ ἀμώμου ἐκείνου Ἀμνοῦ τοῦ σφαγιασθέντος τοῦ ἆραι τὰς ἁμαρτίας τοῦ κόσμου· ὥστε καθαρισθέντος καὶ ἐξαλειφθέντος παντὸς μολυσμοῦ εἰς ὅντιν' ἂν τύχῃ περιπεσὼν ἐν τούτῳ τῷ ἀθλίῳ καὶ πονηρῷ κόσμῳ, διὰ τῶν σαρκικῶν ἐπιθυμιῶν, ἢ τῆς σατανικῆς μεθοδείας, παρασταθῆναι αὐτὴν ἐνώπιόν σου καθαρὰν καὶ ἄσπιλον. Καὶ διὰ τούτου

καὶ ἄλλων παραπλησίων τῆς θνητότητος καθημερινῶν θεαμάτων, ἡμᾶς τοὺς περιγεγονότας νοῆσαι δίδαξον ὡς ἐπισφαλὴς καὶ ἀβέβαιός ἐστιν ἡ κατάστασις ἑαυτῶν, καὶ οὕτω γνωρίσαι τὸν ἀριθμὸν τῶν ἡμερῶν ἡμῶν, ὥστε σοβαρῶς, ἐφ' ὅσον ἐνθάδε ζῶμεν, τὰς καρδίας ἡμῶν κλίνειν πρὸς ἐκείνην τὴν ἄνωθεν ἁγίαν σοφίαν τὴν δυναμένην ἐπὶ τέλους προσαγαγεῖν ἡμᾶς εἰς τὴν ζωὴν τὴν αἰώνιον, διὰ τὴν ἀξιομισθίαν τοῦ μονογενοῦς σου Υἱοῦ, Κυρίου δὲ ἡμῶν Ἰησοῦ Χριστοῦ. Ἀμήν.

Εὐχὴ εἰς τοὺς διάνοιαν ἢ συνείδησιν στενοχωρουμένους.

ΚΥριε εὐλογητέ, ὁ Πατὴρ τῶν οἰκτιρμῶν, καὶ ὁ Θεὸς πάσης παρακλήσεως, δεόμεθά σου, ἐπίβλεψον μετ' ἐλέους καὶ οἰκτιρμοῦ ἐπὶ τοῦτον τὸν θλιβόμενόν σου δοῦλον. Καταγράφεις κατ' αὐτοῦ κακά, καὶ περιτίθεις αὐτῷ τὰς προγενεστέρας αὐτοῦ ἁμαρτίας· ἐπ' αὐτὸν ἐστηρίχθη ὁ θυμός σου, καὶ ἐπλήσθη κακῶν ἡ ψυχὴ αὐτοῦ Ἀλλ', ὁ Θεὸς ὁ οἰκτίρμων, ὁ γράψας τὸν ἅγιόν σου λόγον εἰς τὴν ἡμετέραν διδασκαλίαν, ἵνα διὰ τῆς ὑπομονῆς καὶ τῆς παρακλήσεως τῶν θείων σου Γραφῶν τὴν ἐλπίδα ἔχωμεν· Αὐτὸς δὸς αὐτῷ ὀρθὴν τὴν σύνεσιν ἑαυτοῦ τε καὶ τῶν σῶν ἀπειλῶν καὶ ἐπαγγελιῶν, ὥστε μήτε τὴν ἐπὶ Σοὶ πεποίθησιν αὐτοῦ ἀποβαλέσθαι, μήτε θέσθαι αὐτὴν ἐπ' ἄλλο τι ἐκτός σου. Δὸς αὐτῷ ἰσχὺν κατὰ παντὸς πειρασμοῦ καὶ ἴασαι πᾶσαν ἀσθένειαν αὐτοῦ. Τὸν κάλαμον τὸν συντετριμμένον μὴ κατέαξον, καὶ τὸν λίνον τὸν τυφόμενον μὴ σβέσον. Μὴ σύνεχε ἐν τῇ ὀργῇ τοὺς οἰκτιρμούς σου· ἀλλ' ἀκούτισον αὐτὸν ἀγαλλίασιν καὶ εὐφροσύνην, ἵνα ἀγαλλιάσωνται ὀστᾶ τεταπεινωμένα. Ἀπὸ φόβου ἐχθροῦ ἐξελοῦ αὐτόν, καὶ ἔπαρον τὸ πρόσωπόν σου ἐπ' αὐτόν, καὶ δὸς αὐτῷ εἰρήνην, διὰ τὴν ἀξιομισθίαν καὶ μεσιτείαν τοῦ Ἰησοῦ Χριστοῦ τοῦ Κυρίου ἡμῶν. Ἀμήν.

ΜΕΤΑΔΟΣΙΣ ΤΟΙΣ ΑΣΘΕΝΟΥΣΙ ΤΗΣ ΘΕΙΑΣ ΚΟΙΝΩΝΙΑΣ

¶ Ἐπειδὴ πάντες οἱ θνητοὶ πολλοῖς ὑπόκεινται αἰφνιδίοις κινδύνοις, νοσήμασί τε καὶ ἀσθενείαις, καὶ πάντοτε ἀβέβαιοι ὑπάρχουσι πότε μέλλουσιν ἀπελθεῖν ἐκ ταύτης τῆς ζωῆς· διὰ τοῦτο, ἐπὶ σκοπῷ ἵνα πάντοτε ἑτοίμως ἔχωσι τοῦ ἀποθανεῖν, ὅταν εὐδοκήσῃ ἀποκαλεῖν αὐτοὺς ὁ Θεὸς ὁ Παντοκράτωρ, ὀφείλουσιν οἱ Ἐφημέριοι ἐνίοτε (ἀλλὰ πρὸ πάντων ἐν καιρῷ λοιμοῦ, ἢ ἄλλου τινὸς κολλητικοῦ νοσήματος) τοὺς Ἐνορίτας αὐτῶν ἐπιμελῶς προτρέπειν εἰς τὸ πολλάκις μεταλαβεῖν τῆς θείας Κοινωνίας τοῦ σώματος καὶ αἵματος τοῦ Σωτῆρος ἡμῶν Χριστοῦ, ὅτε δημοσίᾳ ἐν τῇ Ἐκκλησίᾳ διανέμεται· ὥστε, τοῦτο πράξαντας, ἐν τῇ περιπτώσει αἰφνιδίου τινὸς ἐπισκοπῆς, μὴ τοσαύτην ἔχειν αἰτίαν τοῦ ἀνησυχεῖν δι' ἔλλειψιν τοῦ θείου Μυστηρίου. Ἀλλ' ἐὰν ὁ ἀσθενῶν μὴ δύνηται προσελθεῖν εἰς τὴν Ἐκκλησίαν, ἐπιθυμήσῃ δὲ μεταλαβεῖν τῆς Κοινωνίας κατ' οἶκον· ἐν τούτοις δέον αὐτὸν ἐγκαίρως προειδοποιῆσαι τὸν Ἐφημέριον, σημαίνοντα καὶ ὁπόσοι μέλλουσι σὺν αὐτῷ μεταλαβεῖν (οὓς δέον εἶναι τρεῖς, ἢ τοὐλάχιστον δύο)· καὶ ὁ Ἐφημέριος, τόπον ἔχων πρόσφορον ἐν τῷ οἴκῳ τοῦ ἀσθενοῦντος, καὶ πάντα τὰ ἀναγκαῖα οὕτω προητοιμασμένα, ὥστε δύνασθαι εὐσχημόνως λειτουργῆσαι, ἐκεῖ ἐπιτελεῖ τὴν θείαν Κοινωνίαν, ἀρχόμενος ἀπὸ τῆς Εὐχῆς, τοῦ Ἀποστόλου καὶ τοῦ Εὐαγγελίου τῶν ἐνταῦθα ἑπομένων.

Εὐχή.

Ὁ Θεὸς ὁ παντοκράτωρ καὶ ἀεὶ ζῶν, ὁ ποιητὴς τοῦ γένους τῶν ἀνθρώπων, ὁ παιδεύων οὓς ἀγαπᾷς καὶ μαστιγῶν πάντα ὃν παραδέχῃ· Ἐλέησον, δεόμεθά σου, τοῦτον τὸν δοῦλόν σου τὸν τῇ χειρί σου ἐπισκεπτόμενον, καὶ παράσχου ἵνα μεθ' ὑπομονῆς τὴν ἀσθένειαν αὐτοῦ προσδεχόμενος, τὴν σωματικὴν ἀναλάβῃ ὑγείαν (ἐὰν θέλῃ ἡ σὴ ἀγαθωσύνη)· καὶ ὅταν μεταστῇ ἡ ψυχὴ αὐτοῦ ἐκ τοῦ σώματος, ἄμωμος Σοὶ αὐτὴ παρασταθῇ, διὰ Ἰησοῦ Χριστοῦ τοῦ Κυρίου ἡμῶν. Ἀμήν.

Ἀπόστολος.

Ἑβρ. ΙΒ´ 5. Υἱέ μου, μὴ ὀλιγώρει παιδείας Κυρίου, μηδὲ ἐκλύου ὑπ' αὐτοῦ ἐλεγχόμενος. Ὃν γὰρ ἀγαπᾷ Κύριος, παιδεύει· μαστιγοῖ δὲ πάντα υἱὸν ὃν παραδέχεται.

ΚΟΙΝΩΝΙΑ ΑΣΘΕΝΟΥΝΤΩΝ

Εὐαγγέλιον.

Ἀμήν, ἀμὴν λέγω ὑμῖν ὅτι Ὁ τὸν λόγον μου ἀκούων, καὶ πιστεύων τῷ πέμψαντί με, ἔχει ζωὴν αἰώνιον, καὶ εἰς κρίσιν οὐκ ἔρχεται· ἀλλὰ μεταβέβηκεν ἐκ τοῦ θανάτου εἰς τὴν ζωήν. Ἰωάν. Ε΄ 24.

¶ *Καὶ μετὰ τοῦτο προβαίνει ὁ Ἱερεὺς κατὰ τὸν τύπον τὸν διὰ τὴν θείαν* Κοινωνίαν *προδιατεταγμένον, ἀπαρχόμενος ἀπὸ τῶν ῥημάτων τούτων* [Ὅσοι ἀληθινῶς, κτλ.]

¶ *Κατὰ τὸν καιρὸν τῆς κοινωνίας τοῦ θείου* Μυστηρίου, *ὁ* Ἱερεὺς *πρῶτος μεταλαμβάνει, καὶ μετέπειτα μεταδίδωσι τοῖς ὡρισμένοις τοῦ μεταλαβεῖν σὺν τῷ ἀσθενοῦντι, καὶ ἐσχάτῳ πάντων τῷ ἀσθενοῦντι.*

¶ *Ἐὰν δέ τις, εἴτε διὰ τὸ ἔσχατον ἀσθενείας, εἴτε διὰ τὸ μὴ ἐγκαίρως εἰδοποιηθῆναι τὸν* Ἐφημέριον, *εἴτε δι' ἔλλειψιν θελόντων τινῶν σὺν αὐτῷ μεταλαβεῖν, εἴτε δι' ἄλλον τινὰ δίκαιον ἐμποδισμόν, μὴ μεταλάβῃ τοῦ* Μυστηρίου *τοῦ σώματος καὶ αἵματος τοῦ* Χριστοῦ, *ὁ* Ἐφημέριος *ὀφείλει αὐτὸν διδάξαι, ὅτι ἐὰν εἰλικρινῶς μετανοῇ ἐπὶ ταῖς ἁμαρτίαις αὐτοῦ, καὶ πιστεύῃ ἑδραίως ὅτι ὁ* Ἰησοῦς Χριστὸς *ὑπὲρ αὐτοῦ θάνατον ὑπέμεινεν ἐπὶ τῷ σταυρῷ, καὶ τὸ αἷμα αὐτοῦ ἐξέχεεν ὑπὲρ τῆς ἀπολυτρώσεως αὐτοῦ, σοβαρῶς μεμνημένος τῶν εὐεργεσιῶν ὧν ἐντεῦθεν ἀπολαύει, καὶ διὰ ταύτας ἐκ καρδίας εὐχαριστῶν* Αὐτῷ, *ἐπὶ τούτοις ὠφελίμως ἐσθίει καὶ πίνει τὸ σῶμα καὶ αἷμα τοῦ* Σωτῆρος *ἡμῶν* Χριστοῦ *εἰς τὴν πνευματικὴν αὐτοῦ ὑγείαν, καίπερ μὴ διὰ στόματος μεταλαβὼν τοῦ* Μυστηρίου.

¶ *Ὅταν ἐπισκέπτηται ὁ ἀσθενῶν καὶ μεταλαμβάνῃ τῆς θείας* Κοινωνίας *κατὰ τὸν αὐτὸν καιρόν, ὁ* Ἱερεύς, *ἵνα μὴ ὑπεράγαν προτείνηται ὁ χρόνος, διακόπτειν ὀφείλει τὴν τάξιν τῆς* Ἐπισκέψεως *κατὰ τὸν* Ψαλμὸν [Ὁ Θεός, ἐπί σοι ἤλπισα] *καὶ εὐθέως προβαίνειν εἰς τὴν* Κοινωνίαν.

¶ *Ἐν καιρῷ λοιμοῦ, ἢ ἱδρῶτος, ἢ ἄλλων τοιούτων κολλητικῶν ἀσθενειῶν καὶ νοσημάτων, ὅταν διὰ φόβον μολυσμοῦ οὐδεὶς τῶν* Ἐνοριτῶν *ἢ τῶν πλησίον εὑρεθῆναι δύνηται τοῦ σὺν τοῖς ἀσθενοῦσιν μεταλαμβάνειν ἐν τοῖς οἴκοις, ἐάν τις τῶν νοσούντων τοῦτο ῥητῶς ἀπαιτῇ, ἐπιτρέπεται τῷ* Ἐφημερίῳ *αὐτῷ μόνῳ σὺν τούτῳ μεταλαμβάνειν.*

ΑΚΟΛΟΥΘΙΑ ΝΕΚΡΩΣΙΜΟΣ

¶ Σημειωτέον, ὅτι οὐ μὴ γένηται ἡ ἑπομένη Ἀκολουθία εἴς τινα ἀβάπτιστον, ἢ ἐν ἀφορισμῷ ἀποθανόντα, ἢ χεῖρας βιαίας ἐφ' ἑαυτὸν ἐπιβαλόντα.

¶ Ὁ Ἱερεὺς καὶ οἱ Ψάλται συναντήσαντες τῷ λειψάνῳ κατὰ τὴν εἴσοδον τοῦ Νεκροταφείου, καὶ προπορευόμενοι αὐτοῦ, ἢ εἰς τὴν Ἐκκλησίαν, ἢ πρὸς τὸν τάφον, ἀναγινώσκουσιν ἢ ψάλλουσιν,

Ἰωάν. ΙΑ' 25, 26. ἘΓώ εἰμι ἡ ἀνάστασις καὶ ἡ ζωή, λέγει ὁ Κύριος· ὁ πιστεύων εἰς ἐμέ, κἂν ἀποθάνῃ, ζήσεται. Καὶ πᾶς ὁ ζῶν καὶ πιστεύων εἰς ἐμέ, οὐ μὴ ἀποθάνῃ εἰς τὸν αἰῶνα.

Ἰὼβ ΙΘ' 25, 26, 27. ΟΙδα ὅτι ἀέννaός ἐστιν ὁ ἐκλύειν με μέλλων ἐπὶ γῆς, ἀναστήσει δέ μου τὸ σῶμα τὸ ἀναντλοῦν μοι ταῦτα. Παρὰ γὰρ Κυρίου ταῦτά μοι συνετελέσθη, ἃ ἐγὼ ἐμαυτῷ συνεπίσταμαι, ἃ οἱ ὀφθαλμοί μου ἑωράκασι, καὶ οὐκ ἄλλος.

Α' Τιμ. Ϛ' 7. Ἰὼβ Α' 21. ΟΥδὲν εἰσηνέγκαμεν εἰς τὸν κόσμον, καὶ δῆλον ὅτι οὐδὲ ἐξενεγκεῖν τι δυνάμεθα. Ὁ Κύριος ἔδωκεν, ὁ Κύριος ἀφείλατο· εἴη τὸ Ὄνομα Κυρίου εὐλογημένον.

¶ Εἰσελθόντων δὲ αὐτῶν εἰς τὴν Ἐκκλησίαν, ἀναγινώσκεται εἷς τούτων τῶν ἐφεξῆς Ψαλμῶν ἢ οἱ ἀμφότεροι.

Dixi custodiam. Ψαλ. ΛΗ'. ΕΙπα, Φυλάξω τὰς ὁδούς μου.

Δόξα. Ὥσπερ ἐν ἀρχῇ, καὶ νῦν.

Domine refugium. Ψαλ. ΠΘ'. ΚΥριε, καταφυγὴ ἡμῖν ἐγενήθης.

Δόξα. Ὥσπερ ἐν ἀρχῇ, καὶ νῦν.

¶ Εἶτα ἀκολουθεῖ τὸ Ἀνάγνωσμα τὸ ληφθὲν ἐκ τοῦ πεντεκαιδεκάτου Κεφαλαίου τῆς πρὸς Κορινθίους προτέρας Ἐπιστολῆς τοῦ Ἀποστόλου.

Α' Κορ. ΙΕ' 20. ΝΥνὶ δὲ Χριστὸς ἐγήγερται ἐκ νεκρῶν [κτλ., ἕως τοῦ τέλους τοῦ Κεφαλαίου].

¶ Ἐλθόντων δὲ αὐτῶν εἰς τὸν τάφον, ἑτοιμαζομένου τοῦ λειψάνου τοῦ κατατεθῆναι εἰς τὴν γῆν, λέγει ὁ Ἱερεύς, ἢ ψάλλουσιν ὁ Ἱερεὺς καὶ οἱ Ψάλται,

ΒΡοτὸς γεννητὸς γυναικὸς ὀλιγόβιος, καὶ πλήρης ὀργῆς. Ἢ ὥσπερ ἄνθος ἀνθῆσαν ἐξέπεσεν· ἀπέδρα δὲ ὥσπερ σκιά, καὶ οὐ μὴ στῇ.

Μέσον ζωῆς ἐν θανάτῳ ἐσμεν· τίνα ζητήσωμεν βοηθόν, πλὴν Σοῦ, Κύριε, ὁ δι' ἁμαρτίας ἡμῶν δικαίως ὀργιζόμενος;

Ἀλλά, Κύριε ὁ Θεὸς ὁ ἅγιος, ὁ Θεὸς ὁ ἰσχυρός, ὁ ἅγιος καὶ πολυέλεος Σωτήρ, μὴ παραδῷς ἡμᾶς εἰς πικρὰς ὀδύνας θανάτου αἰωνίου.

Σὺ οἶδας, Κύριε, κρυπτὰ καρδιῶν ἡμῶν· μὴ κατάφραξον ὦτα ἐλέους σου πρὸς ἡμῶν προσευχάς· ἀλλὰ φεῖσαι ἡμῶν, Κύριε ὁ Θεὸς ὁ ἅγιος, ὁ Θεὸς ὁ ἰσχυρός, ὁ ἅγιος καὶ ἐλεήμων Σωτήρ, ὁ ἐπάξιος Κριτὴς ὁ αἰώνιος, μὴ ἀφῇς ἡμᾶς ἐν ἐσχάτῃ ὥρᾳ διὰ πᾶσαν ὀδύνην θανάτου ἀπὸ Σοῦ παραπεσεῖν.

¶ Εἶτα, ἐπιρριπτομένου ἐπὶ τὸ σῶμα τοῦ χοῦ παρὰ παρεστώτων τινῶν, λέγει ὁ Ἱερεύς,

Ἐπειδὴ ηὐδόκησεν ὁ Θεὸς ὁ Παντοκράτωρ διὰ τὸ πολὺ αὐτοῦ ἔλεος προσλαβέσθαι ἑαυτῷ τὴν ψυχὴν τούτου τοῦ ἀπελθόντος ἀγαπητοῦ ἡμῶν ἀδελφοῦ, διὰ τοῦτο παραδίδομεν τὸ σῶμα αὐτοῦ τῇ γῇ, γῆν τῇ γῇ, τέφραν τῇ τέφρᾳ, σποδὸν τῇ σποδῷ, ἐπ' ἐλπίδι ἀσφαλεῖ καὶ βεβαίᾳ ἀναστάσεως ζωῆς αἰωνίου, διὰ τοῦ Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ, ὃς μετασχηματίσει τὸ σῶμα τῆς ταπεινώσεως ἡμῶν, σύμμορφον τῷ σώματι τῆς δόξης αὐτοῦ, κατὰ τὴν ἐνέργειαν τοῦ δύνασθαι αὐτὸν καὶ ὑποτάξαι αὐτῷ τὰ πάντα.

¶ Εἶτα ἀναγινώσκεται ἢ ψάλλεται,

Ἤκουσα φωνῆς ἐκ τοῦ οὐρανοῦ, λεγούσης μοι, Γράψον· Μακάριοι οἱ νεκροὶ οἱ ἐν Κυρίῳ ἀποθνήσκοντες ἀπ' ἄρτι· ναί, λέγει τὸ Πνεῦμα· ἵνα ἀναπαύσωνται ἐκ τῶν κόπων αὐτῶν.

¶ Εἶτα λέγει ὁ Ἱερεύς,

Κύριε, ἐλέησον ἡμᾶς.
Χριστέ, ἐλέησον ἡμᾶς.
Κύριε, ἐλέησον ἡμᾶς.

ΑΚΟΛΟΥΘΙΑ ΝΕΚΡΩΣΙΜΟΣ

ΠΑτερ ἡμῶν.

Ὁ Ἱερεύς.

Ὁ Θεὸς ὁ Παντοκράτωρ, παρ᾽ ᾧ ζῶσι τὰ πνεῦματα τῶν ἐνθένδε ἐν τῷ Κυρίῳ μεθισταμένων, παρ᾽ ᾧ καὶ αἱ ψυχαὶ τῶν πιστῶν, ἀπὸ φορτίου σαρκὸς ἐλευθερωθεῖσαι, ἐν χαρᾷ τυγχάνουσι καὶ ἀγαλλιάσει· Ἐκ καρδίας σοι εὐχαριστοῦμεν, διότι ηὐδόκησας τοῦτον ῥύσασθαι τὸν ἀδελφὸν ἡμῶν ἐκ τῶν ταλαιπωριῶν τούτου τοῦ πονηροῦ αἰῶνος, Σὲ παρακαλοῦντες ἵνα εὐδοκήσῃς δι᾽ ἐλεήμονά σου ἀγαθωσύνην ἐν τάχει συμπληρῶσαι τὸν ἀριθμὸν τῶν ἐκλεκτῶν σου, καὶ σπεῦσαι τὴν βασιλείαν σου, ὥσθ᾽ ἡμᾶς, μετὰ πάντων τῶν ἀπελθόντων ἐν τῇ ἀληθινῇ πίστει τοῦ ἁγίου σου Ὀνόματος, τῆς τελείας ἡμῶν ἐν σώματι καὶ ψυχῇ τελειώσεως καὶ μακαριότητος ἐπιτυχεῖν, ἐν τῇ σῇ αἰωνίῳ καὶ ἀπεράντῳ δόξῃ, διὰ Ἰησοῦ Χριστοῦ τοῦ Κυρίου ἡμῶν. Ἀμήν.

Εὐχή.

Ὁ Θεὸς ὁ οἰκτίρμων, ὁ Πατὴρ τοῦ Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ, ὅς ἐστιν ἡ ἀνάστασις καὶ ἡ ζωή· εἰς ὃν πᾶς ὁ πιστεύων, κἂν ἀποθάνῃ, ζήσεται· καὶ πᾶς ὁ ζῶν καὶ πιστεύων εἰς αὐτόν, οὐ μὴ ἀποθάνῃ εἰς τὸν αἰῶνα· ὃς καὶ ἐδίδαξεν ἡμᾶς (διὰ τοῦ ἁγίου αὐτοῦ Ἀποστόλου Παύλου) μὴ λυπεῖσθαι, καθὼς καὶ οἱ μὴ ἔχοντες ἐλπίδα, ἐπὶ τοῖς ἐν Αὐτῷ κεκοιμημένοις· Μετὰ πρᾳότητος δυσωποῦμέν σε, ὦ Πάτερ, ἀνάστησον ἡμᾶς ἐκ θανάτου ἁμαρτίας εἰς ζωὴν δικαιοσύνης· ὥσθ᾽ ὅταν μεταστῶμεν ἐκ τούτου τοῦ βίου, ἐν Αὐτῷ ἀναπαύσασθαι ἡμᾶς, καθὼς ἐλπίζομεν ὅτι ἀναπαύεται καὶ οὗτος ὁ ἀδελφὸς ἡμῶν, καὶ ἐν τῇ τῶν ἁπάντων ἀναστάσει ἐπ᾽ ἐσχάτης ἡμέρας εὐπροσδέκτους εὑρεθῆναι ἐνώπιον Σοῦ, καὶ ἀπολαβέσθαι τὴν εὐλογίαν ἣν μέλλει τηνικαῦτα ἀποφθέγξασθαι ὁ ἀγαπητός σου Υἱὸς πρὸς πάντας τοὺς Σὲ ἀγαπῶντας καὶ φοβουμένους, λέγων, Δεῦτε, οἱ εὐλογημένοι

υἱοὶ τοῦ Πατρός *μου, κληρονομήσατε τὴν ἡτοιμασμένην ὑμῖν βασιλείαν ἀπὸ καταβολῆς κόσμου.* Τοῦτο *παράσχου, δεόμεθά σου,* Πάτερ *οἰκτίρμον, διὰ τοῦ μεσίτου ἡμῶν καὶ λυτρωτοῦ* Ἰησοῦ Χριστοῦ. Ἀ*μήν.*

Ἡ Χάρις *τοῦ* Κυρίου *ἡμῶν* Ἰησοῦ Χριστοῦ, *καὶ ἡ ἀγάπη τοῦ* Θεοῦ, *καὶ ἡ κοινωνία τοῦ ἁγίου* Πνεύματος, *μετὰ πάντων ἡμῶν εἰς τοὺς αἰῶνας.* Ἀ*μήν.*

ΕΥΧΑΡΙΣΤΙΑ ΕΙΣ ΓΥΝΑΙΚΑ ΛΕΧΩ,

Η ΚΟΙΝΩΣ ΛΕΓΟΜΕΝΗ

ΕΚΚΛΗΣΙΑΣΙΣ ΓΥΝΑΙΚΩΝ

¶ Ἡ γυνὴ κατὰ τὸν συνήθη καιρὸν μετὰ τὸν τοκετόν, ἔρχεται εἰς τὴν Ἐκκλησίαν, πρεπόντως ἐστολισμένη, καὶ ἐκεῖ γόνυ κλίνει ἐν τόπῳ τινὶ προσφόρῳ, κατὰ τὸ εἰς δεῦρο εἰωθός, ἢ ὡς ὁρίζει ὁ Ὀρδινάριος· Καὶ εἶτα λέγει αὐτῇ ὁ Ἱερεύς,

Ἐπειδὴ ηὐδόκησεν ὁ Θεὸς ὁ Παντοκράτωρ διὰ τὴν ἀγαθότητα αὐτοῦ χαρίσασθαί σοι σῶον τὸν τοκετόν, καὶ ἐφύλαξέν σε ἐν τῷ μεγάλῳ τῆς τεκνογονίας κινδύνῳ, διὰ τοῦτο ἐκ καρδίας εὐχαρίστησον τῷ Θεῷ, καὶ λέγε,

(¶ Εἶτα λέγει ὁ Ἱερεὺς τοὺς Ψαλμοὺς τούτους)

Dilexi quoniam. Ψαλ. ΡΙΔ', ΡΙΕ'.

Ἠγάπησα ὅτι εἰσακούσεται Κύριος.

Ἐπίστευσα, διὸ ἐλάλησα.

Δόξα. Ὥσπερ ἐν ἀρχῇ, καὶ νῦν.

¶ Ἢ τὸν Ψαλμὸν τοῦτον.

Nisi Dominus. Ψαλ. ΡΚϚ'.

Ἐὰν μὴ Κύριος οἰκοδομήσῃ οἶκον.

Δόξα. Ὥσπερ ἐν ἀρχῇ, καὶ νῦν.

¶ Εἶτα λέγει ὁ Ἱερεύς,

Δεηθῶμεν.

Κύριε, ἐλέησον ἡμᾶς.

Χριστέ, ἐλέησον ἡμᾶς.

Κύριε, ἐλέησον ἡμᾶς.

Πάτερ ἡμῶν.

Ὁ Λειτουργός.

Σῶσον ταύτην τὴν δούλην σου, Κύριε·

Ἀπόκρισις.

Τὴν ἐλπίζουσαν ἐπὶ Σέ.

ΕΥΧΑΡΙΣΤΙΑ ΕΙΣ ΓΥΝΑΙΚΑ ΛΕΧΩ

Ὁ Λειτουργός.

Γενοῦ αὐτῇ πύργος ἰσχύος·

Ἀπόκρισις.

Ἀπὸ προσώπου ἐχθροῦ αὐτῆς.

Ὁ Λειτουργός.

Εἰσάκουσον, Κύριε, τῆς προσευχῆς ἡμῶν.

Ἀπόκρισις.

Καὶ ἡ κραυγὴ ἡμῶν πρός σε ἐλθέτω.

Ὁ Λειτουργός.

Δεηθῶμεν.

Ὁ Θεὸς ὁ Παντοκράτωρ, ταπεινῶς εὐχαριστοῦμέν σοι διότι ηὐδόκησας τὴν γυναῖκα ταύτην καὶ δούλην σου διασῶσαι ἐκ τῆς μεγάλης ὀδύνης καὶ τοῦ κινδύνου τῆς τεκνογονίας· Παράσχου, δυσωποῦμέν σε, πολυέλεε Πάτερ, ἵνα αὐτὴ διὰ τῆς σῆς βοηθείας πιστῶς τε ἀναστρέφηται, καὶ περιπατῇ κατὰ τὸ σὸν θέλημα ἐν ταύτῃ τῇ ζωῇ, καὶ ἐν τῇ μελλούσῃ μέτοχος γένηται τῆς αἰωνίου δόξης, διὰ Ἰησοῦ Χριστοῦ τοῦ Κυρίου ἡμῶν. Ἀμήν.

¶ Ἡ γυνὴ ἡ ἐρχομένη ἀποδοῦναι τὴν εὐχαριστίαν αὐτῆς, ὀφείλει προσάγειν τὰς συνήθεις προσφοράς· καὶ ἐὰν τύχῃ ἡ Λειτουργία τελουμένη, ἀνήκει ἵνα μεταλάβῃ αὐτὴ τῆς θείας Κοινωνίας.

ΑΠΕΙΛΗ,

Η

ΑΝΑΓΓΕΛΙΑ ΤΗΣ ΟΡΓΗΣ ΤΟΥ ΘΕΟΥ ΚΑΙ ΤΩΝ ΚΡΙΜΑΤΩΝ ΑΥΤΟΥ ΚΑΤΑ ΤΩΝ ΑΜΑΡΤΩΛΩΝ, ΜΕΤΑ ΠΡΟΣΕΥΧΩΝ ΤΙΝΩΝ, ΑΝΑΓΙΝΩΣΚΟΜΕΝΗ ΤΗ ΠΡΩΤΗ ΗΜΕΡΑ ΤΩΝ ΝΗΣΤΕΙΩΝ, ΚΑΙ ΑΛΛΟΤΕ, ΚΑΘΑ ΟΡΙΖΕΙ Ο ΟΡΔΙΝΑΡΙΟΣ

¶ *Μετὰ τὴν Πρωινὴν Ἀκολουθίαν, συντελεσθείσης ὡς σύνηθες τῆς Λιτανείας, λέγει ὁ Ἱερεὺς ἐν τῷ Στασιδίῳ ἢ τῷ Ἄμβωνι,*

Ἀδελφοί, ἐν τῇ ἀρχαίᾳ Ἐκκλησίᾳ εὐσεβὴς ὑπῆρχε κανονισμός, ὅτι κατὰ τὴν ἀρχὴν τῶν Νηστειῶν, οἱ ἐπὶ πασιγνώστῳ ἐλεγχθέντες ἁμαρτίᾳ, εἰς δημοσίαν καθίσταντο ἐξομολόγησιν, καὶ ἐτιμωροῦντο ἐν τούτῳ τῷ αἰῶνι, ἵνα αἱ ψυχαὶ αὐτῶν σωθῶσιν ἐν τῇ ἡμέρᾳ τοῦ Κυρίου· *καὶ ἵνα καὶ ἄλλοι ἐκείνων τῷ ὑποδείγματι νουθετηθέντες περισσότερον τὸ πταῖσαι φοβηθῶσι.*

Ἀλλ' ἀντὶ τούτου (ἄχρις ἂν ἀποκατασταθῇ ὁ προειρημένος κανονισμός, ὃ καὶ πολύ ἐστιν εὐκταῖον) ἔδοξεν ἵνα κατὰ τοῦτον τὸν καιρὸν (ἔμπροσθεν συμπάντων ὑμῶν) ἀναγνωσθῶσιν αἱ γενικαὶ ἀποφάσεις τοῦ κατὰ τῶν ἀμετανοήτων ἁμαρτωλῶν ἀναθεματισμοῦ τοῦ Θεοῦ, *αἱ συλλεχθεῖσαι ἐκ τοῦ εἰκοστοῦ ἑβδόμου* Κεφαλαίου *τοῦ* Δευτερονομίου, *καὶ ἀλλαχόθεν τῆς θείας* Γραφῆς· *καὶ ἵνα ὑμεῖς πάσῃ ἀποφάσει ἀποκριθῆτε τὸ* Ἀμήν· *Ἐπὶ σκοπῷ ἵνα νουθετηθέντες περὶ τῆς μεγάλης καθ' ἁμαρτωλῶν ἀγανακτήσεως τοῦ* Θεοῦ, *μᾶλλον παρακινηθῆτε πρὸς εἰλικρινῆ καὶ ἀληθινὴν μετάνοιαν, καὶ ἀκριβέστερον περιπατῆτε ἐν ταύταις ταῖς ἐπικινδύνοις ἡμέραις· ἀποφεύγοντες τὰς πονηρίας, δι' ἃς διὰ τοῦ ἰδίου στόματος ὀφειλομένην ἀπαγγέλλετε τὴν κατάραν τοῦ* Θεοῦ.

ΑΠΕΙΛΗ

Ἐπικατάρατος ἄνθρωπος ὅστις ποιήσει γλυπτὸν καὶ χωνευτόν, τοῦ προσκυνῆσαι αὐτό. Δευτ. ΚΖ′ 15.

¶ Καὶ ὁ λαὸς ἀποκρινόμενος λέγει,

Ἀμήν.

Ὁ Λειτουργός.

Ἐπικατάρατος ὁ κακολογῶν πατέρα αὐτοῦ ἢ μητέρα αὐτοῦ. 16.

Ἀπόκρισις.

Ἀμήν.

Ὁ Λειτουργός.

Ἐπικατάρατος ὁ μετατιθεὶς ὅρια τοῦ πλησίον. 17.

Ἀπόκρισις.

Ἀμήν.

Ὁ Λειτουργός.

Ἐπικατάρατος ὁ πλανῶν τυφλὸν ἐν ὁδῷ. 18.

Ἀπόκρισις.

Ἀμήν.

Ὁ Λειτουργός.

Ἐπικατάρατος ὃς ἂν ἐκκλίνῃ κρίσιν προσηλύτου, καὶ ὀρφανοῦ, καὶ χήρας. 19.

Ἀπόκρισις.

Ἀμήν.

Ὁ Λειτουργός.

Ἐπικατάρατος ὁ τύπτων τὸν πλησίον αὐτοῦ δόλῳ. 24.

Ἀπόκρισις.

Ἀμήν.

Ὁ Λειτουργός.

Ἐπικατάρατος ὁ κοιμώμενος μετὰ γυναικὸς τοῦ πλησίον. Λευϊτ. Κ′ 10.

Ἀπόκρισις.

Ἀμήν.

Ὁ Λειτουργός.

Ἐπικατάρατος ὃς ἂν λάβῃ δῶρα πατάξαι ψυχὴν αἵματος ἀθώου. Δευτ. ΚΖ′ 25.

Ἀπόκρισις.

Ἀμήν.

Ὁ Λειτουργός.

Ἱερεμ. ΙΖ΄ 5. Ἐπικατάρατος ὁ ἄνθρωπος ὃς τὴν ἐλπίδα ἔχει ἐπ' ἄνθρωπον, καὶ στηρίσει σάρκα βραχίονος αὐτοῦ ἐπ' αὐτόν, καὶ ἀπὸ Κυρίου ἀποστῇ ἡ καρδία αὐτοῦ.

Ἀπόκρισις.

Ἀμήν.

Ὁ Λειτουργός.

Ματθ. ΚΕ΄ 41. Α΄ Κορ. Ϛ΄ 9, 10. Ἐπικατάρατοι οἱ ἀνελεήμονες, πόρνοι, καὶ μοιχοί, πλεονέκται, εἰδωλολάτραι, λοίδοροι, μέθυσοι, καὶ ἅρπαγες.

Ἀπόκρισις.

Ἀμήν.

Ὁ Λειτουργός.

Ψαλ. ΡΙΗ΄ 21. Ἐπειδὴ μὲν οὖν ἐπικατάρατοι πάντες (καθὼς ἐπιμαρτυρεῖ ὁ προφήτης Δαβίδ) οἱ ἐκκλίνοντες καὶ πλανώμενοι ἀπὸ τῶν ἐντολῶν τοῦ Θεοῦ, ἡμεῖς (μεμνημένοι τοῦ φοβεροῦ κρίματος τοῦ ἐπικρεμαμένου ὑπὲρ τὰς κεφαλὰς ἡμῶν, καὶ πάντοτε ἑτοίμως ἔχοντος ἐπιπεσεῖν ἡμῖν) ἐπανέλθωμεν πρὸς Κύριον τὸν Θεὸν ἡμῶν μετὰ πάσης κατανύξεως καὶ πρᾳότητος τῆς καρδίας· ὀδυρόμενοι καὶ ὀλοφυρόμενοι τὸν ἁμαρτάνοντα ἡμῶν βίον, ἐξομολογούμενοι καὶ ἐξαγορεύοντες τὰ πλημμελήματα ἡμῶν, καὶ ζητοῦντες
Ματθ. Γ΄ [8], 10. ποιῆσαι καρπὸν ἄξιον τῆς μετανοίας. Ἤδη γὰρ ἡ ἀξίνη πρὸς τὴν ῥίζαν τῶν δένδρων κεῖται, ὥστε πᾶν δένδρον μὴ ποιοῦν καρπὸν καλὸν ἐκκόπτεται καὶ εἰς
Ἑβρ. Ι΄ 31. πῦρ βάλλεται. Φοβερὸν τὸ ἐμπεσεῖν εἰς χεῖρας Θεοῦ ζῶντος· Ἐπιβρέξει αὐτὸς ἐπὶ ἁμαρτωλοὺς πα-
Ψαλ. Ι΄ 6. γίδας, πῦρ καὶ θεῖον, καὶ πνεῦμα καταιγίδος· αὕτη
Ἡσαΐου ΚϚ΄ 21. ἡ μερὶς τοῦ ποτηρίου αὐτῶν. Ἰδοὺ γάρ, Κύριος ἀπὸ τοῦ ἁγίου ἐπάγει τὴν ὀργὴν ἐπὶ τοὺς ἐνοικοῦντας ἐπὶ

τῆς γῆς. Καὶ τίς ὑπομενεῖ ἡμέραν εἰσόδου αὐτοῦ; Μαλ.
Τίς ὑποστήσεται ἐν τῇ ὀπτασίᾳ αὐτοῦ; Τὸ πτύον ἐν Γ´ 2.
τῇ χειρὶ αὐτοῦ, καὶ διακαθαριεῖ τὴν ἅλωνα αὐτοῦ, καὶ Ματθ. Γ´ 12.
συνάξει τὸν σῖτον αὐτοῦ εἰς τὴν ἀποθήκην, τὸ δὲ
ἄχυρον κατακαύσει πυρὶ ἀσβέστῳ. Ἡμέρα Κυρίου, Α´ Θεσσ.
ὡς κλέπτης ἐν νυκτί, οὕτως ἔρχεται· ὅταν δὲ λέγω- Ε´ 2, 3.
σιν, Εἰρήνη καὶ ἀσφάλεια, τότε αἰφνίδιος αὐτοῖς
ἐφίσταται ὄλεθρος, ὥσπερ ἡ ὠδὶν τῇ ἐν γαστρὶ
ἐχούσῃ, καὶ οὐ μὴ ἐκφύγωσι. Τότε φανήσεται ἡ ὀργὴ Ῥωμ.
τοῦ Θεοῦ ἐν ἡμέρᾳ ἐκδικήσεως, ἥντινα ἁμαρτωλοὶ Β´ 4, 5.
ἀμετανόητοι, κατὰ τὴν σκληρότητα καρδίας αὐτῶν,
ἐθησαύρισαν ἑαυτοῖς, οἱ καταφρονήσαντες τῆς χρη-
στότητος, τῆς τε ἀνοχῆς καὶ τῆς μακροθυμίας τοῦ
Θεοῦ, τοῦ καλοῦντος αὐτοὺς διηνεκῶς εἰς μετάνοιαν.
Τότε ἐπικαλέσονταί με (λέγει Κύριος), ἐγὼ δὲ οὐκ Παροιμ.
εἰσακούσομαι αὐτῶν· ζητήσουσί με, καὶ οὐχ εὑρή- Α´ 28, 29,
σουσι, καὶ τοῦτο, ὅτι ἐμίσησαν παιδείαν, τὸν δὲ 30.
φόβον Κυρίου οὐ προείλοντο, οὐδὲ ἤθελον ἐμαῖς
προσέχειν βουλαῖς, ἐμυκτέριζον δὲ ἐμοὺς ἐλέγχους.
Τότε πάρωρον τὸ κροῦσαι ὅτε κεκλεισμένη ἔσται ἡ θύρα· Ματθ.
πάρωρον τὸ ζητῆσαι ἔλεος ὅτε καιρὸς ἔσται ἐκδικήσεως. ΚΕ´ 10, 11,
Ὢ φωνῆς φοβερᾶς δικαιοτάτου κρίματος τοῦ μέλλοντος προ- 12.
ενεχθῆναι ἐπ᾽ αὐτούς, ὅτε ῥηθήσεται αὐτοῖς τὸ Πορεύεσθε Ματθ.
κατηραμένοι εἰς τὸ πῦρ τὸ αἰώνιον, τὸ ἡτοιμασμένον ΚΕ´ 41.
τῷ διαβόλῳ καὶ τοῖς ἀγγέλοις αὐτοῦ. Διό, ἀδελφοί,
προσέχωμεν ἡμεῖς ἐγκαίρως, ἕως διατελεῖ ἡ ἡμέρα σωτη- Β´ Κορ.
ρίας· ἔρχεται γὰρ νύξ, ὅτε οὐδεὶς δύναται ἐργάζεσθαι· Ϛ´ 2.
ἀλλ᾽, ὡς τὸ φῶς ἔχομεν, πιστεύωμεν εἰς τὸ φῶς, καὶ Ἰωάν. Θ´ 4, ΙΒ´ 35, 36.
ὡς τέκνα φωτὸς περιπατῶμεν, ἵνα μὴ ἐκβληθῶμεν εἰς [Ἐφεσ.
τὸ σκότος τὸ ἐξώτερον, ὅπου ἐστὶν ὁ κλαυθμὸς καὶ ὁ Ε´ 8.] Ματθ.
βρυγμὸς τῶν ὀδόντων. Μὴ ἐπηρεάσωμεν τὴν χρηστό- ΚΕ´ 30.

τητα τοῦ Θεοῦ, τοῦ μετ' ἐλέους προσκαλοῦντος ἡμᾶς πρὸς ἐπανόρθωσιν, καὶ διὰ τὴν ἀμέτρητον αὐτοῦ εὐσπλαγχνίαν
['Ρωμ. Γ' 25: Α' Παραλ. ΚΗ' 9: 'Εβρ. Ι' 22.] ἐπαγγελλομένου ἡμῖν τὴν ἄφεσιν τῶν προγεγονότων, ἐὰν ἐν καρδίᾳ τελείᾳ καὶ ἀληθινῇ πρὸς αὐτὸν ἐπανέλθωμεν.
'Ησαΐου Α' 18. Ἐπειδή, ἐὰν ὦσιν αἱ ἁμαρτίαι ἡμῶν ὡς φοινικοῦν, ὡς χιόνα λευκανεῖ· ἐὰν δὲ ὦσιν ὡς κόκκινον, ὡς ἔριον λευκανεῖ.
'Ιεζεκ. ΙΗ' 30, 31, 32. Ἀποστρέψατε (λέγει Κύριος) ἐκ πασῶν τῶν ἀσεβειῶν ὑμῶν, καὶ οὐκ ἔσονται ὑμῖν εἰς κόλασιν ἀδικίας. Ἀπορρίψατε ἀφ' ἑαυτῶν πάσας τὰς ἀσεβείας ὑμῶν ἃς ἠσεβήσατε, ποιήσατε ἑαυτοῖς καρδίαν καινήν, καὶ πνεῦμα καινόν· Ἱνατί ἀποθνήσκετε, οἶκος Ἰσραήλ, διότι οὐ θέλω τὸν θάνατον τοῦ ἀποθνήσκοντος, λέγει Ἀδωναΐ Κύριος; Καὶ ἐπιστρέψατε καὶ ζήσατε.
Α' Ἰωάν. Β' 1. Εἰ καὶ γὰρ ἡμαρτήκαμεν, ἀλλὰ παράκλητον ἔχομεν πρὸς τὸν Πατέρα, Ἰησοῦν Χριστὸν δίκαιον, καὶ αὐτὸς ἱλασμός ἐστι περὶ τῶν ἁμαρτιῶν ἡμῶν.
'Ησαΐου ΝΓ' 5. Αὐτὸς γὰρ ἐτραυματίσθη διὰ τὰς ἁμαρτίας ἡμῶν, καὶ μεμαλάκισται διὰ τὰς ἀνομίας ἡμῶν. Ἐπανέλθωμεν οὖν πρὸς αὐτὸν τὸν οἰκτίρμονα ὑπάρχοντα ὑποδοχέα πάντων τῶν ἁμαρτωλῶν τῶν εἰλικρινῶς μετανοούντων· πεπληροφορημένοι ὅτι αὐτός ἐστιν ἕτοιμος τοῦ ὑποδέξασθαι ἡμᾶς, καὶ λίαν πρόθυμος εἰς τὸ συγχωρῆσαι ἡμῖν, ἐὰν μετὰ πιστῆς αὐτῷ προσέλθωμεν μεταμελήσεως· ἐὰν θέλωμεν ὑποταγῆναι αὐτῷ, καὶ περιπατεῖν εἰς τὸ ἑξῆς ἐν ταῖς ὁδοῖς αὐτοῦ· ἐὰν θέλωμεν
Ματθ. ΙΑ' 29, 30. ἆραι ἐφ' ἑαυτοὺς τὸν χρηστὸν αὐτοῦ ζυγόν, καὶ τὸ ἐλαφρὸν φορτίον, καὶ ἀκολουθεῖν αὐτῷ ἐν ταπεινοφροσύνῃ, ὑπομονῇ τε καὶ ἀγάπῃ, καὶ διευθύνεσθαι διὰ τῆς κυβερνήσεως τοῦ ἁγίου αὐτοῦ Πνεύματος· τὴν δόξαν αὐτοῦ πάντοτε ζητοῦντες, καὶ πρεπόντως αὐτῷ δουλεύοντες ἐν τῇ κλήσει ἡμῶν μετ' εὐχαριστίας. Ὅπερ ἐὰν πράξωμεν,

ῥύσεται ἡμᾶς ὁ Χριστὸς ἐκ τῆς κατάρας τοῦ νόμου, καὶ ἀπὸ τοῦ ἐσχάτου ἀναθέματος τοῦ μέλλοντος καταβῆναι ἐπὶ τοὺς ἐξ εὐωνύμων σταθησομένους· καὶ στήσας ἡμᾶς ἐκ δεξιῶν αὐτοῦ, ἐπιδώσει ἡμῖν τὴν εὔσπλαγχνον τοῦ Πατρὸς αὐτοῦ εὐλογίαν, ἐντειλάμενος ἡμῖν κληρονομῆσαι τὴν ἔνδοξον αὐτοῦ βασιλείαν· εἰς ἥντινα εὐδοκήσαι αὐτὸς πάντας ἡμᾶς εἰσαγαγεῖν, διὰ τὸ ἔλεος αὐτοῦ τὸ ἀτελεύτητον. Ἀμήν.

[Γαλ. Γ′ 13.] Ματθ. ΚΕ′ 33, 34.

¶ Εἶτα γουνκλίνουσιν ἅπαντες, καὶ ὁ Ἱερεὺς καὶ οἱ Ψάλται γουνκλίναντες (ἐν ᾧ τόπῳ συνεθίζουσιν ἀναγινώσκειν τὴν Λιτανείαν) λέγουσι τοῦτον τὸν Ψαλμόν, *Miserere mei, Deus.*

Ἐλέησόν με, ὁ Θεός, κατὰ τὸ μέγα ἔλεός σου.

Miserere mei, Deus. Ψαλ. Ν′.

Δόξα τῷ Πατρί, καὶ τῷ Υἱῷ : καὶ τῷ ἁγίῳ Πνεύματι·

Ἀπόκρισις.

Ὥσπερ ἐν ἀρχῇ, καὶ νῦν, καὶ ἀεί : καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

Κύριε, ἐλέησον ἡμᾶς.

Χριστέ, ἐλέησον ἡμᾶς.

Κύριε, ἐλέησον ἡμᾶς.

Πάτερ ἡμῶν.

Ὁ Λειτουργός.

Σῶσον τοὺς δούλους σου, Κύριε·

Ἀπόκρισις.

Τοὺς ἐλπίζοντας ἐπὶ Σέ.

Ὁ Λειτουργός.

Ἐξαπόστειλον αὐτοῖς βοήθειαν ἐξ ὕψους.

Ἀπόκρισις.

Καὶ εἰς τὸν αἰῶνα ἐν τῷ βραχίονί σου ὑπεράσπισον αὐτούς.

Ὁ Λειτουργός.

Βοήθησον ἡμῖν, ὁ Θεὸς ὁ Σωτὴρ ἡμῶν.

Ἀπόκρισις.

Ἕνεκα τῆς δόξης τοῦ Ὀνόματός σου ῥῦσαι ἡμᾶς· ἱλάσθητι ἡμῖν τοῖς ἁμαρτωλοῖς ἕνεκα τοῦ Ὀνόματός σου.

Ὁ Λειτουργός.

Εἰσάκουσον, Κύριε, τῆς προσευχῆς ἡμῶν.

Ἀπόκρισις.

Καὶ ἡ κραυγὴ ἡμῶν πρός σε ἐλθέτω.

Ὁ Λειτουργός.

Δεηθῶμεν.

ΔΕόμεθά σου, Κύριε, ἵλεως ἐπάκουσον τῶν προσευχῶν ἡμῶν, καὶ φεῖσαι πάντων τῶν ὁμολογούντων σοι τὰς ἁμαρτίας αὐτῶν, ἵνα οἱ τὴν συνείδησιν δι' ἁμαρτίας κατηγορούμενοι, διὰ τῆς τοῦ ἐλέους σου ἀφίωνται συγχωρήσεως, διὰ Ἰησοῦ Χριστοῦ τοῦ Κυρίου ἡμῶν. Ἀμήν.

ὉΘεὸς ὁ ἰσχυρός, καὶ Πάτερ οἰκτίρμον, ὁ πάντας ἐλεῶν, καὶ μηδὲν βδελυσσόμενος ὧν ἐποίησας, ὁ μὴ θέλων τὸν θάνατον τοῦ ἀνόμου, ὡς τὸ ἀποστρέψαι αὐτὸν τῆς ἀνομίας, καὶ σωθῆναι· Αὐτὸς δι' οἰκτιρμὸν ἄφες ἡμῖν τὰ ὀφειλήματα ἡμῶν· προσλαβοῦ καὶ παραμύθησον ἡμᾶς, τοὺς λυπουμένους καὶ κάμνοντας ἐπὶ τῷ φορτίῳ τῶν ἁμαρτημάτων ἡμῶν. Ἰδιότης σού ἐστι τὸ πάντοτε οἰκτείρειν· Σοὶ μόνῳ ἀνήκει τὸ ἀφιέναι τὰς ἁμαρτίας. Φεῖσαι οὖν ἡμῶν, Κύριε, φεῖσαι τοῦ λαοῦ σου, οὓς ἐλυτρώσω· μὴ εἰσέλθῃς εἰς κρίσιν μετὰ τῶν δούλων σου, οἵτινες χοῦς εἰσιν οὐτιδανός, καὶ ἐλεεινοὶ ἁμαρτωλοί· ἀλλ' οὕτως ἀπόστρεψον τὸν θυμόν σου ἀφ' ἡμῶν, τῶν ὁμολογούντων μετὰ πρᾳότητος τὴν οὐτιδανότητα ἡμῶν, καὶ εἰλικρινῶς μετανοούντων ἐπὶ τοῖς πταίσμασιν

ἡμῶν· καὶ οὕτω σπεῦσον εἰς τὸ βοηθῆσαι ἡμῖν ἐν τούτῳ τῷ αἰῶνι, ὥστε ἐν τῷ μέλλοντι σὺν Σοὶ διαμένειν ἡμᾶς εἰς τοὺς αἰῶνας, διὰ Ἰησοῦ Χριστοῦ τοῦ Κυρίου ἡμῶν. Ἀμήν.

¶ Εἶτα ἐπαναλέγει ὁ λαὸς τὸ ἐφεξῆς μετὰ τὸν Λειτουργόν.

ἘΠίστρεψον ἡμᾶς, Κύριε, καὶ ἐπιστραφησόμεθα. Ἵλεως γενοῦ, Κύριε, Ἵλεως γενοῦ τῷ λαῷ σου, Τῷ πρὸς Σὲ ἐπιστρέφοντι ἐν κλαυθμῷ, νηστείᾳ τε καὶ προσευχῇ. Σὺ γὰρ εἶ Θεὸς οἰκτίρμων, Καὶ ἐλεήμων, Μακρόθυμος, καὶ πολυέλεος. Σὺ φείδῃ ὅτε ἄξιοί ἐσμεν κολάσεως, Καὶ ἐν ὀργῇ σου ἐλέους μέμνησαι. Φεῖσαι τοῦ λαοῦ σου, Κύριε, φεῖσαι αὐτοῦ, Καὶ μὴ δῷς τὴν κληρονομίαν σου εἰς ὄνειδος. Εἰσάκουσον ἡμῶν, Κύριε, ὅτι οἱ οἰκτιρμοί σου πολλοί, Καὶ κατὰ τὸ πλῆθος τῶν οἰκτιρμῶν σου ἐπίβλεψον ἐφ' ἡμᾶς, Διὰ τὴν ἀξιομισθίαν καὶ μεσιτείαν τοῦ εὐλογητοῦ σου Υἱοῦ, Κυρίου δὲ ἡμῶν Ἰησοῦ Χριστοῦ. Ἀμήν.

¶ Εἶτα μόνος λέγει ὁ Λειτουργός,

ΕὙλογήσαι ἡμᾶς Κύριος, καὶ φυλάξαι ἡμᾶς· ἐπάραι Κύριος τὸ πρόσωπον αὐτοῦ ἐφ' ἡμᾶς, καὶ δῴη ἡμῖν εἰρήνην καὶ νῦν καὶ εἰς τοὺς αἰῶνας. Ἀμήν.

ΤΟ ΨΑΛΤΗΡΙΟΝ ΗΤΟΙ ΟΙ ΨΑΛΜΟΙ

ΔΑΒΙΔ,

ΣΤΙΧΘΕΝΤΕΣ ΚΑΘΩΣ ΟΡΙΖΟΝΤΑΙ
ΙΝΑ ΨΑΛΛΩΝΤΑΙ Η ΑΝΑΓΙΝΩΣΚΩΝΤΑΙ

ΕΝ ΤΗι

ΕΚΚΛΗΣΙΑι

ΨΑΛΜΟΙ

[Ἐν ταύτῃ τῇ μεταφράσει παραλείπεται τὸ Ψαλτήριον, ὃ ἐν τῷ πρωτοτύπῳ ἐνταῦθα ἀκολουθεῖ. Οὗτος δὲ ὁ ἐφεξῆς πίναξ τὴν τάξιν δηλοῖ καθ' ἣν στιχολογεῖται ὅλον τὸ Ψαλτήριον καθ' ἕκαστον μῆνα, καθὼς ἀνωτέρω διατέτακται. Ὅρα σελ. 16.]

Ἡμέρα τοῦ μηνός	Πρωινὴ Ἀκολουθία	Ἑσπερινὴ Ἀκολουθία
1	Ψαλμὸς Α'–Ε'	Ψαλμὸς Ϛ'–Η'
2	Θ', Ι'	ΙΑ'–ΙΓ'
3	ΙΔ'–ΙϚ'	ΙΖ'
4	ΙΗ'–Κ'	ΚΑ', ΚΒ'
5	ΚΓ'–ΚΕ'	ΚϚ'–ΚΗ'
6	ΚΘ', Λ'	ΛΑ'–ΛΓ'
7	ΛΔ', ΛΕ'	ΛϚ'
8	ΛΖ'–ΛΘ'	Μ'–ΜΒ'
9	ΜΓ'–ΜΕ'	ΜϚ'–ΜΗ'
10	ΜΘ'–ΝΑ'	ΝΒ'–ΝΔ'
11	ΝΕ'–ΝΖ'	ΝΗ'–Ξ'
12	ΞΑ'–ΞΓ'	ΞΔ'–ΞϚ'
13	ΞΖ'	ΞΗ', ΞΘ'
14	Ο', ΟΑ'	ΟΒ', ΟΓ'
15	ΟΔ'–ΟϚ'	ΟΖ'
16	ΟΗ'–Π'	ΠΑ'–ΠΔ'
17	ΠΕ'–ΠΖ'	ΠΗ'
18	ΠΘ'–ϘΑ'	ϘΒ', ϘΓ'
19	ϘΔ'–ϘϚ'	ϘΖ'–Ρ'
20	ΡΑ', ΡΒ'	ΡΓ'
21	ΡΔ'	ΡΕ'
22	ΡϚ'	ΡΖ', ΡΗ'
23	ΡΘ'–ΡΙΒ'	ΡΙΓ'
24	ΡΙΔ'–ΡΙΖ'	ΡΙΗ' 1-32
25	ΡΙΗ' 33-72	ΡΙΗ' 73-104
26	ΡΙΗ' 105-144	ΡΙΗ' 145-176
27	ΡΙΘ'–ΡΚΔ'	ΡΚΕ'–ΡΛ'
28	ΡΛΑ'–ΡΛΔ'	ΡΛΕ'–ΡΛΖ'
29	ΡΛΗ'–ΡΜ'	ΡΜΑ', ΡΜΒ'
30	ΡΜΓ'–ΡΜΕ'	ΡΜϚ'–ΡΝ'

ΤΥΠΟΙ ΠΡΟΣΕΥΧΗΣ

ΕΙΣ ΧΡΗΣΙΝ ΤΩΝ

ΘΑΛΑΣΣΟΠΟΡΟΥΝΤΩΝ

¶ Ἡ ἐπὶ Θαλάσσης καθ' ἑκάστην ἡμέραν ἀναγινωσκομένη Πρωϊνὴ καὶ Ἑσπερινὴ Ἀκολουθία, ἡ αὐτή ἐστιν ἣ διατέτακται ἐν τῷ βιβλίῳ Κοινῆς Προσευχῆς.

¶ Αὗται αἱ δύο ἑπόμεναι Προσευχαὶ ἀναγινώσκονται καθ' ἑκάστην ἡμέραν ἐν τῷ τῆς Αὐτοῦ Μεγαλειότητος Ναυτικῷ.

ΚΥριε ὁ Θεὸς ὁ αἰώνιος, ὁ *μόνος ἐκτείνων τοὺς οὐρανούς*, καὶ δεσπόζων τοῦ κράτους τῆς θαλάσσης· ὁ καὶ ὅριον γυρώσας ἐπὶ πρόσωπον ὑδάτων μέχρι συντελείας φωτὸς μετὰ σκότους· Αὐτὸς εὐδόκησον προσδέξασθαι ὑπὸ τὴν Παντοδύναμον καὶ πολυέλεόν σου σκέπην ἡμᾶς τε τοὺς δούλους σου, καὶ τὸν Στόλον ἐν ᾧ στρατευόμεθα. Διαφύλαξον ἡμᾶς ἀπὸ τῶν κινδύνων τῆς θαλάσσης, καὶ ἀπὸ τῆς βίας τῶν πολεμίων, ἵνα εἰς προστασίαν γενώμεθα τῷ εὐμενεστάτῳ ἡμῶν κυριάρχῳ δεσπότῃ τῷ Βασιλεῖ ΓΕΩΡΓΙΩι καὶ ταῖς κτήσεσιν αὐτοῦ, καὶ εἰς ἀσφάλειαν τοῖς διὰ τὰς ἐννόμους αὐτῶν ὑποθέσεις θαλασσοπορoῦσιν· ὥστε τοὺς μὲν κατοικοῦντας τὴν Νῆσον ἡμῶν Σοὶ δουλεύειν τῷ Θεῷ ἡμῶν ἐν εἰρήνῃ καὶ ἠρεμίᾳ, ἡμᾶς δὲ αὐτοὺς ἀσφαλεῖς ἐπανελθεῖν, μετὰ τῶν καρπῶν τῆς ἐργασίας ἡμῶν, τοῦ τῶν εὐλογιῶν τῆς στερεᾶς ἀπολαύειν· καὶ τοῦ αἰνεῖν καὶ δοξολογεῖν τὸ ἅγιόν σου Ὄνομα μετ' εὐγνώμονος τῆς μνείας τῶν οἰκτιρμῶν σου, διὰ Ἰησοῦ Χριστοῦ τοῦ Κυρίου ἡμῶν. Ἀμήν.

Εὐχή.

ΤΑς πράξεις ἡμῶν. [Ὅρα σελ. 271.]

¶ Εὐχαὶ ἀναγινωσκόμεναι ἐν Τρικυμίαις.

ΠΟλυισχυρὲ καὶ πολυένδοξε Κύριε ὁ Θεός, οὗ τῷ προστάγματι πνέουσιν οἱ ἄνεμοι, καὶ ὑψοῦσι τὰ κύματα τῆς θαλάσσης, ὁ καὶ ταύτης τὸν σάλον καταπραΰνων· Ἡμεῖς τὰ σὰ κτίσματα, ἐλεεινοὶ δὲ ἁμαρτωλοί, ἐν ταύτῃ τῇ πολλῇ ἡμῶν στενοχωρίᾳ κράζομεν πρός σε διὰ βοήθειαν· Κύριε, σῶσον· εἰ δὲ μή, ἀπολλύμεθα. Ὁμολογοῦμεν, ὅτι ἐν ἀσφαλείᾳ ὄντες, καὶ πάντα περὶ ἡμᾶς γαληνὰ ὁρῶντες, Σοῦ ἐπελαθόμεθα τοῦ Θεοῦ ἡμῶν, καὶ παρηκούσαμεν τῆς φωνῆς αὔρας λεπτῆς τοῦ Λόγου σου, καὶ ἠπειθήσαμεν ταῖς σαῖς ἐντολαῖς· Ἀλλὰ νῦν βλέπομεν ὡς φοβερὸς εἶ ἐν πᾶσι τοῖς θαυμασίοις ἔργοις σου, ὁ μέγας Θεὸς ὁ φοβερὸς ἐπὶ πάντας· Διὰ τοῦτο προσκυνοῦμεν τὴν θείαν σου Μεγαλωσύνην, ὁμολογοῦντές σου τὸ κράτος, καὶ ἱκετεύοντες τὴν ἀγαθότητα. Ἀντιλαβοῦ, Κύριε, καὶ σῶσον ἡμᾶς ἕνεκεν τῶν ἐλέων σου ἐν τῷ Υἱῷ σου, Κυρίῳ δὲ ἡμῶν Ἰησοῦ Χριστῷ. Ἀμήν.

Ἡ αὐτή.

ΠΟλυένδοξε καὶ πολυέλεε Κύριε ὁ Θεός, ὁ ἐν τοῖς ὑψηλοῖς κατοικῶν, καὶ πάντα τὰ ταπεινὰ ἐφορῶν· Ἐπίβλεψον, δεόμεθά σου, καὶ ἐπάκουσον ἡμῶν, τῶν ἐκ βαθέων τῆς ταλαιπωρίας, καὶ ἐκ στόματος τοῦ θανάτου τούτου, τοῦ νῦν ἑτοίμως ἔχοντος τοῦ καταπιεῖν ἡμᾶς, κραζόντων· Κύριε, σῶσον· εἰ δὲ μή, ἀπολλύμεθα. Οἱ ζῶντες, οἱ ζῶντες εὐλογήσουσί σε. Ἐξαπόστειλον τὸν λόγον τοῦ προστάγματός σου τοῦ ἐπιτιμῆσαι τῷ φρυαγμῷ τῶν ἀνέμων, καὶ τῷ ὠρυγμῷ τῆς θαλάσσης, ἵνα ἡμεῖς ἐκ ταύτης ῥυσθέντες τῆς στενοχωρίας ζήσωμεν εἰς τὸ Σοὶ δουλεύειν, καὶ εἰς τὸ δοξολογεῖν τὸ Ὄνομά σου πάσας τὰς ἡμέρας τῆς ζωῆς ἡμῶν. Ἐπάκουσον, Κύριε, καὶ σῶσον ἡμᾶς, διὰ τὴν ἀμέτρητον ἀξιομισθίαν τοῦ εὐλογητοῦ Σωτῆρος ἡμῶν, τοῦ Υἱοῦ σου, Κυρίου δὲ ἡμῶν Ἰησοῦ Χριστοῦ. Ἀμήν.

Εὐχὴ λεγομένη πρὸ Ναυμαχίας καθ' οἱουδήποτε Ἐχθροῦ.

ΠΟλυισχυρὲ καὶ πολυένδοξε Κύριε ὁ Θεός, ὁ Κύριος τῶν δυνάμεων, ὁ δεσπόζων καὶ διοικῶν τὰ πάντα· Σὺ καθίζεις ἐπὶ θρόνου ὁ κρίνων δικαιοσύνην, καὶ διὰ τοῦτο ἐν ταύτῃ τῇ ἡμετέρᾳ ἀνάγκῃ προσαγορεύομεν τὴν σὴν θείαν Μεγαλωσύνην, τοῦ παραδοῦναι ἑαυτοὺς εἰς χεῖράς σου, ἵνα κρίνῃς ἀνὰ μέσον ἡμῶν καὶ τῶν πολεμίων. Ἐξέγειρον τὴν δυναστείαν σου, Κύριε, καὶ ἐλθὲ εἰς τὸ σῶσαι ἡμᾶς, οὐ γὰρ πάντοτε τοῖς δυνατοῖς δίδως τὸν πόλεμον, ἀλλὰ σώζειν δύνασαι ἐν πολλοῖς ἢ ἐν ὀλίγοις. Αἱ ἁμαρτίαι ἡμῶν μὴ κατακραυγαζέτωσαν καθ' ἡμῶν εἰς ἐκδίκησιν, ἀλλ' ἐπάκουσον ἡμῶν τῶν οἰκτρῶν δούλων σου τῶν δεομένων τοῦ ἐλέους, καὶ ἱκετευόντων ἵνα βοηθήσῃς ἡμῖν, καὶ ὑπεράσπισις ἡμῖν γενηθῇς κατὰ τοῦ προσώπου τοῦ ἐχθροῦ. Ἀπόδειξον ὅτι Σὺ εἶ ἡμῶν ὁ Σωτὴρ καὶ κραταιὸς ἀναρρυστής, διὰ Ἰησοῦ Χριστοῦ τοῦ Κυρίου ἡμῶν. Ἀμήν.

Σύντομοι Προσευχαὶ εἰς χρῆσιν ἑνὸς ἑκάστου τῶν διὰ τὴν Μάχην ἢ τὴν Τρικυμίαν μὴ δυναμένων συνελθεῖν καὶ προσεύχεσθαι σὺν ἄλλοις.

Γενικαὶ Προσευχαί.

ΚΥριε, ἱλάσθητι ἡμῖν τοῖς ἁμαρτωλοῖς, καὶ σῶσον ἡμᾶς ἕνεκεν τοῦ ἐλέους σου.

Σὺ εἶ ὁ μέγας Θεός, ὁ ποιήσας τὰ πάντα καὶ δεσπόζων αὐτῶν· ῥῦσαι ἡμᾶς ἕνεκεν τοῦ Ὀνόματός σου.

Σὺ εἶ ὁ μέγας Θεὸς ὁ φοβερὸς ἐπὶ πάντας· σῶσον ἡμᾶς ἵνα σε ἐπαινέσωμεν.

Ἰδιαίτεραι Προσευχαὶ διὰ τὸν Ἐχθρόν.

ΣΥ, Κύριε, δίκαιος εἶ καὶ κραταιός· ποίησον τὴν δίκην ἡμῶν κατὰ προσώπου ἐχθροῦ.

Σύ, ὁ Θεός, πύργος ἰσχύος εἶ εἰς ἀντίληψιν πᾶσι τοῖς καταφεύγουσι πρὸς Σέ· σῶσον ἡμᾶς ἀπὸ τῆς βίας τοῦ ἐχθροῦ.

Κύριε τῶν δυνάμεων, πολέμησον ὑπὲρ ἡμῶν, ἵνα σε δοξάσωμεν.

Μὴ ἄφες ἡμᾶς καταποντισθῆναι ὑπὸ τὸ βάρος τῶν ἁμαρτιῶν ἡμῶν, ἢ τὴν βίαν τοῦ ἐχθροῦ.

Ἀνάστα, Κύριε, βοήθησον ἡμῖν, καὶ λύτρωσαι ἡμᾶς ἕνεκεν τοῦ Ὀνόματός σου.

Σύντομοι Προσευχαὶ διὰ Καταιγίδα.

ΣΥ, Κύριε, ὁ καταπραΰνων τὸν σάλον τῆς θαλάσσης, ἐπάκουσον, ἐπάκουσον ἡμῶν, καὶ σῶσον ἡμᾶς, ἵνα μὴ ἀπολώμεθα.

Ὁ Σωτὴρ ὁ εὐλογητός, ὁ τοὺς μαθητάς σου διασώσας τοὺς ἐν καταιγίδι ὅσον οὐδέπω ἀπολλυμένους, ἐπάκουσον ἡμῶν καὶ σῶσον ἡμᾶς, δεόμεθά σου.

Κύριε, ἐλέησον ἡμᾶς.
Χριστέ, ἐλέησον ἡμᾶς.
Κύριε, ἐλέησον ἡμᾶς.
Κύριε, ἐπάκουσον ἡμῶν.
Χριστέ, ἐπάκουσον ἡμῶν.

Ὁ Θεὸς καὶ Πατήρ, ὁ Θεὸς καὶ Υἱός, ὁ Θεὸς καὶ Ἅγιον Πνεῦμα, ἐλέησον ἡμᾶς, σῶσον ἡμᾶς καὶ νῦν καὶ εἰς τοὺς αἰῶνας. Ἀμήν.

ΠΑτερ ἡμῶν.

¶ Ὅταν ἐπικείμενος ᾖ κίνδυνος, πάντας δέον συγκαλεῖσθαι, ὅσοι δύνανται τῆς ἐν τῷ Πλοίῳ ἀναγκαίας ὑπηρεσίας ἐξαιρεῖσθαι, καὶ τὴν ἁμαρτίαν αὐτῶν ταπεινῶς ἐξομολογεῖσθαι τῷ Θεῷ· Καὶ ἐν τούτῳ ὀφείλει εἷς ἕκαστος σοβαρῶς συλλογίζεσθαι περὶ τῶν ἰδιαιτέρων ἁμαρτημάτων ἐφ' οἷς ἡ ἰδία συνείδησις κατηγορεῖ αὐτοῦ· Καὶ λεγέτωσαν ὡς ἐφεξῆς,

Τὴν Ἐξομολόγησιν.

Ὁ Θεὸς ὁ παντοκράτωρ, ὁ Πατὴρ τοῦ Κυρίου ἡμῶν [κτλ. Σελ. 262].

¶ Εἶτα ὁ Ἱερεύς, ἐάν τις παρῇ ἐν τῷ Πλοίῳ, ἐκφωνεῖ ταύτην τὴν Ἄφεσιν τῶν Ἁμαρτιῶν.

Ὁ Θεὸς ὁ παντοκράτωρ, ὁ Πατὴρ ἡμῶν [κτλ. Σελ. 263].

Εὐχαριστία μετὰ Καταιγίδα.

Jubilate Deo. Ψαλ. ΞΕʹ.

Ἀλαλάξατε τῷ Θεῷ, πᾶσα ἡ γῆ.
Δόξα. Ὥσπερ ἐν ἀρχῇ, καὶ νῦν.

Confitemini Domino. Ψαλ. ΡϚʹ.

Ἐξομολογεῖσθε τῷ Κυρίῳ, ὅτι χρηστός.
Δόξα. Ὥσπερ ἐν ἀρχῇ, καὶ νῦν.

ΤΥΠΟΙ ΠΡΟΣΕΥΧΗΣ

Εὐχαὶ Εὐχαριστήριοι.

ΚΥριε ὁ Θεός, ὁ πάνυ εὐλογητὸς καὶ ἔνδοξος, ὁ ἀμέτρητος ἐν ἀγαθωσύνῃ καὶ οἰκτιρμῷ, ἡμεῖς τὰ κτίσματά σου τὰ ἄθλια, οὓς ἐποίησας καὶ διατηρεῖς, θέμενος τὰς ψυχὰς ἡμῶν εἰς ζωήν, καὶ νῦν ῥυσάμενος ἡμᾶς ἐκ τοῦ στόματος τοῦ θανάτου, πάλιν ἑαυτοὺς ταπεινῶς παρουσιάζομεν ἐνώπιον τῆς σῆς θείας Μεγαλωσύνης, τοῦ προσφέρειν θυσίαν αἰνέσεως καὶ εὐχαριστίας, διότι ἡμῶν εἰσήκουσας ἐπικαλουμένων σε ἐν τῇ θλίψει ἡμῶν, καὶ οὐκ ἀπέστησας τὴν προσευχὴν ἡμῶν ἣν ἐνώπιόν σου προσηυξάμεθα ἐν τῇ μεγάλῃ ἡμῶν στενοχωρίᾳ· ὅτε ἀπολωλότα τὰ πάντα ἐλογισάμεθα, τὸ πλοῖον ἡμῶν, τά τε ὑπάρχοντα, καὶ τὴν ζωήν, Σὺ ἵλεως ἐπέβλεψας ἐφ' ἡμᾶς, καὶ θαυμαστῶς προεμήθευσας ἡμῖν ἀνάρρυσιν· δι' ἣν καὶ νῦν ἐν ἀσφαλείᾳ γενόμενοι πάντα αἶνον καὶ πᾶσαν δόξαν τῷ ἁγίῳ σου Ὀνόματι ἀποδίδομεν, διὰ Ἰησοῦ Χριστοῦ τοῦ Κυρίου ἡμῶν. Ἀμήν.

Ἡ αὐτή.

ὉΟ Θεὸς ὁ παντοδύναμος καὶ πολυεύσπλαγχνος, οἱ οἰκτιρμοί σου ἐπὶ πάντα τὰ ἔργα σου, ἀλλ' ἐξαιρέτως ἐξετάθησαν αὐτοὶ πρὸς ἡμᾶς, τοὺς παρά σου κραταιῶς καὶ θαυμαστῶς ὑπερησπισμένους. Ἔδειξας ἡμῖν φοβερά, καὶ θαυμάσια ἐν τῷ βυθῷ, ἵνα ἴδωμεν ὡς κραταιὸς καὶ οἰκτίρμων Σὺ εἶ Θεός· ὡς δυνατὸς εἶ καὶ ἕτοιμος εἰς τὸ ἀντιλαβέσθαι τῶν ἐλπιζόντων ἐπὶ Σοί. Ἔδειξας ἡμῖν, ὅπως καὶ οἱ ἄνεμοι καὶ ἡ θάλασσα ὑπακούουσι τῷ σῷ προστάγματι, ἵνα καὶ ἐντεῦθεν ἐκμάθωμεν τοῦ λοιποῦ τῇ φωνῇ σου ὑπακούειν, καὶ ποιεῖν τὸ θέλημά σου. Διὸ εὐλογοῦμεν καὶ δοξάζομεν τὸ σὸν Ὄνομα διὰ τοῦτο τὸ ἔλεός σου ἐν τῷ σῶσαι ἡμᾶς, τοὺς μέλλοντας ἀπολέσθαι. Καὶ δυσωποῦμέν σε, ποίησον ἡμᾶς οὐχ ἧττον νῦν ἀληθινῶς συναισθάνεσθαι τὸν οἰκτιρμόν σου, ἢ τότε συνῃσθανόμεθα τὸν κίνδυνον· Καὶ δὸς ἡμῖν καρδίαν ἑτοίμως ἔχουσαν ἐκλαλεῖν πάντοτε τὴν εὐγνωμοσύνην ἡμῶν, οὐ μόνον λόγῳ, ἀλλὰ καὶ τῇ ἀναστροφῇ ἡμῶν, περισσότερον ὑπακουόντων ταῖς ἁγίαις σου ἐντολαῖς. Παράτεινον, δεόμεθά σου, ταύτην τὴν πρὸς ἡμᾶς ἀγαθότητά σου, ἵνα ἡμεῖς, οὓς ἔσωσας, λατρεύωμέν σοι ἐν ὁσιότητι καὶ δικαιοσύνῃ, πάσας τὰς ἡμέρας τῆς ζωῆς ἡμῶν, διὰ τοῦ Κυρίου καὶ Σωτῆρος ἡμῶν Ἰησοῦ Χριστοῦ. Ἀμήν.

Ὕμνος Αἴνου καὶ Εὐχαριστίας μετ' ἐπικίνδυνον Καταιγίδα.

ΔΕῦτε ἐξομολογώμεθα τῷ Κυρίῳ ὅτι ἀγαθός : ὅτι εἰς τὸν αἰῶνα τὸ ἔλεος αὐτοῦ.

Μέγας Κύριος καὶ αἰνετὸς σφόδρα· εἰπάτωσαν οἱ λελυτρωμένοι : οὓς ἐλυτρώσατο ἐξ ἀνελεήμονος σάλου θαλάσσης.

Οἰκτίρμων καὶ ἐλεήμων ὁ Κύριος : μακρόθυμος καὶ πολυέλεος.

Οὐ κατὰ τὰς ἁμαρτίας ἡμῶν ἐποίησεν ἡμῖν : οὐδὲ κατὰ τὰς ἀνομίας ἡμῶν ἀνταπέδωκεν ἡμῖν.

Ὅτι κατὰ τὸ ὕψος τοῦ οὐρανοῦ ἀπὸ τῆς γῆς : ἐκραταίωσε Κύριος τὸ ἔλεος αὐτοῦ ἐφ' ἡμᾶς.

Θλίψιν καὶ ὀδύνην εὕρομεν : καὶ ἠγγισάμεθα ἕως τῶν πυλῶν τοῦ θανάτου·

Τὸ ὕδωρ τῆς θαλάσσης σχεδὸν κατεπόντισεν ἡμᾶς : σχεδὸν διῆλθεν ἡ ψυχὴ ἡμῶν τὸ ὕδωρ τὸ ἀνυπόστατον·

Ἤχησεν ἡ θάλασσα : καὶ πνεῦμα καταιγίδος ὕψωσεν τὰ κύματα αὐτῆς·

Ἀνέβημεν ὡσεὶ ἕως τῶν οὐρανῶν, καὶ κατέβημεν ἕως τῶν ἀβύσσων : ἡ ψυχὴ ἡμῶν ἐν κακοῖς ἐτήκετο·

Καὶ ἐκεκράξαμεν πρὸς Σέ, Κύριε : καὶ ἐκ τῶν ἀναγκῶν ἡμῶν ἐξήγαγες ἡμᾶς.

Εὐλογημένον τὸ ὄνομά σου, ὃς οὐκ ἀπέστησας τὴν προσευχὴν τῶν δούλων σου : ἀλλὰ τῆς δεήσεως ἡμῶν εἰσήκουσας, καὶ ἔσωσας ἡμᾶς.

Ἐπέταξας τῇ καταιγίδι : καὶ ἔστη εἰς αὔραν, καὶ ἐσίγησαν τὰ κύματα αὐτῆς.

Διὰ τοῦτο ἐξομολογησώμεθα τῷ Κυρίῳ τὰ ἐλέη αὐτοῦ : καὶ τὰ θαυμάσια αὐτοῦ ἃ ἐποίησεν, καὶ ἔτι ποιεῖ τοῖς υἱοῖς τῶν ἀνθρώπων.

Εὐλογητὸς Κύριος ἡμέραν καθ' ἡμέραν : κατευοδώσει ἡμῖν ὁ Θεὸς τῶν σωτηρίων ἡμῶν.

Ὁ Θεὸς ἡμῶν ὁ Θεὸς τοῦ σώζειν : καὶ τοῦ Κυρίου αἱ διέξοδοι τοῦ θανάτου.

Εὔφρανας ἡμᾶς, Κύριε, ἐν τοῖς ἔργοις τῶν χειρῶν σου : καὶ ἐν τῷ αἴνῳ σου ἀγαλλιασόμεθα.

Εὐλογητὸς Κύριος ὁ Θεός : Κύριος ὁ Θεὸς ὁ ποιῶν θαυμάσια μόνος.

Καὶ εὐλογητὸν τὸ Ὄνομα τῆς δόξης αὐτοῦ εἰς τὸν αἰῶνα : καὶ εἰπάτω εἷς ἕκαστος ἡμῶν, Γένοιτο, Γένοιτο.

Δόξα τῷ Πατρί, καὶ τῷ Υἱῷ, καὶ τῷ Ἁγίῳ Πνεύματι·

Ὥσπερ ἐν ἀρχῇ, καὶ νῦν, καὶ ἀεί, καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

Β' Κορ. ΙΓ' 14.

Ἡ Χάρις τοῦ Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ, καὶ ἡ ἀγάπη τοῦ Θεοῦ, καὶ ἡ κοινωνία τοῦ ἁγίου Πνεύματος, μετὰ πάντων ἡμῶν εἰς τοὺς αἰῶνας. Ἀμήν.

Μετὰ Νίκην ἢ Ἀνάρρυσιν ἀπ' Ἐχθροῦ.

Ψαλμὸς ἢ Ὕμνος αἰνέσεως καὶ εὐχαριστίας μετὰ Νίκην.

Εἰ μὴ ὅτι Κύριος ἦν ἐν ἡμῖν, εἴπωμεν δὴ ἡμεῖς : εἰ μὴ ὅτι Κύριος ἦν ἐν ἡμῖν, ἐν τῷ ἐπαναστῆναι ἀνθρώπους ἐφ' ἡμᾶς·

Ἄρα ζῶντας ἂν κατέπιον ἡμᾶς : ἐν τῷ ὀργισθῆναι τὸν θυμὸν αὐτῶν ἐφ' ἡμᾶς.

Ἄρα τὸ ὕδωρ ἂν κατεπόντισεν ἡμᾶς, χείμαρρον διῆλθεν ἡ ψυχὴ ἡμῶν : ἄρα διῆλθεν ἡ ψυχὴ ἡμῶν τὸ ὕδωρ τὸ ἀνυπόστατον.

Εὐλογητὸς Κύριος : ὃς οὐκ ἔδωκεν ἡμᾶς εἰς θήραν αὐτοῖς.

Κύριος εἰργάσατο : κραταιὰν σωτηρίαν ἡμῖν.

Οὐ γὰρ ἐν ῥομφαίᾳ ἡμῶν ἐκληρονομήσαμεν τοῦτο, οὐδὲ ὁ βραχίων ἡμῶν οὐκ ἔσωσεν ἡμᾶς : ἀλλ' ἡ δεξιά σου, καὶ ὁ βραχίων σου, καὶ ὁ φωτισμὸς τοῦ προσώπου σου, ὅτι εὐδόκησας ἐφ' ἡμᾶς.

Κύριος ἐπέφανεν ὑπὲρ ἡμῶν : Κύριος ἐπεσκίασεν ἐπὶ τὰς κεφαλὰς ἡμῶν, καὶ ἐποίησεν ἡμᾶς στῆναι ἐν ἡμέρᾳ πολέμου.

Κύριος ἐπέφανεν ὑπὲρ ἡμῶν : Κύριος τοὺς ἐχθροὺς ἡμῶν καθεῖλε, καὶ ἐξουδένωσεν τοὺς ἐπανισταμένους ἡμῖν.

Διὸ μὴ ἡμῖν, Κύριε, μὴ ἡμῖν : ἀλλ' ἢ τῷ Ὀνόματί σου δοθείη δόξα.

Ἐμεγάλυνε Κύριος τοῦ ποιῆσαι μεθ' ἡμῶν : ἐμεγάλυνε Κύριος τοῦ ποιῆσαι μεθ' ἡμῶν, ἐγενήθημεν εὐφραινόμενοι.

Ἡ βοήθεια ἡμῶν ἐν Ὀνόματι Κυρίου : τοῦ ποιήσαντος τὸν οὐρανὸν καὶ τὴν γῆν.

Εἴη τὸ Ὄνομα Κυρίου εὐλογημένον : ἀπὸ τοῦ νῦν καὶ ἕως τοῦ αἰῶνος.

Δόξα τῷ Πατρί, καὶ τῷ Υἱῷ, καὶ τῷ Ἁγίῳ Πνεύματι·
Ὥσπερ ἐν ἀρχῇ, καὶ νῦν, καὶ ἀεί, καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

¶ **Μετὰ τοῦτον τὸν Ὕμνον δύναται ψάλλεσθαι τὸ *Te Deum*.**

¶ *Εἶτα ἀναγινώσκεται αὕτη ἡ Εὐχή.*

Ὁ Θεὸς ὁ παντοκράτωρ, ὁ τῶν ὅλων ἐπικρατῶν δυνάστης, οὗ ἐν χειρὶ ἰσχὺς καὶ δυναστεία ᾗ οὐκ ἔστιν ὁ δυνάμενος ἀντιτάξασθαι· Εὐλογοῦμεν καὶ μεγαλύνομεν τὸ μέγα Ὄνομα τῆς δόξης σου ὑπὲρ ταύτης τῆς αἰσίας νίκης, ἧς ὅλην τὴν δόξαν Σοὶ ἀναπέμπομεν, τῷ μόνῳ πάσης νίκης δοτῆρι. Καί, ἱκετεύομέν σε, δὸς ἡμῖν χάριν τοῦ χρήσασθαι τούτῳ τῷ μεγάλῳ ἐλέει εἰς τὴν σὴν δόξαν, εἰς τὴν προκοπὴν τοῦ Εὐαγγελίου σου, εἰς τιμὴν Βασιλέως ἡμῶν, καί, ὅσον τὸ ἐφ' ἡμῖν, εἰς τὸ ἀγαθὸν πάντων τῶν ἀνθρώπων. Καί, δεόμεθά σου, δὸς ἡμῖν τοιαύτην τοῦ μεγάλου τούτου ἐλέους συναίσθησιν, οἵα δύναται ἡμᾶς ὑποχρεοῦν πρὸς ἀληθινὴν εὐγνωμοσύνην, τὴν ἐκφαινομένην διὰ τῆς πολιτείας ἡμῶν, περιπατούντων ἐν ταπεινοφροσύνῃ, ὁσιότητί τε καὶ ὑπακοῇ ἐνώπιόν σου πάσας τὰς ἡμέρας ἡμῶν, διὰ Ἰησοῦ Χριστοῦ τοῦ Κυρίου ἡμῶν· Ὧι σὺν Σοί, καὶ τῷ ἁγίῳ Πνεύματι, ὡς ὑπὲρ τῶν οἰκτιρμῶν σου πάντων, οὕτω καὶ ἰδιαιτέρως ὑπὲρ ταύτης τῆς νίκης καὶ ἀναρρύσεως, πᾶσα δόξα καὶ τιμὴ εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

Β' Κορ. ΙΓ' 14.

Ἡ Χάρις τοῦ Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ, καὶ ἡ ἀγάπη τοῦ Θεοῦ, καὶ ἡ κοινωνία τοῦ ἁγίου Πνεύματος, μετὰ πάντων ἡμῶν εἰς τοὺς αἰῶνας. Ἀμήν.

ΕΙΣ ΧΡΗΣΙΝ ΘΑΛΑΣΣΟΠΟΡΟΥΝΤΩΝ

Εἰς Κηδείαν Ἀποθανόντος ἐπὶ Θαλάσσης.

¶ Ἡ Ἐν τῷ Βιβλίῳ Κοινῆς Προσευχῆς Νεκρώσιμος Ἀκολουθία δύναται ἀναγινώσκεσθαι· Πλήν, ἀντὶ τῶν ῥημάτων [Διὰ τοῦτο παραδίδομεν τὸ σῶμα αὐτοῦ τῇ γῇ, Γῆν τῇ Γῇ, κτλ.] λέγε,

Διὰ τοῦτο παραδίδομεν τὸ σῶμα αὐτοῦ τῷ Βυθῷ, τοῦ ὑποστρέψαι εἰς διαφθοράν, προσδοκοῦντες τὴν ἀνάστασιν τοῦ σώματος, (ὅτε δώσει ἡ θάλασσα τοὺς ἐν αὐτῇ νεκρούς,) καὶ τὴν ζωὴν τοῦ μέλλοντος αἰῶνος, διὰ τοῦ Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ· ὃς ἐν τῇ παρουσίᾳ αὐτοῦ μετασχηματίσει τὸ σῶμα τῆς ταπεινώσεως ἡμῶν σύμμορφον τῷ σώματι τῆς δόξης αὐτοῦ, κατὰ τὴν ἐνέργειαν τοῦ δύνασθαι αὐτὸν καὶ ὑποτάξαι ἑαυτῷ τὰ πάντα.

ΤΥΠΟΣ ΚΑΙ ΤΑΞΙΣ

ΓΙΝΟΜΕΝΗ ΕΠΙ

ΚΑΤΑΣΤΑΣΕΙ, ΧΕΙΡΟΤΟΝΙΑι,

ΚΑΙ

ΚΑΘΙΕΡΩΣΕΙ

ΕΠΙΣΚΟΠΩΝ, ΠΡΕΣΒΥΤΕΡΩΝ

ΚΑΙ

ΔΙΑΚΟΝΩΝ,

ΚΑΤΑ ΤΗΝ ΔΙΑΤΑΞΙΝ ΤΗΣ ΕΚΚΛΗΣΙΑΣ

ΤΗΣ

ΑΓΓΛΙΑΣ

ΠΡΟΟΙΜΙΟΝ

ΠΑσιν φανερὸν ὑπάρχει τοῖς μετ' ἐπιμελείας ἀναγινώσκουσι τὰς θείας Γραφὰς καὶ τοὺς ἀρχαίους Συγγραφεῖς, ὅτι ἀπὸ τῶν 'Αποστολικῶν χρόνων ὑφίσταντο οἱ Βαθμοὶ οὗτοι τῶν ἐν τῇ 'Εκκλησίᾳ τοῦ Χριστοῦ Λειτουργῶν, ἤτοι 'Επισκόπων, Πρεσβυτέρων, καὶ Διακόνων. Ἅτινα 'Αξιώματα μετὰ τοσούτου σεβασμοῦ πάντοτε ἐτιμῶντο, ὥστε μηδένα τολμᾷν ἰδίᾳ ἐξουσίᾳ οἱονδήποτε αὐτῶν ἀσκεῖν, εἰ μὴ πρότερον ἐκλήθη, καὶ ἐδοκιμάσθη, καὶ ἐξητάσθη, καὶ ἐγνώσθη ἔχων τὰ ἀναγκαῖα εἰς ταῦτα προσόντα· προσέτι δὲ εἰ μὴ δι' εὐχῆς δημοσίας, μετ' ἐπιθέσεως χειρῶν, παρὰ νομίμου 'Εξουσίας ἐνεκρίθη καὶ δεκτὸς ἐπὶ ταῦτα ἐγένετο. Διὸ καί, ἐπὶ τῷ σκοπῷ ἵνα οἱ Βαθμοὶ οὗτοι συνεχίζωνται, καὶ εὐλαβῶς ἐν χρήσει διατελῶσι τιμώμενοι ἐν τῇ 'Εκκλησίᾳ τῆς 'Αγγλίας· Οὐδεὶς ὀφείλει λογισθῆναι ἢ ἐκληφθῆναι ὡς νόμιμος 'Επίσκοπος, Πρεσβύτερος, ἢ Διάκονος ἐν τῇ 'Εκκλησίᾳ τῆς 'Αγγλίας, οὐδ' ἐπιτρέπεταί τινι ἀσκεῖν τινὰ τῶν προειρημένων Λειτουργιῶν, ἂν μὴ κληθῇ, δοκιμασθῇ, ἐξετασθῇ καὶ εἰς ταύτην δεκτὸς γένηται κατὰ τὸν ὧδε ἀκολουθοῦντα Τύπον, ἐκτὸς μόνων τῶν ἤδη πρῴην τὴν δι' 'Επισκόπων Καθιέρωσιν ἢ Χειροτονίαν δεξαμένων.

Καὶ μηδένα δέον δεκτὸν γενέσθαι εἰς Διάκονον, μὴ ὄντα εἴκοσι τριῶν ἐτῶν, εἰ μὴ 'Αφέσεως ἐπιτύχῃ. Καὶ πᾶς ὁ εἰς Πρεσβύτερον δεκτὸς γινόμενος, ὀφείλει τὸ εἰκοστὸν τέταρτον ἔτος τῆς ἡλικίας συμπεπληρωμένον ἔχειν. Καὶ πᾶς ὁ εἰς 'Επίσκοπον χειροτονούμενος ἢ καθιερούμενος, ὀφείλει τὸ τριακοστὸν ἔτος τῆς ἡλικίας συμπεπληρωμένον ἔχειν.

Καὶ ὁ 'Επίσκοπος ἐπιγνοὺς εἴτε δι' ἑαυτοῦ, εἴτε δι' ἱκανῆς μαρτυρίας, ἄνδρα τινὰ ἐνάρετον ὑπάρχειν κατὰ τὴν πολιτείαν, καὶ ἀνέγκλητον, καὶ δι' ἐξετάσεως καὶ δοκιμασίας εὑρὼν αὐτὸν πεπαιδευμένον ἐν τῇ Λατινικῇ Γλώσσῃ, καὶ ἱκανῶς μεμυημένον εἰς τὰς θείας Γραφάς, δύναται τοῖς καιροῖς τοῖς ἐν τῷ Κανόνι ὡρισμένοις, ἤ, ἐπ' αἰτίᾳ τινὶ ἐπειγούσῃ, ἄλλῃ τινὶ Κυριακῇ ἢ 'Εορτασίμῳ ἡμέρᾳ, ἐνώπιον τῆς 'Εκκλησίας, εἰσδέχεσθαι αὐτὸν εἰς Διάκονον, κατὰ τάξιν καὶ τύπον τὸν ἐφεξῆς ἑπόμενον.

ΤΥΠΟΣ ΚΑΙ ΤΑΞΙΣ

ΓΙΝΟΜΕΝΗ ΕΠΙ ΚΑΤΑΣΤΑΣΕΙ

ΔΙΑΚΟΝΩΝ

¶ Ἐλθούσης τῆς παρὰ τοῦ Ἐπισκόπου ὡρισμένης ἡμέρας, μετὰ τὸ τέλος τῆς Πρωινῆς Ἀκολουθίας, γίνεται Ὁμιλία ἢ Παράκλησις, ἀπαγγέλλουσα τὸ Καθῆκον καὶ τὴν Λειτουργίαν τῶν ἐρχομένων καθεστάναι Διακόνων, καὶ ὅπως ἀναγκαῖόν ἐστι τοῦτο τὸ Τάγμα ἐν τῇ Ἐκκλησίᾳ τοῦ Χριστοῦ, ἔτι δὲ ὅπως ὁ λαὸς ὀφείλει αὐτοὺς ἐκτιμᾷν ἐν τῷ Ἀξιώματι αὐτῶν.

¶ Πρῶτον ὁ Ἀρχιδιάκονος ἢ ὁ Ἀντιπρόσωπος αὐτοῦ παρουσιάζει τῷ Ἐπισκόπῳ (καθημένῳ εἰς τὸ Θρονίον αὐτοῦ ἐγγὺς τῆς ἁγίας Τραπέζης) τοὺς βουλομένους χειροτονεῖσθαι Διακόνους (πάντας εὐπρεπῶς ἐστολισμένους), λέγων ταῦτα τὰ ῥήματα,

Πανιερώτατε Πάτερ ἐν Θεῷ, παρουσιάζω Ὑμῖν τούτους τοὺς παρεστῶτας, δεκτοὺς γενέσθαι εἰς Διακόνους.

Ὁ Ἐπίσκοπος.

Πρόσεχε ἵνα οὓς παρουσιάζετε ἡμῖν, ἱκανοὶ ὦσι καὶ ἄξιοι, διὰ τὴν μάθησιν αὐτῶν καὶ τὴν εὐσεβῆ πολιτείαν, τοῦ ἐνασκεῖν πρεπόντως τὴν Διακονίαν αὐτῶν, εἰς τὴν τιμὴν τοῦ Θεοῦ, καὶ εἰς τὴν οἰκοδομὴν τῆς Ἐκκλησίας αὐτοῦ.

¶ Ἀποκρίνεται ὁ Ἀρχιδιάκονος,

Ἠρώτησα περὶ αὐτῶν, καὶ προσέτι ἐξήτασα αὐτούς, καὶ νομίζω αὐτοὺς οὕτως εἶναι.

¶ Εἶτα ὁ Ἐπίσκοπος λέγει τῷ λαῷ,

Ἀδελφοί, ἐὰν ᾖ τις ἐξ ὑμῶν ὁ εἰδὼς Κώλυμά τι ἢ σημειωτέον Ἔγκλημα ἔν τινι ἐκ τούτων τῶν ἡμῖν παρουσιαζομένων τοῦ χειροτονεῖσθαι Διακόνων, δι' ὃ οὐκ ὀφείλει αὐτὸς δεκτὸς γενέσθαι εἰς τοῦτο τὸ Ἀξίωμα,

προελθέτω ἐν τῷ Ὀνόματι τοῦ Θεοῦ, καὶ δηλωσάτω τί ἐστι τὸ Ἔγκλημα ἢ τὸ Κώλυμα.

¶ Καὶ ἐὰν προταθῇ μέγα τι Ἔγκλημα ἢ Κώλυμα, δέον τὸν Ἐπίσκοπον ἀποσχεῖν τοῦ χειροτονεῖν τὸν κατηγορούμενον, ἄχρις ἂν ἀθῷος εὑρεθῇ οὗτος τοῦ Ἐγκλήματος.

¶ Εἶτα ὁ Ἐπίσκοπος (συστήσας ταῖς προσευχαῖς τοῦ Ἐκκλησιάσματος τοὺς ἀξίους εὑρεθέντας τοῦ χειροτονεῖσθαι), μετὰ τοῦ περιεστῶτος Κλήρου καὶ λαοῦ, ψάλλει ἢ ἀναγινώσκει τὴν Λιτανείαν, μετὰ τῶν Προσευχῶν, ὡς ἐφεξῆς.

ΛΙΤΑΝΕΙΑ ΚΑΙ ΠΡΟΣΕΥΧΑΙ.

ΠΑτερ ἐξ οὐρανῶν Θεέ: ἐλέησον ἡμᾶς τοὺς ἐλεεινούς [κτλ., ὡς ἀνωτέρω εἰς σελ. 70· ἀλλὰ μετὰ τὴν αἴτησιν Εὐδόκησον φωτίσαι πάντας τοὺς Ἐπισκόπους κτλ. ἐπισυνάπτεται]

Εὐδόκησον εὐλογῆσαι τούτους τοὺς δούλους σου, τοὺς χειροτονουμένους Διακόνους [ἢ Πρεσβυτέρους] καὶ ἔκχεαι ἐπ' αὐτοὺς τὴν χάριν σου, ἵνα πρεπόντως ἀσκῶσι τὸ Ἀξίωμα αὐτῶν, εἰς τὴν οἰκοδομὴν τῆς Ἐκκλησίας σου, καὶ εἰς τὴν δόξαν τοῦ ἁγίου σου Ὀνόματος·

Δεόμεθά σου, ἐπάκουσον ἡμῶν, Κύριε.

¶ Εἶτα [μετὰ τὴν Εὐχὴν Ταπεινῶς δεόμεθά σου Πάτερ (ὅρα σελ. 77)] ψάλλεται ἢ ἀναγινώσκεται ἡ Τάξις τῆς θείας Κοινωνίας μετὰ τῆς Εὐχῆς, τοῦ τε Ἀποστόλου, καὶ τοῦ Εὐαγγελίου, τῶν ἐφεξῆς ἑπομένων.

Εὐχή.

ὉΘεὸς ὁ Παντοκράτωρ, ὁ τῇ θείᾳ σου Προνοίᾳ διάφορα Τάγματα Λειτουργῶν ἐν τῇ σῇ Ἐκκλησίᾳ καταστήσας, καὶ τοῖς σοῖς Ἀποστόλοις ἐμπνεύσας ἵνα ἐκλέξωνται εἰς τὸ Τάγμα τῶν Διακόνων σὺν ἄλλοις τὸν ἅγιον Πρωτομάρτυρα Στέφανον· Ἵλεως ἐπίβλεψον ἐπὶ τοὺς δούλους σου τούτους τοὺς εἰς τὸ παραπλήσιον Ἀξίωμα καὶ Λειτουργίαν νῦν καλουμένους. Ἔμπλησον αὐτοὺς οὕτω τῆς ἀληθείας τῆς σῆς διδασκαλίας, καὶ ἀμέμπτῳ αὐτοὺς τῇ πολιτείᾳ κατακόσμησον, ὥστε λόγῳ τε καὶ ὑποδείγματι, ἐν τῷ Ἀξιώματι τούτῳ πιστῶς Σοὶ δουλεύειν αὐτούς, εἰς δόξαν

τοῦ σοῦ Ὀνόματος, καὶ τὴν οἰκοδομὴν τῆς σῆς Ἐκκλησίας, διὰ τὴν ἀξιομισθίαν τοῦ Σωτῆρος ἡμῶν Ἰησοῦ Χριστοῦ, τοῦ σὺν Σοὶ καὶ τῷ ἁγίῳ Πνεύματι συζῶντος καὶ συμβασιλεύοντος νῦν καὶ εἰς τοὺς αἰῶνας. Ἀμήν.

Ἀπόστολος.

ΔΙακόνους ὡσαύτως σεμνούς, μὴ διλόγους, μὴ οἴνῳ πολλῷ προσέχοντας, μὴ αἰσχροκερδεῖς, ἔχοντας τὸ μυστήριον τῆς πίστεως ἐν καθαρᾷ συνειδήσει. Καὶ οὗτοι δὲ δοκιμαζέσθωσαν πρῶτον, εἶτα διακονείτωσαν, ἀνέγκλητοι ὄντες. Γυναῖκας ὡσαύτως σεμνάς, μὴ διαβόλους, νηφαλίους, πιστὰς ἐν πᾶσι. Διάκονοι ἔστωσαν μιᾶς γυναικὸς ἄνδρες, τέκνων καλῶς προϊστάμενοι καὶ τῶν ἰδίων οἴκων. Οἱ γὰρ καλῶς διακονήσαντες βαθμὸν ἑαυτοῖς καλὸν περιποιοῦνται, καὶ πολλὴν παρρησίαν ἐν πίστει τῇ ἐν Χριστῷ Ἰησοῦ. (Α΄ Τιμ. Γ΄ 8.)

¶ Ἢ τοῦτο ἐκ τοῦ Ἕκτου Πράξεων Ἀποστόλων.

ΠΡοσκαλεσάμενοι δὲ οἱ δώδεκα [κτλ. ἕως στ. 7]. (Πράξ. Ϛ΄ 2.)

¶ Καὶ πρὸ τοῦ Εὐαγγελίου, ὁ Ἐπίσκοπος καθήμενος εἰς τὸ Θρονίον αὐτοῦ ἐξετάζει ἕνα ἕκαστον τῶν Χειροτονουμένων, κατέναντι τοῦ λαοῦ, κατὰ τοῦτον τὸν ἐφεξῆς τρόπον.

ΠΕποίθατε ὅτι ἔσωθεν κινεῖσθε διὰ τοῦ ἁγίου Πνεύματος, εἰς τὸ ἀναλαβέσθαι τοῦτο τὸ Ἀξίωμα καὶ τὴν Λειτουργίαν, τοῦ δουλεύειν τῷ Θεῷ εἰς τὴν προαγωγὴν τῆς δόξης αὐτοῦ, καὶ εἰς τὴν οἰκοδομὴν τοῦ λαοῦ αὐτοῦ;

Ἀπόκρισις.

Πέποιθα.

Ὁ Ἐπίσκοπος.

ΝΟμίζετε ὅτι ἀληθινῶς καλεῖσθε εἰς τὴν Ὑπηρεσίαν τῆς Ἐκκλησίας κατὰ τὸ θέλημα τοῦ Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ, καὶ κατὰ τὴν πρέπουσαν Τάξιν τούτου τοῦ Βασιλείου;

Ἀπόκρισις.

Νομίζω.

Ὁ Ἐπίσκοπος.

ΠΙστεύετε εἰλικρινῶς πάσαις ταῖς Κανονικαῖς Γραφαῖς τῆς Παλαιᾶς καὶ τῆς Καινῆς Διαθήκης;

Ἀπόκρισις.

Πιστεύω αὐταῖς.

Ὁ Ἐπίσκοπος.

ΘΕλετε ἐνδελεχῶς αὐτὰς ἀναγινώσκειν τῷ ἐν τῇ Ἐκκλησίᾳ συνηθροισμένῳ λαῷ ὅπου ἂν ταχθῇς εἰς τὸ ὑπηρετεῖν;

Ἀπόκρισις.

Θέλω.

Ὁ Ἐπίσκοπος.

ΠΡοσήκει τῷ Ἔργῳ τοῦ Διακόνου ἐν τῇ Ἐκκλησίᾳ ὅπου ἂν ταχθῇ εἰς τὸ ὑπηρετεῖν, τὸ βοηθεῖν τῷ Ἱερεῖ ἐν ταῖς Θείαις Ἀκολουθίαις, καὶ πρὸ πάντων ὅταν τελέσῃ τὴν θείαν Κοινωνίαν, καὶ συνεργεῖν αὐτῷ πρὸς τὴν μετάδοσιν· καὶ τὸ ἀναγινώσκειν θείας Γραφὰς καὶ Ὁμιλίας ἐν τῇ Ἐκκλησίᾳ· καὶ τὸ διδάσκειν τὴν νεότητα τὴν Κατήχησιν· ἀποδημοῦντος τοῦ Ἱερέως τὸ Βαπτίζειν τὰ βρέφη· καὶ τὸ Κηρύσσειν, ἐὰν πρὸς τοῦτο ἄδειαν δέξηται παρὰ τοῦ Ἐπισκόπου. Προσέτι δέ, καθήκει αὐτῷ, ὅπου ἂν περὶ τούτου πρόνοια γένηται, τὸ ἐκζητεῖν τοὺς τῆς Ἐνορίας ἀσθενοῦντας, πένητάς τε καὶ ἀπόρους, καὶ εἰδοποιεῖν τὸν Ἐφημέριον περὶ τῆς καταστάσεως αὐτῶν, τῶν τε ὀνομάτων καὶ τῶν κατοικιῶν αὐτῶν, ἵνα τῇ τούτου παραινέσει διὰ τῆς τῶν Ἐνοριτῶν ἢ ἄλλων ἐλεημοσύνης ἀνακουφίζωνται. Ταῦτα θέλετε πράσσειν ἀσμένως καὶ ἑκουσίως;

Ἀπόκρισις.

Θέλω, τοῦ Θεοῦ βοηθοῦντος.

ΧΕΙΡΟΤΟΝΙΑ ΔΙΑΚΟΝΩΝ

Ὁ Ἐπίσκοπος.

ΘΕλετε πᾶσαν σπουδαιότητα καταβάλλειν εἰς τὸ μορφῶσαι καὶ σχηματίσαι τήν τε ἰδίαν καὶ τῶν οἰκείων ὑμῶν πολιτείαν, κατὰ τὴν διδασκαλίαν τοῦ Χριστοῦ, καὶ εἰς τὸ ποιῆσαι ὑμᾶς τε καὶ αὐτούς, ὅσον τὸ ἐφ' ὑμῖν, ὑγιαίνοντας τύπους τῇ ποίμνῃ τοῦ Χριστοῦ;

Ἀπόκρισις.

Τοῦτο θέλω ποιῆσαι, βοηθοῦντός μοι τοῦ Κυρίου.

Ὁ Ἐπίσκοπος.

ΘΕλετε μετ' αἰδοῦς πειθαρχεῖν τῷ Ὀρδιναρίῳ ὑμῶν, καὶ ἄλλοις ἐξόχοις τῆς Ἐκκλησίας Ὑπηρέταις, καὶ ἐκείνοις οἷς ἐμπιστεύεται ἡ ὑπὲρ ὑμᾶς ἐπιτροπὴ καὶ κυβέρνησις, μετ' ἀσμένης διανοίας καὶ θελήσεως τοῖς εὐσεβέσιν αὐτῶν ἐπακολουθοῦντες νουθετήμασι;

Ἀπόκρισις.

Σπουδάσω τοῦτο ποιῆσαι, βοηθοῦντός μοι τοῦ Κυρίου.

¶ Εἶτα ὁ Ἐπίσκοπος, ἐπιτιθεὶς τὰς Χεῖρας αὐτοῦ ἐπὶ τὴν κεφαλὴν ἑνὸς ἑκάστου ἐξ αὐτῶν, ἔμπροσθεν αὐτοῦ γονυπετοῦντος, λέγει,

ΛΑβε τὴν ἐξουσίαν τοῦ ἐκτελεῖν τὴν Διακονίαν ἐν τῇ Ἐκκλησίᾳ τοῦ Θεοῦ τὴν σοὶ παραδιδομένην· Εἰς τὸ Ὄνομα τοῦ Πατρός, καὶ τοῦ Υἱοῦ, καὶ τοῦ ἁγίου Πνεύματος. Ἀμήν.

¶ Εἶτα ὁ Ἐπίσκοπος παραδίδωσι ἑνὶ ἑκάστῳ ἐξ αὐτῶν τὴν Καινὴν Διαθήκην, λέγων,

ΛΑβε τὴν ἐξουσίαν τοῦ ἀναγινώσκειν τὸ Εὐαγγέλιον ἐν τῇ Ἐκκλησίᾳ τοῦ Θεοῦ· καὶ τοῦ κηρύσσειν αὐτό, ἐὰν δοθῇ σοι ἄδεια παρ' αὐτοῦ τοῦ Ἐπισκόπου.

¶ Εἶτα εἷς ἐξ αὐτῶν, ὑπὸ τοῦ Ἐπισκόπου ὡρισμένος, ἀναγινώσκει

Τὸ Εὐαγγέλιον.

ἜΣτωσαν ὑμῶν αἱ ὀσφύες περιεζωσμέναι, καὶ οἱ λύχνοι καιόμενοι· καὶ ὑμεῖς ὅμοιοι ἀνθρώποις προσδεχομένοις Λουκ. ΙΒ΄ 35.

τὸν Κύριον ἑαυτῶν, πότε ἀναλύσει ἐκ τῶν γάμων· ἵνα, ἐλθόντος καὶ κρούσαντος, εὐθέως ἀνοίξωσιν αὐτῷ. Μακάριοι οἱ δοῦλοι ἐκεῖνοι, οὓς ἐλθὼν ὁ Κύριος εὑρήσει γρηγοροῦντας. Ἀμὴν λέγω ὑμῖν, ὅτι περιζώσεται, καὶ ἀνακλινεῖ αὐτούς, καὶ παρελθὼν διακονήσει αὐτοῖς. Καὶ ἐὰν ἔλθῃ ἐν τῇ δευτέρᾳ φυλακῇ, καὶ ἐν τῇ τρίτῃ φυλακῇ ἔλθῃ, καὶ εὕρῃ οὕτω, μακάριοί εἰσιν οἱ δοῦλοι ἐκεῖνοι.

¶ Εἶτα προβαίνει ὁ Ἐπίσκοπος ἐν τῇ Τάξει τῆς θείας Κοινωνίας, καὶ παραμένουσι πάντες οἱ Χειροτονηθέντες, καὶ μεταλαμβάνουσι τὴν αὐτὴν ἡμέραν σὺν τῷ Ἐπισκόπῳ.

¶ Συντελεσθείσης τῆς Κοινωνίας, μετὰ τὴν ἐσχάτην Εὐχήν, καὶ ἀμέσως πρὸ τῆς Εὐλογίας ἀναγινώσκονται αἱ ἑπόμεναι Εὐχαί.

ὉΟ Θεὸς ὁ Παντοκράτωρ, ὁ πάντων τῶν ἀγαθῶν χορηγός, ὁ διὰ τὴν μεγάλην σου ἀγαθότητα εὐδοκήσας τοὺς δούλους σου τούτους ὑποδέξασθαι καὶ προσλήψασθαι εἰς τὴν Διακονίαν ἐν τῇ σῇ Ἐκκλησίᾳ· Αὐτός, δεόμεθά σου, Κύριε, ἀπέργασαι αὐτοὺς πραεῖς γενέσθαι, καὶ ταπεινόφρονας, καὶ εὐσταθεῖς ἐν τῇ Λειτουργίᾳ αὐτῶν, καὶ προθύμους τοῦ τηρεῖν πᾶσαν τὴν πνευματικὴν Πειθαρχίαν· ἵνα πάντοτε μαρτύριον ἔχοντες ἀγαθῆς συνειδήσεως, καὶ σταθεροί τε καὶ ἰσχυροὶ διατελοῦντες ἐν τῷ Υἱῷ σου Χριστῷ, οὕτω καλῶς ἀναστρέφωνται ἐν τούτῳ τῷ κατωτέρῳ Ἀξιώματι, ὥστε καταξιωθῆναι εἰς τοὺς μείζονας ἐν τῇ Ἐκκλησίᾳ σου βαθμοὺς καλεῖσθαι, διὰ τοῦ αὐτοῦ τοῦ Υἱοῦ σου, Σωτῆρος δὲ ἡμῶν Ἰησοῦ Χριστοῦ· ᾧ ἡ δόξα καὶ ἡ τιμὴ εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

ΤΑς πράξεις ἡμῶν, Κύριε [ὅρα σελ. 271].

ἩΗ Εἰρήνη τοῦ Θεοῦ [ὅρα σελ. 270].

ΧΕΙΡΟΤΟΝΙΑ ΔΙΑΚΟΝΩΝ

¶ ΚΑὶ ἐνταῦθα δέον ἀπαγγέλλεσθαι τῷ Διακόνῳ, ὅτι χρὴ αὐτὸν παραμεῖναι ἐν ταύτῃ τῇ Διακονίᾳ ἐπὶ ἕνα ὅλον ἐνιαυτόν (ἐκτὸς ἂν δι' εὔλογον αἰτίαν ἄλλως δόξῃ τῷ 'Επισκόπῳ), ἵνα τέλειος καὶ ἔμπειρος γένηται ἐν τοῖς τῆς 'Εκκλησιαστικῆς Οἰκονομίας. 'Εὰν δὲ πιστὸς καὶ ἐπιμελὴς εὑρεθῇ εἰς τὴν ταύτης ἐκτέλεσιν, δύναται δεκτὸς γενέσθαι παρὰ τοῦ τῆς 'Επαρχίας 'Επισκόπου εἰς τὸ Πρεσβυτέριον, τοῖς καιροῖς τοῖς ἐν τῷ Κανόνι ὡρισμένοις· ἢ δι' ἐπείγουσαν ἀφορμήν, ἄλλῃ τινὶ Κυριακῇ, ἢ 'Εορτασίμῳ ἡμέρᾳ, ἐνώπιον τῆς 'Εκκλησίας, κατὰ τὸν ἐφεξῆς τρόπον καὶ τύπον.

ΤΥΠΟΣ ΚΑΙ ΤΑΞΙΣ

ΓΙΝΟΜΕΝΗ ΕΠΙ ΧΕΙΡΟΤΟΝΙΑι

ΠΡΕΣΒΥΤΕΡΩΝ

¶ 'ΕΛθούσης τῆς παρὰ τοῦ 'Επισκόπου ὡρισμένης ἡμέρας, μετὰ τὸ τέλος τῆς Πρωινῆς 'Ακολουθίας, γίνεται 'Ομιλία ἢ Παράκλησις ἀπαγγέλλουσα τὸ Καθῆκον καὶ τὴν Λειτουργίαν τῶν ἐρχομένων τοῦ χειροτονεῖσθαι Πρεσβυτέρων, ὅπως ἀναγκαῖόν ἐστι τοῦτο τὸ Τάγμα ἐν τῇ 'Εκκλησίᾳ τοῦ Χριστοῦ, ἔτι δὲ ὅπως ὁ λαὸς ὀφείλει αὐτοὺς ἐκτιμᾷν ἐν τῷ 'Αξιώματι αὐτῶν.

¶ Πρῶτον ὁ 'Αρχιδιάκονος, ἤ, τούτου ἀπόντος, ἄλλος τις ἀντ' αὐτοῦ ὡρισμένος, παρουσιάζει τῷ 'Επισκόπῳ καθημένῳ εἰς τὸ Θρονίον αὐτοῦ ἐγγὺς τῆς ἁγίας Τραπέζης, πάντας τοὺς αὐθημερὸν μέλλοντας δέξασθαι τὸ 'Αξίωμα τοῦ Πρεσβυτερίου (ἑκάστου ὄντος εὐπρεπῶς ἐστολισμένου), λέγων,

ΠΑνιερώτατε Πάτερ ἐν Θεῷ, παρουσιάζω 'Υμῖν τούτους τοὺς παρεστῶτας, δεκτοὺς γενέσθαι εἰς τὸ Πρεσβυτέριον.

'Ο 'Επίσκοπος.

ΠΡόσεχε ἵνα οὓς παρουσιάζετε ἡμῖν ἱκανοὶ ὦσι καὶ ἄξιοι, διὰ τὴν μάθησιν αὐτῶν καὶ τὴν εὐσεβῆ πολιτείαν, τοῦ ἐνασκεῖν πρεπόντως τὴν Λειτουργίαν αὐτῶν, εἰς τὴν τιμὴν τοῦ Θεοῦ καὶ εἰς τὴν οἰκοδομὴν τῆς 'Εκκλησίας αὐτοῦ.

¶ 'Αποκρίνεται ὁ 'Αρχιδιάκονος,

'ΗΡώτησα περὶ αὐτῶν, καὶ προσέτι ἐξήτασα αὐτούς, καὶ πιστεύω αὐτοὺς οὕτως εἶναι.

¶ Εἶτα ὁ 'Επίσκοπος λέγει τῷ λαῷ,

ἼΔετε, ἄνθρωποι, οὓς προτιθέμεθα, σὺν Θεῷ, προσδέξασθαι σήμερον εἰς τὸ ἱερὸν Πρεσβυτέριον· 'Επειδὴ μετὰ πρέπουσαν δοκιμασίαν οὐ κατειλήφαμεν ἀλλ' ἢ ὅτι νομίμως καλοῦνται εἰς τὸ Ἔργον καὶ τὴν Λειτουργίαν

αὐτῶν, καὶ ὅτι πρὸς ταῦτα ἱκανοὶ ὑπάρχουσιν. Ἀλλ' ὅμως ἐὰν ᾖ τις ἐξ ὑμῶν ὁ εἰδὼς Κώλυμά τι ἢ σημειωτέον Ἔγκλημα ἔν τινι ἐκ τούτων, δι' ὃ οὐκ ὀφείλει αὐτὸς δεκτὸς γενέσθαι εἰς ταύτην τὴν ἱερὰν Λειτουργίαν, προελθέτω ἐν τῷ Ὀνόματι τοῦ Θεοῦ, καὶ δηλωσάτω τί ἐστι τὸ Ἔγκλημα ἢ τὸ Κώλυμα.

¶ Καὶ ἐὰν προταθῇ μέγα τι Ἔγκλημα ἢ Κώλυμα, δέον τὸν Ἐπίσκοπον ἀποσχεῖν τοῦ χειροτονεῖν τὸν κατηγορούμενον, ἄχρις ἂν ἀθῶος εὑρεθῇ οὗτος τοῦ Ἐγκλήματος.

¶ Εἶτα ὁ Ἐπίσκοπος (συστήσας ταῖς προσευχαῖς τοῦ Ἐκκλησιάσματος τοὺς ἀξίους εὑρεθέντας τοῦ χειροτονεῖσθαι), μετὰ τοῦ περιεστῶτος Κλήρου καὶ λαοῦ, ψάλλει ἢ ἀναγινώσκει τὴν Λιτανείαν, μετὰ τῶν προσευχῶν, καθὼς προδιατέτακται ἐν τῷ Τύπῳ τῷ ἐπὶ Χειροτονίᾳ Διακόνων, πλὴν ὅτι ἐν τῇ ἐκεῖ προστεθείσῃ ἰδιαιτέρᾳ Αἰτήσει, παραλείπεται τὸ ῥῆμα [Διακόνους], καὶ ἀντ' αὐτοῦ παρεμβάλλεται τὸ ῥῆμα [Πρεσβυτέρους].

¶ Εἶτα ψάλλεται ἢ ἀναγινώσκεται ἡ Τάξις τῆς θείας Κοινωνίας, μετὰ τῆς Εὐχῆς, τοῦ τε Ἀποστόλου, καὶ τοῦ Εὐαγγελίου, τῶν ἐφεξῆς ἑπομένων.

Εὐχή.

ὉΘεὸς ὁ Παντοκράτωρ, ὁ πάντων τῶν ἀγαθῶν χορηγός, ὁ διὰ τοῦ ἁγίου σου Πνεύματος διάφορα Τάγματα Λειτουργῶν ἐν τῇ Ἐκκλησίᾳ καταστήσας, ἵλεως ἐπίβλεψον ἐπὶ τοὺς δούλους σου τούτους εἰς τὸ Πρεσβυτέριον νυνὶ καλουμένους· καὶ ἔμπλησον αὐτοὺς οὕτω τῆς ἀληθείας τῆς σῆς διδασκαλίας, καὶ ἀμέμπτῳ αὐτοὺς τῇ πολιτείᾳ κατακόσμησον, ὥστε λόγῳ τε καὶ ὑποδείγματι ἐν τούτῳ τῷ Ἀξιώματι πιστῶς Σοὶ δουλεύειν αὐτούς, εἰς δόξαν τοῦ σοῦ Ὀνόματος, καὶ τὴν οἰκοδομὴν τῆς σῆς Ἐκκλησίας, διὰ τὴν ἀξιομισθίαν τοῦ Σωτῆρος ἡμῶν Ἰησοῦ Χριστοῦ, τοῦ σὺν Σοὶ καὶ τῷ ἁγίῳ Πνεύματι συζῶντος καὶ συμβασιλεύοντος, εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

Ἀπόστολος.

ἘΝὶ ἑκάστῳ ἡμῶν ἐδόθη ἡ χάρις, κατὰ τὸ μέτρον τῆς Ἐφεσ.
δωρεᾶς τοῦ Χριστοῦ. Διὸ λέγει, Ἀναβὰς εἰς ὕψος Δ΄ 7.

ᾐχμαλώτευσεν αἰχμαλωσίαν, καὶ ἔδωκε δόματα τοῖς ἀνθρώποις. (Τὸ δέ, ἀνέβη, τί ἐστιν εἰ μὴ ὅτι καὶ κατέβη πρῶτον εἰς τὰ κατώτερα μέρη τῆς γῆς; Ὁ καταβάς, αὐτός ἐστι καὶ ὁ ἀναβὰς ὑπεράνω πάντων τῶν οὐρανῶν, ἵνα πληρώσῃ τὰ πάντα.) Καὶ αὐτὸς ἔδωκε τοὺς μὲν Ἀποστόλους, τοὺς δὲ Προφήτας, τοὺς δὲ Εὐαγγελιστάς, τοὺς δὲ Ποιμένας καὶ Διδασκάλους, πρὸς τὸν καταρτισμὸν τῶν ἁγίων, εἰς ἔργον διακονίας, εἰς οἰκοδομὴν τοῦ σώματος τοῦ Χριστοῦ· μέχρι καταντήσωμεν οἱ πάντες εἰς τὴν ἑνότητα τῆς πίστεως, καὶ τῆς ἐπιγνώσεως τοῦ Υἱοῦ τοῦ Θεοῦ, εἰς ἄνδρα τέλειον, εἰς μέτρον ἡλικίας τοῦ πληρώματος τοῦ Χριστοῦ.

¶ *Μετὰ τοῦτο ἀναγινώσκεται ὡς πρὸς Εὐαγγέλιον μέρος τι τοῦ Ἐνάτου Κεφαλαίου τοῦ κατὰ Ματθαῖον, ὡς ἐφεξῆς.*

Ματθ. Θ′ 36. Ἰδὼν ὁ Ἰησοῦς τοὺς ὄχλους ἐσπλαγχνίσθη περὶ αὐτῶν, ὅτι ἦσαν ἐκλελυμένοι, καὶ ἐρριμμένοι, ὡς πρόβατα μὴ ἔχοντα ποιμένα. Τότε λέγει τοῖς μαθηταῖς αὐτοῦ, Ὁ μὲν θερισμὸς πολύς, οἱ δὲ ἐργάται ὀλίγοι. Δεήθητε οὖν τοῦ Κυρίου τοῦ θερισμοῦ, ὅπως ἐκβάλῃ ἐργάτας εἰς τὸν θερισμὸν αὐτοῦ.

¶ *Ἢ τοῦτο τὸ ἐφεξῆς ἐκ τοῦ Δεκάτου Κεφαλαίου τοῦ κατὰ Ἰωάννην.*

Ἰωάν. Ι′ 1. Ἀμὴν ἀμὴν λέγω ὑμῖν, Ὁ μὴ εἰσερχόμενος [κτλ. ἕως στ. 16].

¶ *Εἶτα ὁ Ἐπίσκοπος, καθήμενος εἰς τὸ Θρονίον αὐτοῦ, προσλαλεῖ αὐτοῖς ὡς ἐφεξῆς.*

Ἠκούσατε, ἀδελφοί, ὡς ἐν τῇ κατ᾽ ἰδίαν ἐξετάσει, καὶ ἐν τῇ πρὸ ὀλίγου πρὸς ὑμᾶς γενομένῃ παρακλήσει, καὶ ἐν τοῖς ἱεροῖς Ἀναγνώσμασι τοῖς ἐκ τοῦ Εὐαγγελίου, καὶ τῶν Ἀποστολικῶν ληφθεῖσι γραφῶν, ὁποίας ἐστὶ σημασίας, καὶ ὁπόσης σπουδαιότητος τὸ Ἔργον τοῦτο, εἰς ὃ καλεῖσθε. Καὶ νῦν πάλιν παρακαλοῦμεν ὑμᾶς ἐν τῷ Ὀνόματι τοῦ Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ, διὰ μνήμης

ἔχειν ὡς ὑψηλόν ἐστι τὸ ἀξίωμα, καὶ ὡς σπουδαῖον τὸ ἔργον καὶ μέλημα εἰς ὃ καλεῖσθε· Ἤτοι, τοῦ εἶναι ἀγγέλους, σκοπούς, καὶ οἰκονόμους τοῦ Κυρίου· τοῦ διδάσκειν καὶ νουθετεῖν καὶ τρέφειν τὴν τοῦ Κυρίου θεραπείαν, καὶ προνοεῖν αὐτῆς· τοῦ ἐκζητεῖν τὰ τοῦ Χριστοῦ διεσκορπισμένα πρόβατα, καὶ τὰ τέκνα αὐτοῦ τὰ ἐν μέσῳ τούτου τοῦ πονηροῦ κόσμου, ἵνα σωθῶσι διὰ Χριστοῦ εἰς τὸν αἰῶνα.

Ἔχετε τοίνυν διαπαντὸς εἰς τὴν μνήμην ὑμῶν ἐγκεχαραγμένον, ἡλίκος ὑμῖν ἐμπιστεύεται θησαυρός. Εἰσὶ γὰρ αὐτοὶ τοῦ Χριστοῦ τὰ πρόβατα, ἅτινα Αὐτὸς ἠγοράσατο διὰ τοῦ θανάτου αὐτοῦ, καὶ ὑπὲρ ὧν τὸ αἷμα αὐτοῦ ἐξέχεεν. Ἡ Ἐκκλησία καὶ τὸ Ἐκκλησίασμα ᾧ δεῖ ὑμᾶς ὑπηρετεῖν, Αὐτοῦ ἐστιν ἡ Νύμφη, καὶ τὸ Σῶμα. Ἐὰν δὲ συμβῇ ὅτι αὕτη ἡ Ἐκκλησία, ἢ Μέλος τι αὐτῆς βλάβην τινὰ ἢ πρόσκομμα ὑπέχει διὰ τὴν ὑμετέραν ἀμέλειαν, εὖ οἴδατε καὶ τὸ μέγεθος τοῦ πταίσματος, καὶ τὴν φοβερὰν τιμωρίαν τὴν μέλλουσαν ἀκολουθῆσαι. Διό, ἐνθυμεῖσθε μεθ' ἑαυτῶν τὸν σκοπὸν τῆς ὑπηρεσίας ὑμῶν πρὸς τὰ τέκνα τοῦ Θεοῦ, πρὸς τὴν νύμφην καὶ τὸ σῶμα τοῦ Χριστοῦ· καὶ προσέχετε ἵνα μηδέποτε ἀναστείλητε τὸν κάματον, τὴν ἐπιμέλειάν τε καὶ τὴν σπουδὴν ὑμῶν, ἄχρις ἂν πράξητε πᾶν τὸ ἐφ' ὑμῖν, κατὰ τὸ ἱερὸν ὑμῶν καθῆκον, τοῦ προαγαγεῖν πάντας τοὺς ὑμῖν ἐμπιστευομένους ἢ ἐμπιστευθησομένους, εἰς τοιαύτην ἐν τῇ πίστει καὶ ἐπιγνώσει τοῦ Θεοῦ συμφωνίαν, καὶ εἰς τοιαύτην ἐν Χριστῷ ὡριμότητα καὶ τελειότητα, ὥστε μηδένα τοῦ λοιποῦ ἐν ὑμῖν ὑπολειφθῆναι τόπον, μήτε τῇ πλάνῃ κατὰ τὴν Θρησκείαν, μήτε τῇ φαυλότητι κατὰ τὸν Βίον.

Ἐπειδὴ λοιπὸν τοσαύτης ἐστὶ καταξιότητος, καὶ τοσαύτης δυσκολίας τὸ Ἀξίωμα ὑμῶν, ἐννοεῖτε μεθ' ὁπόσης ὀφείλετε ἐπιμελείας καὶ σπουδῆς φιλοτιμεῖσθαι, ἵνα ὑπήκοοι

καὶ εὐγνώμονες γένησθε πρὸς τὸν Κύριον τὸν καταστήσαντα ὑμᾶς εἰς τοσοῦτο ἀξίωμα· προσέτι δὲ ὅπως ὀφείλετε προσέχειν ἵνα μήθ' ὑμεῖς πταίσητε, μήτε τοῖς ἄλλοις γένησθε ἀφορμὴ τοῦ πταῖσαι. 'Αλλ' οὐκ ἐξ ἑαυτῶν τὴν πρὸς τοῦτο γνώμην καὶ θέλησιν κτᾶσθαι δύνασθε· αὕτη γὰρ ἡ θέλησις καὶ δύναμις παρὰ μόνου τοῦ Θεοῦ παρέχεται· Διὸ ὀφείλετε, καὶ χρείαν ἔχετε τοῦ ἐξαιτήσασθαι σπουδαίως τὸ ἅγιον αὐτοῦ Πνεῦμα. Καὶ ἐπειδὴ οὐκ ἄλλως δύνασθε καταντῆσαι εἰς τὸ τοσοῦτον ἀποτελέσαι ἔργον, τὸ ἐχόμενον τῆς τῶν ἀνθρώπων σωτηρίας, εἰ μὴ διὰ διδασκαλίας καὶ παραινέσεως τῆς ληφθείσης ἐκ τῶν θείων Γραφῶν, καὶ διὰ πολιτείας ταύτῃ συνᾳδούσης· ἐνθυμεῖσθε ὅπως ὀφείλετε ἐπιμελεῖς γενέσθαι εἰς τὸ ἀναγινώσκειν καὶ ἐκμανθάνειν τὰς θείας Γραφάς, καὶ εἰς τὸ μορφῶσαι τὴν διαγωγὴν ἑαυτῶν τε καὶ τῶν ἰδιαιτέρως ὑμῖν ἀνηκόντων, κατὰ τὸν κανόνα τῶν αὐτῶν Γραφῶν· Καὶ διὰ ταύτην τὴν αὐτὴν αἰτίαν, ὅπως ὀφείλετε ἀποφεύγειν καὶ ἀποτιθέναι (ὅση δύναμις) πᾶσαν μέριμναν καὶ σπουδὴν βιωτικήν.

Πεποίθαμεν δὲ ὅτι ταῦτα ἤδη πρὸ πολλοῦ ἀνεμετρήσασθε καὶ ἀνελογίσασθε ἐν ἑαυτοῖς, καὶ ὅτι σαφῶς ἐκρίνατε ἑαυτοῖς, διὰ τῆς θείας χάριτος, ὅτι ὅλως ἐπιδώσεσθε ἑαυτοὺς τούτῳ τῷ 'Αξιώματι, εἰς ὃ καλέσαι ὑμᾶς ηὐδόκησεν ὁ Θεός· Ὥστε, τό γ' ἐφ' ὑμῖν, τούτῳ μόνῳ ἀφοσιωθῆναι, καὶ πᾶσαν μέριμναν καὶ σπουδὴν ὑμῶν εἰς τοῦτο συνεισενεγκεῖν· καὶ ἀδιαλείπτως ἐξαιτεῖσθαι παρὰ τοῦ Θεοῦ καὶ Πατρός, διὰ τῆς Μεσιτείας τοῦ μόνου Σωτῆρος ἡμῶν 'Ιησοῦ Χριστοῦ, τὴν οὐρανόθεν ἐπικουρίαν τοῦ ἁγίου Πνεύματος, ἵνα διὰ τῆς καθημερινῆς ἀναγνώσεως καὶ μελέτης τῶν θείων Γραφῶν, τελειότεροι καὶ δυνατώτεροι γίνησθε ἐν τῇ ὑπηρεσίᾳ ὑμῶν, καὶ ἵνα οὕτω σπουδάζητε, προϊόντος τοῦ χρόνου, τοῦ ἁγιάζειν τὴν ὑμῶν τε καὶ τῶν ὑμετέρων πολιτείαν, καὶ τοῦ

σχηματίζειν ταύτην κατὰ τὸν κανόνα καὶ τὴν διδασκαλίαν τοῦ Χριστοῦ, ὥστε γενέσθαι ὑγιαίνοντας καὶ θεαρέστους τύπους εἰς ἐπακολούθησιν τῷ λαῷ.

Νυνὶ δέ, ἵνα καὶ τοῦτο τὸ Ἐκκλησίασμα τοῦ Χριστοῦ τὸ ἐνταῦθα συνηθροισμένον ἐννοήσῃ ὑμῶν τὴν γνώμην καὶ θέλησιν περὶ τούτων, καὶ ἵνα αὕτη ἡ ἐπαγγελία ὑμῶν μᾶλλον κινήσῃ ὑμᾶς εἰς τὸ ποιῆσαι τὸ καθῆκον ὑμῶν, δεῖ ὑμᾶς εὐκρινῶς ἀπαντῆσαι πρὸς ταῦτα τὰ ἐρωτήματα, ἅτινα ἡμεῖς, εἰς τὸ Ὄνομα τοῦ Θεοῦ, καὶ τῆς Ἐκκλησίας αὐτοῦ, περὶ τούτων μέλλομεν ἐρωτῆσαι ὑμᾶς.

ΝΟμίζετε, ἐν τῇ καρδίᾳ ὑμῶν ὅτι ἀληθινῶς καλεῖσθε εἰς τὸ Τάγμα καὶ τὴν Λειτουργίαν τῆς Ἱερωσύνης, κατὰ τὸ θέλημα τοῦ Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ, καὶ τὴν Τάξιν ταύτης τῆς Ἐκκλησίας τῆς Ἀγγλίας;

Ἀπόκρισις.

Νομίζω.

Ὁ Ἐπίσκοπος.

ΠΕπεισμένοι ἐστὲ ὅτι αἱ θεῖαι Γραφαὶ περιέχουσιν ἱκανῶς πᾶσαν τὴν Διδασκαλίαν τὴν ἀναγκαίως ἀπαιτουμένην εἰς τὴν αἰώνιον σωτηρίαν διὰ πίστεως τῆς εἰς τὸν Ἰησοῦν Χριστόν; Καὶ ἐκρίνατε ἑαυτοῖς ἐκ τῶν προειρημένων Γραφῶν διδάξαι τὸν ὑμῖν ἐμπιστευόμενον λαόν, καὶ μηδὲν διδάξαι (ὡς ἀναγκαίως ἀπαιτούμενον εἰς αἰώνιον σωτηρίαν) ἐκτὸς ὅτου πεπεισμένοι ἔσεσθε συμπερανθῆναι δύνασθαι καὶ ἀποδειχθῆναι διὰ τῆς θείας Γραφῆς;

Ἀπόκρισις.

Οὕτω πέπεισμαι, καὶ οὕτως ἔκρινα ἐμαυτῷ διὰ τῆς τοῦ Θεοῦ χάριτος.

Ὁ Ἐπίσκοπος.

ΘΕλετε λοιπὸν πιστῶς σπουδάζειν πάντοτε διακονεῖν τὴν Διδασκαλίαν, τά τε Μυστήρια καὶ τὴν Παιδείαν τοῦ

Χριστοῦ, οὕτως ὡς παρήγγειλεν ὁ Κύριος, καὶ ὡς αὕτη ἡ Ἐκκλησία καὶ τοῦτο τὸ Βασίλειον ταῦτα παρείληφε, κατὰ τὰς ἐντολὰς τοῦ Θεοῦ· ὥστε διδάσκειν τὸν λαὸν τὸν τῇ ὑμῶν Ἐπιμελείᾳ καὶ Φροντίδι ἐμπιστευόμενον, μετὰ πάσης σπουδῆς ταῦτα φυλάσσειν καὶ τηρεῖν;

Ἀπόκρισις.

Οὕτω θέλω ποιῆσαι τῇ βοηθείᾳ τοῦ Κυρίου.

Ὁ Ἐπίσκοπος.

ΘΕλετε ἑτοίμως ἔχειν μετὰ πάσης πιστῆς σπουδῆς ἀφορίσαι καὶ ἀπελάσαι πᾶσαν πλάνην καὶ ξένην διδασκαλίαν, ἐναντιουμένην τῷ λόγῳ τοῦ Θεοῦ· καὶ χρῆσθαι δημοσίαις τε καὶ ἰδιωτικαῖς νουθεσίαις καὶ παραινέσεσιν, ὡς πρὸς τοὺς ἀσθενοῦντας, καὶ πρὸς τοὺς ὑγιαίνοντας, τοὺς ἐν ταῖς Ἐνορίαις ὑμῶν, ὡς ἀπαιτήσει ἡ χρεία καὶ προκείσεται ἡ ἀφορμή;

Ἀπόκρισις.

Θέλω, βοηθοῦντός μοι τοῦ Κυρίου.

Ὁ Ἐπίσκοπος.

ΘΕλετε ἐνδελεχεῖς γενέσθαι ἐν Προσευχαῖς, καὶ ἐν τῇ ἀναγνώσει τῶν θείων Γραφῶν, καὶ ἐν ταῖς μελέταις ταῖς βοηθούσαις εἰς τὴν γνῶσιν τούτων, ἀποθέμενοι τὴν μελέτην τοῦ κόσμου καὶ τῆς σαρκός;

Ἀπόκρισις.

Σπουδάσω τοῦτο ποιῆσαι, βοηθοῦντός μοι τοῦ Κυρίου.

Ὁ Ἐπίσκοπος.

ΘΕλετε σπουδαῖοι γενέσθαι τοῦ μορφοῦν καὶ σχηματίζειν ὑμᾶς τε αὐτοὺς καὶ τοὺς οἰκείους, κατὰ τὴν Διδασκαλίαν τοῦ Χριστοῦ, καὶ τοῦ ποιῆσαι ὑμᾶς τε καὶ αὐτούς, ὅσον τὸ ἐφ' ὑμῖν, ὑγιαίνοντα ὑποδείγματα καὶ τύπους τῇ ποίμνῃ τοῦ Χριστοῦ;

'Απόκρισις.

Θέλω τούτῳ προσέχειν, βοηθοῦντός μοι τοῦ Κυρίου.

Ὁ 'Επίσκοπος.

ΘΕλετε διατηρεῖν καὶ προάγειν, ὅσον τὸ ἐφ' ὑμῖν, τὴν ἠρεμίαν, τὴν εἰρήνην τε καὶ τὴν ἀγάπην ἐν πᾶσι τοῖς Χριστιανοῖς, καὶ πρὸ πάντων ἐν τοῖς ὑμῖν ἐμπιστευομένοις ἢ ἐμπιστευθησομένοις ;

'Απόκρισις.

Οὕτω θέλω ποιῆσαι, βοηθοῦντός μοι τοῦ Κυρίου.

Ὁ 'Επίσκοπος.

ΘΕλετε εὐσεβῶς πειθαρχεῖν τῷ 'Ορδιναρίῳ ὑμῶν, καὶ ἄλλοις ἐξόχοις 'Υπηρέταις, οἷς ἐμπιστεύεται ἡ ὑπὲρ ὑμᾶς ἐπιτροπὴ καὶ κυβέρνησις· μετ' ἀσμένης διανοίας καὶ θελήσεως τοῖς εὐσεβέσιν αὐτῶν ἐπακολουθοῦντες νουθετήμασι, καὶ ὑποτασσόμενοι ταῖς εὐσεβέσιν αὐτῶν γνώμαις.

'Απόκρισις.

Οὕτω ποιήσω, βοηθοῦντός μοι τοῦ Κυρίου.

¶ Εἶτα ἀνιστάμενος λέγει ὁ 'Επίσκοπος,

ὉΟ Θεὸς ὁ Παντοκράτωρ, ὁ δωρησάμενος ὑμῖν ταύτην τὴν θέλησιν τοῦ ποιῆσαι πάντα ταῦτα· Αὐτὸς καὶ παράσχοι ὑμῖν τὴν ἰσχὺν καὶ τὴν δύναμιν τοῦ διεξάγειν αὐτά· ἵνα ἐπιτελέσῃ τὸ ἔργον ὃ ἐνήρξατο ἐν ὑμῖν, διὰ 'Ιησοῦ Χριστοῦ τοῦ Κυρίου ἡμῶν. 'Αμήν.

¶ Μετὰ τοῦτο παρακαλεῖται τὸ 'Εκκλησίασμα, κατ' ἰδίαν ἐν ταῖς Προσευχαῖς αὐτῶν τὰς ταπεινὰς τῷ Θεῷ προσενέγκαι ἱκεσίας αὐτῶν ὑπὲρ πάντων τούτων· Καὶ διὰ ταύτας τὰς Προσευχὰς χρόνον τινὰ γίνεται σιγή.

¶ Μεθ' ὃ ψάλλεται ἢ ἀναγινώσκεται ὑπὸ τοῦ 'Επισκόπου (γονυπετούντων πάντων τῶν χειροτονουμένων Πρεσβυτέρων) τὸ *Veni, Creator Spiritus*· ἀρξαμένου τοῦ 'Επισκόπου, καὶ τῶν 'Ιερέων καὶ τῶν ἄλλων περιεστώτων κατὰ στίχον ὑπακουόντων, ὡς ἐφεξῆς.

ΣΥ, Πνεῦμα κτίζον, πάρεσο,
Φρένας τῶν σῶν ἐπίσκεψαι·

ΧΕΙΡΟΤΟΝΙΑ ΠΡΕΣΒΥΤΕΡΩΝ

Ἄνωθεν πλῆσον χάριτος,
Ἃς Σὺ καρδίας ἔκτισας.
Ἄλλος καλῇ Παράκλητος,
Ὑψίστου Δωρεὰ Θεοῦ,
Ἀγάπη, Πῦρ, Πηγὴ ζωῆς,
Καὶ Χρίσμα Σὺ πνευματικόν·
Ἑπτάμορφος Σὺ δωρεάν,
Δεξιᾶς Σὺ θείας Δάκτυλος·
Ἐπαγγελίᾳ Πατρικῇ,
Πλουτίζεις λόγῳ στόματα.
Ἄναψον φῶς νοήμασι,
Σπλάγχνοις ἀγάπην ἔγχεον·
Τὸ ἀσθενὲς τοῦ σώματος
Δυνάμει ῥῶσον συνεχῶς.
Ἐχθρὸν μακρὰν ἀπέλασον,
Καὶ δὸς εἰρήνην μόνιμον·
Σοῦ προϊόντος ὁδηγοῦ
Ἐκφύγωμεν πᾶν βλαβερόν.
Χαρᾶς βραβεῖον δὸς ἡμῖν,
Δὸς χαρισμάτων δόματα·
Ἁλύσεις ῥῆξον ἔριδος,
Εἰρήνης σφίγξον σύνδεσμον.
Πατέρα γνῶμεν διὰ Σοῦ,
Υἱόν τε γνῶμεν τοῦ Πατρός·
Εἰς ἀμφοτέρων Πνεῦμα Σὲ
Διηνεκῶς πιστεύωμεν.
Πατέρ' αἰνοῦμεν καὶ Υἱόν,
Καὶ ἅγιον Παράκλητον·
Υἱὸς δὲ πέμψαι ἐφ' ἡμᾶς
Χάρισμ' ἁγίου Πνεύματος. Ἀμήν.

ΧΕΙΡΟΤΟΝΙΑ ΠΡΕΣΒΥΤΕΡΩΝ

¶ *Τούτου γενομένου, ἐπεύχεται ὁ* Ἐπίσκοπος *κατὰ τοῦτον τὸν τρόπον, λέγων,*

Δεηθῶμεν.

Ὁ Θεὸς ὁ παντοκράτωρ καὶ ὁ Πατὴρ ὁ ἐπουράνιος, ὁ διὰ τὴν πρὸς ἡμᾶς ἀμέτρητόν σου ἀγάπην καὶ ἀγαθωσύνην τὸν μονογενῆ καὶ ὑπεραγαπητόν σου Υἱὸν Ἰησοῦν Χριστὸν δεδωκώς, Λυτρωτὴν ἡμῖν γενέσθαι, καὶ Ἀρχηγὸν ζωῆς αἰωνίου· ὃς τὴν ἡμετέραν Ἀπολύτρωσιν διὰ τοῦ θανάτου αὐτοῦ τελειώσας, καὶ ἀναβὰς εἰς τοὺς οὐρανούς, ἐξαπέστειλεν εἰς ἅπαντα τὸν κόσμον τοὺς Ἀποστόλους, Προφήτας, Εὐαγγελιστάς, Διδασκάλους τε καὶ Ποιμένας αὐτοῦ, ὧν διὰ τοῦ καμάτου καὶ τῆς ὑπηρεσίας μεγάλην πανταχοῦ τοῦ κόσμου συνήγαγεν ποίμνην, τοῦ ἐξαγγέλλειν τὰς αἰωνίους ἀρετὰς τοῦ ἁγίου σου Ὀνόματος· Ὑπὲρ τούτων τῶν τηλικούτων τῆς αἰωνίου σου ἀγαθωσύνης εὐεργετημάτων, καὶ ἀνθ' ὧν ηὐδόκησας τούτους καλέσαι τοὺς παρεστῶτάς σου δούλους εἰς τὸ αὐτὸ Ἀξίωμα καὶ τὴν αὐτὴν Ὑπηρεσίαν τὴν ὡρισμένην εἰς τὴν σωτηρίαν τοῦ γένους τῶν ἀνθρώπων, ἐξ ὅλης καρδίας Σοὶ εὐχαριστοῦμεν, Σὲ ἐπαινοῦμεν καὶ προσκυνοῦμεν· καὶ ταπεινῶς σου δεόμεθα διὰ τοῦ αὐτοῦ τοῦ εὐλογητοῦ σου Υἱοῦ, χαρίσασθαι πᾶσιν ἡμῖν, τοῖς ἐνθάδε ἢ καὶ ἀλλαχοῦ ἐπικαλουμένοις τὸ ἅγιόν σου Ὄνομα, ἵνα διατελῶμεν ἑαυτοὺς παρεχόμενοι πρὸς Σὲ εὐγνώμονας ὑπὲρ τούτων καὶ τῶν λοιπῶν σου εὐεργεσιῶν, καὶ ἵνα ὁσημέραι αὐξάνωμεν καὶ προβαίνωμεν ἐν τῇ Σοῦ καὶ τοῦ Υἱοῦ σου πίστει καὶ ἐπιγνώσει, διὰ τοῦ Πνεύματος τοῦ ἁγίου. Ὥστ' ἐπίσης διὰ τούτων τῶν σῶν Ὑπηρετῶν, καὶ δι' ἐκείνων ἐφ' οὓς οὗτοι κατασταθήσονταί σου Ὑπηρέται, δοξάζηται διαπαντὸς τὸ ἅγιόν σου Ὄνομα, καὶ ἐπεκτείνηται ἡ εὐλογημένη σου Βασιλεία, διὰ τοῦ αὐτοῦ τοῦ Υἱοῦ σου, Κυρίου δὲ

ἡμῶν Ἰησοῦ Χριστοῦ, τοῦ σὺν Σοὶ συζῶντος καὶ συμβασιλεύοντος, ἐν τῇ ἑνότητι τοῦ αὐτοῦ ἁγίου Πνεύματος, εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

¶ Ταύτης τῆς Εὐχῆς γενομένης, ὁ Ἐπίσκοπος, μετὰ τῶν περιεστώτων Ἱερέων, ἐπιτίθησι τὰς χεῖρας ἐπὶ τὴν κεφαλὴν ἑνὸς ἑκάστου τῶν δεχομένων τὸ Πρεσβυτέριον· γονυπετούντων τῶν χειροτονουμένων, καὶ λέγοντος τοῦ Ἐπισκόπου,

ΛΑβε Πνεῦμα ἅγιον εἰς τὸ Ἀξίωμα καὶ ἔργον Πρεσβυτέρου ἐν τῇ Ἐκκλησίᾳ τοῦ Θεοῦ, τὸ νῦν σοι παραδιδόμενον διὰ τῆς Ἐπιθέσεως τῶν ἡμετέρων χειρῶν. Ἄν τινων ἀφῇς τὰς ἁμαρτίας, ἀφίενται αὐτοῖς· καὶ ἄν τινων κρατῇς, κεκράτηνται. Καὶ ἴσθι σὺ πιστὸς Οἰκονόμος τοῦ Λόγου τοῦ Θεοῦ, καὶ τῶν ἱερῶν αὐτοῦ Μυστηρίων· Εἰς τὸ Ὄνομα τοῦ Πατρός, καὶ τοῦ Υἱοῦ, καὶ τοῦ ἁγίου Πνεύματος. Ἀμήν.

¶ Εἶτα ὁ Ἐπίσκοπος παραδίδωσι ἑνὶ ἑκάστῳ αὐτῶν, γονυπετοῦντι, τὰ Βιβλία εἰς τὴν χεῖρα, λέγων,

ΛΑβε τὴν ἐξουσίαν τοῦ κηρύττειν τὸν Λόγον τοῦ Θεοῦ, καὶ τοῦ ἐπιτελεῖν τὰ ἱερὰ Μυστήρια ἐν τῷ Ἐκκλησιάσματι ὅπου ἂν εἰς τοῦτο νομίμως ταχθῇς.

¶ Τούτου γενομένου, ψάλλεται ἢ ἀναγινώσκεται τὸ Σύμβολον τῶν ΡΝ΄, καὶ μετὰ τοῦτο προβαίνει ὁ Ἐπίσκοπος ἐν τῇ Τάξει τῆς θείας Κοινωνίας, καὶ πάντες οἱ χειροτονηθέντες συμμεταλαμβάνουσι, παραμείναντες ἐν ᾧ τόπῳ αἱ χεῖρες ἐπ' αὐτοὺς ἐπετέθησαν, ἄχρις ἂν μεταλάβωσι τῆς Κοινωνίας.

¶ Συντελεσθείσης τῆς Κοινωνίας, μετὰ τὴν ἐσχάτην Εὐχήν, καὶ ἀμέσως πρὸ τῆς Εὐλογίας, ἀναγινώσκονται αὗται αἱ Εὐχαί.

ΠΟλυέλεε Πάτερ, κατάπεμψον, δεόμεθά σου, ἐπὶ τούτους τοὺς δούλους σου, τὴν οὐρανόθεν σου εὐλογίαν, ἵνα ἐνδύσωνται τὴν δικαιοσύνην, καὶ ἵνα ὁ λόγος σου ὁ λαλούμενος διὰ τοῦ στόματος αὐτῶν οὕτως εὐοδωθῇ, ὥστε μήποτε μάτην λαλεῖσθαι. Παράσχου δὲ ἵνα καὶ ἡμεῖς τῆς χάριτος ἐπιτύχωμεν τοῦ ἀκοῦσαι καὶ προσλαβέσθαι

ὅσα αὐτοὶ παραδώσουσι ἐκ τοῦ παναγίου σου λόγου, ἢ τούτῳ συνᾴδοντα, ὡς μέσα σωτηρίας ἡμῶν· ὥστε ἐν παντὶ λόγῳ τε καὶ ἔργῳ ζητῆσαι ἡμᾶς τὴν σὴν δόξαν, καὶ τὴν αὔξησιν τῆς Βασιλείας *σου, διὰ* Ἰησοῦ Χριστοῦ *τοῦ* Κυρίου *ἡμῶν.* Ἀμήν.

ΤΑς *πράξεις ἡμῶν,* Κύριε [*ὅρα σελ.* 271].

Ἡ Εἰρήνη *τοῦ* Θεοῦ [*ὅρα σελ.* 270].

¶ *Ἐὰν δὲ τὴν αὐτὴν ἡμέραν τισὶ μὲν παραδίδοται ἡ* Διακονία, *τισὶ δὲ τὸ* Πρεσβυτέριον· Πρῶτον *μὲν παρουσιάζονται οἱ* Διάκονοι, *εἶτα δὲ οἱ* Πρεσβύτεροι· Καὶ *ἐξαρκεῖ τὴν* Λιτανείαν *ἅπαξ ἀναγινώσκεσθαι ὑπὲρ τῶν ἀμφοτέρων.* Ἀναγινώσκονται *ἀμφότεραι αἱ* Εὐχαί· *πρῶτον μὲν ἡ ὑπὲρ* Διακόνων, *εἶτα δὲ ἡ ὑπὲρ* Πρεσβυτέρων. Ὁ Ἀπόστολός *ἐστι τὸ τῆς πρὸς* Ἐφεσίους Ἐπιστολῆς Κεφ. Δ'. 7 *ἕως τοῦ* 13, *ὡς ἀνωτέρω ἐν ταύτῃ τῇ* Ἀκολουθίᾳ. Καὶ *εὐθὺς μετὰ τοῦτο, οἱ γινόμενοι* Διάκονοι *ἐξετάζονται καὶ χειροτονοῦνται, ὡς ἀνωτέρω προδιατέτακται.* Εἶτα *ἑνὸς τούτων ἀναγνόντος τὸ* Εὐαγγέλιον (*εἴτε τὸ ἐκ τοῦ κατὰ* Ματθαῖον Θ' 36 *ἕως τοῦ* 38, *ὡς ἀνωτέρω ἐν ταύτῃ τῇ* Ἀκολουθίᾳ· *εἴτε τὸ ἐκ τοῦ κατὰ* Λουκᾶν ΙΒ' 35 *ἕως τοῦ* 39, *ὡς ἀνωτέρω ἐν τῷ ἐπὶ* Χειροτονίᾳ Διακόνων Τύπῳ) *οἱ γινόμενοι* Πρεσβύτεροι *ὡσαύτως ἐξετάζονται καὶ χειροτονοῦνται, ὡς ἀνωτέρω διατέτακται ἐν ταύτῃ τῇ* Ἀκολουθίᾳ.

ΤΑΞΙΣ

ΕΠΙ ΧΕΙΡΟΤΟΝΙΑι Η ΚΑΘΙΕΡΩΣΕΙ

ΑΡΧΙΕΠΙΣΚΟΠΟΥ Η ΕΠΙΣΚΟΠΟΥ

ΚΥΡΙΑΚΗΝ Η ΕΟΡΤΑΣΙΜΟΝ ΗΜΕΡΑΝ ΓΙΝΟΜΕΝΗ

¶ *Πάντων πρεπόντως ἡτοιμασμένων ἐν τῇ Ἐκκλησίᾳ, καὶ διευθετημένων· μετὰ τὸ τέλος τῆς* Πρωινῆς Ἀκολουθίας, *ὁ* Ἀρχιεπίσκοπος *(ἢ ἄλλος τις ὡρισμένος* Ἐπίσκοπος*) ἄρχεται τῆς ἐπὶ τῇ θείᾳ* Κοινωνίᾳ Τάξεως· *ἐν ᾗ αὕτη ἐστιν*

Ἡ Εὐχή.

ὉΘεὸς ὁ Παντοκράτωρ, ὁ διὰ τοῦ Υἱοῦ σου Ἰησοῦ Χριστοῦ τοῖς ἁγίοις σου Ἀποστόλοις πολλὰ καὶ ἔξοχα δωρησάμενος χαρίσματα, καὶ ἐντειλάμενος αὐτοῖς τὴν ποίμνην σου ποιμαίνειν· Δὸς χάριν, δεόμεθά σου, πᾶσιν Ἐπίσκοποις καὶ τῆς σῆς Ἐκκλησίας Ποιμέσιν, ἵνα τὸν λόγον σου ἐνδελεχῶς κηρύσσωσι, καὶ τὴν δι' αὐτοῦ θείαν Παιδείαν πρεπόντως οἰκονομῶσι· καὶ τῷ λαῷ σου παράσχου ὑπηκόως ταῦτα φυλάσσειν, ἵνα πάντες κομισώμεθα τὸν ἀμαράντινον τῆς δόξης στέφανον, διὰ Ἰησοῦ Χριστοῦ τοῦ Κυρίου ἡμῶν. Ἀμήν.

¶ Καὶ ἄλλος Ἐπίσκοπος ἀναγινώσκει

Τὸν Ἀπόστολον.

Α' Τιμ. Γ' 1. ΠΙστὸς ὁ λόγος, Εἴ τις Ἐπισκοπῆς ὀρέγεται, καλοῦ ἔργου ἐπιθυμεῖ. Δεῖ οὖν τὸν Ἐπίσκοπον ἀνεπίληπτον εἶναι, μιᾶς γυναικὸς ἄνδρα, νηφάλιον, σώφρονα, κόσμιον, φιλόξενον, διδακτικόν, μὴ πάροινον, μὴ πλήκτην, μὴ αἰσχροκερδῆ· ἀλλ' ἐπιεικῆ, ἄμαχον, ἀφιλάργυρον· τοῦ ἰδίου οἴκου καλῶς προϊστάμενον, τέκνα ἔχοντα ἐν ὑποταγῇ μετὰ πάσης σεμνότητος. (Εἰ δέ τις τοῦ ἰδίου οἴκου προ-

στῆναι οὐκ οἶδε, πῶς Ἐκκλησίας Θεοῦ ἐπιμελήσεται;) Μὴ νεόφυτον, ἵνα μὴ τυφωθεὶς εἰς κρίμα ἐμπέσῃ τοῦ διαβόλου. Δεῖ δὲ αὐτὸν καὶ μαρτυρίαν καλὴν ἔχειν ἀπὸ τῶν ἔξωθεν, ἵνα μὴ εἰς ὀνειδισμὸν ἐμπέσῃ, καὶ παγίδα τοῦ διαβόλου.

¶ Ἢ τοῦτο, ἀντὶ τοῦ Ἀποστόλου.

ἈΠὸ τῆς Μιλήτου πέμψας εἰς Ἔφεσον [κτλ. ἕως στ. 35]. Πράξ. Κ′ 17.

¶ Εἶτα ἀναγινώσκει ἄλλος Ἐπίσκοπος
Τὸ Εὐαγγέλιον.

ΛΕγει τῷ Σίμωνι Πέτρῳ ὁ Ἰησοῦς, Σίμων Ἰωνᾶ, ἀγαπᾷς με πλεῖον τούτων; Λέγει αὐτῷ, Ναὶ Κύριε, σὺ οἶδας ὅτι φιλῶ σε. Λέγει αὐτῷ, Βόσκε τὰ ἀρνία μου. Λέγει αὐτῷ πάλιν δεύτερον, Σίμων Ἰωνᾶ, ἀγαπᾷς με; Λέγει αὐτῷ, Ναὶ Κύριε, σὺ οἶδας ὅτι φιλῶ σε. Λέγει αὐτῷ, Ποίμαινε τὰ πρόβατά μου. Λέγει αὐτῷ τὸ τρίτον, Σίμων Ἰωνᾶ, φιλεῖς με; Ἐλυπήθη ὁ Πέτρος ὅτι εἶπεν αὐτῷ τὸ τρίτον, Φιλεῖς με; Καὶ εἶπεν αὐτῷ, Κύριε, σὺ πάντα οἶδας· σὺ γινώσκεις ὅτι φιλῶ σε. Λέγει αὐτῷ ὁ Ἰησοῦς, Βόσκε τὰ πρόβατά μου. Ἰωάν. ΚΑ′ 15.

Ἢ τοῦτο.

ΟΥσης ὀψίας τῇ ἡμέρᾳ ἐκείνῃ τῇ μιᾷ τῶν σαββάτων [κτλ. ἕως στ. 23]. Ἰωάν. Κ′ 19.

Ἢ τοῦτο.

ΠΡοσελθὼν ὁ Ἰησοῦς ἐλάλησεν αὐτοῖς [κτλ. ἕως τοῦ τέλους]. Ματθ. ΚΗ′ 18.

¶ Καὶ μετὰ τὸ τέλος τοῦ Εὐαγγελίου, τοῦ τε Συμβόλου τῶν ΡΝ′, καὶ τῆς Ὁμιλίας, ὁ Ἐψηφισμένος (τὸ Στοιχάριον αὐτοῦ ἐνδεδυμένος) παρουσιάζεται παρὰ δύο Ἐπισκόπων τῷ Ἀρχιεπισκόπῳ τῆς Ἐπαρχίας (ἢ ἄλλῳ τινὶ Ἐπισκόπῳ νομίμως διωρισμένῳ), καθεζομένου τοῦ Ἀρχιεπισκόπου ἐν τῷ Θρονίῳ αὐτοῦ ἐγγὺς τῆς ἁγίας Τραπέζης, καὶ τῶν παρουσιαζόντων Ἐπισκόπων λεγόντων,

ΣΕβασμιώτατε Πάτερ ἐν Θεῷ, παρουσιάζομεν Ὑμῖν τοῦτον τὸν εὐσεβῆ καὶ εὖ πεπαιδευμένον ἄνθρωπον χειροτονεῖσθαι καὶ καθιεροῦσθαι Ἐπίσκοπον.

¶ Εἶτα ἀπαιτεῖ ὁ Ἀρχιεπίσκοπος τὸ ὑπὲρ τῆς Καθιερώσεως Βασιλικὸν Πρόσταγμα, καὶ προξενεῖ ἵνα ἀναγνωσθῇ αὐτό. Εἶτα ὁρκίζεται ὁ Ἐψηφισμένος τὸν τῆς πρὸς τὸν Ἀρχιεπίσκοπον πρεπούσης Πειθαρχίας Ὅρκον, ὡς ἐφεξῆς.

Ὅρκος τῆς πρὸς τὸν Ἀρχιεπίσκοπον πρεπούσης Πειθαρχίας.

ΕΙς τὸ Ὄνομα τοῦ Θεοῦ. Ἀμήν. Ἐγὼ ὁ δεῖνα Ἐπίσκοπος ἐψηφισμένος τῆς Ἐκκλησίας καὶ Ἐπισκοπῆς τῆς δεῖνα ἐπαγγέλλομαι καὶ ὑπισχνοῦμαι πᾶσαν τὴν πρέπουσαν αἰδῶ καὶ πειθαρχίαν πρὸς τὸν Ἀρχιεπίσκοπον, καὶ τὴν Μητροπολιτικὴν Ἐκκλησίαν τῆς δεῖνα καὶ πρὸς τοὺς Διαδόχους αὐτῶν· Εἰς τοῦτο βοηθῆσαι μοι ὁ Θεός, διὰ Ἰησοῦ Χριστοῦ.

¶ Οὐ γίνεται οὗτος ὁ Ὅρκος ἐπὶ Καθιερώσει Ἀρχιεπισκόπου.

¶ Εἶτα ὁ Ἀρχιεπίσκοπος παρακαλεῖ τὸ περιεστὸς Ἐκκλησίασμα προσεύχεσθαι, λέγων αὐτοῖς τοῦτο.

Ἀδελφοί, γέγραπται ἐν τῷ κατὰ Λουκᾶν ἁγίῳ Εὐαγγελίῳ, Ὅτι ὁ Σωτὴρ ἡμῶν Χριστὸς ἦν διανυκτερεύων ἐν τῇ προσευχῇ, πρὸ τοῦ ἐκλέξασθαι καὶ ἐξαποστεῖλαι τοὺς δώδεκα αὐτοῦ Ἀποστόλους. Γέγραπται δὲ καὶ ἐν Πράξεσιν Ἀποστόλων, Ὅτι οἱ ἐν τῇ Ἀντιοχείᾳ Μαθηταὶ ἐνήστευσαν καὶ προσηύξαντο πρὸ τοῦ ἐπιθεῖναι τὰς χεῖρας ἐπὶ Παῦλον καὶ Βαρνάβαν, καὶ τοῦ ἀπολῦσαι αὐτούς. Διὰ τοῦτο καὶ ἡμεῖς, κατὰ τὸ ὑπόδειγμα τοῦ Σωτῆρος ἡμῶν Χριστοῦ καὶ τῶν Ἀποστόλων αὐτοῦ, πρῶτον ἐπιστρεψώμεθα ἐπὶ προσευχήν, πρὸ τοῦ εἰσδέχεσθαι τοῦτον τὸν Ἡμῖν παρουσιασθέντα καὶ τοῦ ἀπολύειν αὐτὸν εἰς τὸ ἔργον εἰς ὃ πεποίθαμεν ὅτι κέκληκεν αὐτὸν τὸ Πνεῦμα τὸ ἅγιον.

¶ Εἶτα ἀναγινώσκεται ἡ Λιτανεία, ὡς ἀνωτέρω, ἐν τῷ ἐπὶ Χειροτονίᾳ Διακόνων Τύπῳ· Πλὴν ὅτι μετὰ τοῦτο τὸ Εὐδόκησον φωτίσαι πάντας τοὺς Ἐπισκόπους κτλ., παραλείπεται ἡ ἐκεῖ ἑπομένη ἰδιαιτέρα Αἴτησις, καὶ ἀντ᾽ αὐτῆς αὕτη παρεμβάλλεται·

ΕΥδόκησον εὐλογῆσαι τοῦτον τὸν Ἐψηφισμένον Ἀδελφὸν ἡμῶν, καὶ καταπέμψαι ἐπ᾽ αὐτὸν τὴν χάριν σου, ἵνα

πρεπόντως ἀσκήσῃ τὸ Ἀξίωμα εἰς ὃ κέκληται, εἰς τὴν οἰκοδομὴν τῆς σῆς Ἐκκλησίας, καὶ εἰς τὴν τιμήν, τόν τε αἶνον καὶ τὴν δόξαν τοῦ σοῦ Ὀνόματος.

Ἀπόκρισις.

Δεόμεθά σου ἐπάκουσον ἡμῶν, Κύριε.

¶ Εἶτα ἀναγινώσκεται αὕτη ἡ ἑπομένη Εὐχή.

Ὁ Θεὸς ὁ Παντοκράτωρ, ὁ πάντων τῶν ἀγαθῶν χορηγός, ὁ διὰ τοῦ ἁγίου σου Πνεύματος διάφορα Τάγματα Λειτουργῶν ἐν τῇ σῇ Ἐκκλησίᾳ καταστήσας, ἵλεως ἐπίβλεψον ἐπὶ τοῦτον τὸν δοῦλόν σου τὸν εἰς τὸ ἔργον καὶ τὴν λειτουργίαν Ἐπισκόπου νῦν καλούμενον, καὶ ἔμπλησον αὐτὸν οὕτω τῆς ἀληθείας τῆς σῆς διδασκαλίας, καὶ ἀμέμπτῳ αὐτὸν τῇ πολιτείᾳ κατακόσμησον, ὥστε λόγῳ τε καὶ ἔργῳ ἐν τούτῳ τῷ Ἀξιώματι πιστῶς Σοὶ δουλεύειν αὐτόν, εἰς τὴν δόξαν τοῦ σοῦ Ὀνόματος, καὶ εἰς τὴν οἰκοδομὴν καὶ εὐδιοικησίαν τῆς σῆς Ἐκκλησίας, διὰ τὴν ἀξιομισθίαν τοῦ Σωτῆρος ἡμῶν Ἰησοῦ Χριστοῦ, τοῦ σὺν Σοὶ καὶ τῷ ἁγίῳ Πνεύματι συζῶντος καὶ συμβασιλεύοντος, εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

¶ Εἶτα ὁ Ἀρχιεπίσκοπος, καθήμενος εἰς τὸ Θρονίον αὐτοῦ, λέγει τῷ Χειροτονουμένῳ,

Ἀδελφέ, ἐπειδὴ αἱ θεῖαι Γραφαί, καὶ οἱ ἀρχαῖοι Κανόνες ἐπιτάσσουσιν ἡμῖν ταχέως μηδὲ χεῖρας ἐπιτιθέναι τινὶ μηδὲ εἰσδέχεσθαί τινα πρὸς τὴν Κυβέρνησιν ἐν τῇ τοῦ Χριστοῦ Ἐκκλησίᾳ, ἥντινα οὐχ ἧττονος περιεποιήσατο τιμήματος ἢ τῆς τοῦ ἰδίου αἵματος ἐκχύσεως· πρὸ τοῦ εἰσδέχεσθαί σε εἰς ταύτην τὴν Διοίκησιν, μέλλω σε ἐξετάσαι περί τινων Κεφαλαίων, ἐπὶ σκοπῷ ἵνα τὸ περιεστὸς Ἐκκλησίασμα δοκιμάσῃ καὶ ἐπιμαρτυρήσῃ πῶς διανοῇ ἀναστρέφεσθαι ἐν τῇ Ἐκκλησίᾳ τοῦ Θεοῦ.

ΠΕπεισμένος εἶ ὅτι ἀληθινῶς καλεῖ εἰς ταύτην τὴν Διοίκησιν, κατὰ τὸ θέλημα τοῦ Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ, καὶ τὴν Τάξιν τούτου τοῦ Βασιλείου;

Ἀπόκρισις.

Πεπεισμένος εἰμί.

Ὁ Ἀρχιεπίσκοπος.

ΠΕπεισμένος εἶ ὅτι αἱ θεῖαι Γραφαὶ περιέχουσιν ἱκανῶς πᾶσαν τὴν Διδασκαλίαν τὴν ἀναγκαίως ἀπαιτουμένην εἰς τὴν αἰώνιον σωτηρίαν διὰ πίστεως τῆς εἰς τὸν Ἰησοῦν Χριστόν; Καὶ ἔκρινας σεαυτῷ ἐκ τῶν αὐτῶν θείων Γραφῶν διδάξαι τὸν ἐμπεπιστευμένον σοι λαόν, καὶ μηδὲν διδάξαι ἢ ἰσχυρίσασθαι ὡς ἀναγκαίως ἀπαιτούμενον εἰς τὴν αἰώνιον σωτηρίαν, ἐκτὸς ὅτου πεπεισμένος ἔσῃ συμπερανθῆναι δύνασθαι καὶ ἀποδειχθῆναι διὰ τῶν αὐτῶν Γραφῶν;

Ἀπόκρισις.

Οὕτω πέπεισμαι καὶ οὕτως ἔκρινα διὰ τῆς τοῦ Θεοῦ χάριτος.

Ὁ Ἀρχιεπίσκοπος.

ΘΕλεις οὖν πιστῶς μελετᾶν ἐν ταῖς αὐταῖς θείαις Γραφαῖς, καὶ ἐπικαλεῖσθαι τὸν Θεὸν διὰ προσευχῆς, ἵνα ἀληθινῶς αὐτὰς ἐννοήσῃς· ὥστε δύνασθαι δι' αὐτῶν διδάσκειν καὶ παρακαλεῖν ἐν τῇ διδασκαλίᾳ τῇ ὑγιαινούσῃ, καὶ τοῖς ἀντιλέγουσιν ἀντιστῆναι καὶ ἐλέγχειν αὐτούς;

Ἀπόκρισις.

Τοῦτο θέλω ποιῆσαι, τῇ τοῦ Θεοῦ βοηθείᾳ.

Ὁ Ἀρχιεπίσκοπος.

ἙΤοίμως ἔχεις μετὰ πάσης πιστῆς σπουδῆς ἀφορίσαι καὶ ἀπελάσαι πᾶσαν πλάνην καὶ ξένην Διδασκαλίαν, ἐναντιουμένην τῷ λόγῳ τοῦ Θεοῦ· καὶ ἰδίᾳ τε καὶ προφανῶς ἄλλους παρακαλεῖν καὶ θαρρύνειν εἰς τοῦτο;

'Απόκρισις.

Ἑτοίμως ἔχω, βοηθοῦντός μοι τοῦ Κυρίου.

Ὁ 'Αρχιεπίσκοπος.

ΘΕλεις ἀρνεῖσθαι πᾶσαν τὴν ἀσέβειαν καὶ τὰς κοσμικὰς ἐπιθυμίας, καὶ σωφρόνως καὶ δικαίως καὶ εὐσεβῶς ζῆσαι ἐν τῷ νῦν αἰῶνι, ἵνα περὶ πάντα σεαυτὸν παρέχῃ τύπον καλῶν ἔργων, ὥστε τὸν ἐξ ἐναντίας ἐντραπῆναι, μηδὲν ἔχοντα περί σου λέγειν φαῦλον;

'Απόκρισις.

Οὕτω θέλω ποιῆσαι, βοηθοῦντός μοι τοῦ Κυρίου.

Ὁ 'Αρχιεπίσκοπος.

ΘΕλεις διατηρεῖν καὶ προάγειν, ὅσον τὸ ἐπὶ σοί, τὴν ἠρεμίαν, τήν τε ἀγάπην, καὶ τὴν εἰρήνην ἐν πᾶσιν ἀνθρώποις· καὶ τοὺς ἐν τῇ σῇ 'Επισκοπῇ ἀνησύχους, ἀνυπηκόους, καὶ κακούργους σωφρονίζειν καὶ παιδεύειν, κατὰ τὴν ἐξουσίαν τήν τε σοὶ δοθεῖσαν διὰ τοῦ λόγου τοῦ Θεοῦ, καὶ τὴν ἐμπιστευθησομένην σοι διὰ τοῦ Θεσμοῦ τοῦ Βασιλείου τούτου;

'Απόκρισις.

Οὕτω θέλω ποιῆσαι, τῇ τοῦ Θεοῦ βοηθείᾳ.

Ὁ 'Αρχιεπίσκοπος.

ΘΕλεις πιστὸς γενέσθαι εἰς τὸ χειροτονεῖν καὶ ἀποστέλλειν ἄλλους, ἤτοι τὸ ἐπιτιθέναι χεῖρας ἐπ' αὐτούς;

'Απόκρισις.

Οὕτω θέλω γενέσθαι, τῇ τοῦ Θεοῦ βοηθείᾳ.

Ὁ 'Αρχιεπίσκοπος.

ΘΕλεις ἤπιον παρέχεσθαι σεαυτόν, καὶ ἐλεημόνως ἔχειν διὰ τὸν Χριστὸν πρὸς τοὺς πένητας καὶ ἐνδεεῖς, καὶ πρὸς πάντας τοὺς ἀβοηθήτους ξένους;

'Απόκρισις.

Οὕτω παρέξομαι ἐμαυτόν, τῇ τοῦ Θεοῦ βοηθείᾳ.

¶ Εἶτα ἀνιστάμενος λέγει ὁ 'Αρχιεπίσκοπος,

ὉΟ Θεὸς ὁ παντοκράτωρ, ὁ Πατὴρ ἡμῶν ὁ ἐπουράνιος, ὁ δωρησάμενός σοι πρόθεσιν ἀγαθὴν τοῦ ποιῆσαι πάντα ταῦτα, Αὐτὸς καὶ παράσχοι σοὶ τὴν ἰσχὺν καὶ τὴν δύναμιν τοῦ διεξαγαγεῖν αὐτά· ἵνα, ἐπιτελέσαντος Αὐτοῦ ἐν σοὶ τὸ ἀγαθὸν ἔργον ὃ ἐνήρξατο, σὺ τέλειος εὑρεθῇς καὶ ἀνεπίληπτος ἐν τῇ ἐσχάτῃ ἡμέρᾳ, διὰ 'Ιησοῦ Χριστοῦ τοῦ Κυρίου ἡμῶν. 'Αμήν.

¶ Εἶτα ὁ 'Εψηφισμένος ἐνδύεται τὴν λοιπὴν ἀρχιερατικὴν στολήν, καὶ ἐπ' αὐτὸν γονυπετοῦντα ψάλλεται ἢ ἀναγινώσκεται τὸ [*Veni, Creator Spiritus*], ἀρξαμένου τοῦ 'Αρχιεπισκόπου, καὶ τῶν 'Επισκόπων, μετ' ἄλλων περιεστώτων, κατὰ στίχον ἀποκριναμένων, ὡς ἐφεξῆς.

ΣΥ, Πνεῦμα κτίζον, πάρεσο,
Φρένας τῶν σῶν ἐπίσκεψαι.

[κτλ. Ὅρα ὄπισθεν εἰς σελ. 367].

¶ Τούτου γενομένου, λέγει ὁ 'Αρχιεπίσκοπος,

Εἰσάκουσον, Κύριε, τῆς προσευχῆς ἡμῶν.

'Απόκρισις.

Καὶ ἡ κραυγὴ ἡμῶν πρός σε ἐλθέτω.

Δεηθῶμεν.

ὉΟ Θεὸς ὁ παντοκράτωρ, καὶ ὁ Πατὴρ ὁ πολυεύσπλαγχνος, ὁ διὰ τὴν ἀμέτρητόν σου ἀγαθωσύνην τὸν μονογενῆ καὶ ἀγαπητόν σου Υἱὸν 'Ιησοῦν Χριστὸν δεδωκώς, Λυτρωτὴν ἡμῖν γενέσθαι, καὶ 'Αρχηγὸν ζωῆς αἰωνίου· ὃς τὴν ἡμετέραν ἀπολύτρωσιν διὰ τοῦ θανάτου αὐτοῦ τελειώσας, καὶ ἀναβὰς εἰς τοὺς οὐρανούς, κατέχεεν πλουσίως τὰ δόματα αὐτοῦ ἐπ' ἀνθρώπους, τοὺς μὲν 'Αποστόλους ἀναδείξας, τοὺς δὲ Προφήτας, τοὺς δὲ Εὐαγγελιστάς, τοὺς δὲ

Ποιμένας καὶ Διδασκάλους, εἰς οἰκοδομὴν καὶ τελείωσιν τῆς Ἐκκλησίας αὐτοῦ· Αὐτὸς καὶ νῦν παράσχου, δεόμεθά σου, τῷ δούλῳ σου τούτῳ τοιαύτην τὴν χάριν, ὥστε ἑτοίμως ἔχειν πάντοτε τοῦ διασπεῖραι τὸ σὸν Εὐαγγέλιον, τὴν χαροποιὸν εἴδησιν τῆς πρὸς Σὲ καταλλαγῆς, καὶ τοῦ χρῆσθαι τῇ δοθείσῃ αὐτῷ ἐξουσίᾳ, μὴ εἰς καθαίρεσιν, ἀλλ' εἰς οἰκοδομήν· μὴ εἰς βλάβην, ἀλλ' εἰς ἀντίληψιν· ὥστε ὡς φρόνιμον καὶ πιστὸν οἰκονόμον, τὸν διδόντα τῇ θεραπείᾳ σου ἐν καιρῷ τὸ σιτομέτριον, ἐν τέλει δεκτὸν γενέσθαι εἰς τὴν χαρὰν τὴν αἰώνιον, διὰ Ἰησοῦ Χριστοῦ τοῦ Κυρίου ἡμῶν, τοῦ σὺν Σοὶ καὶ τῷ ἁγίῳ Πνεύματι συζῶντος καὶ συμβασιλεύοντος ἑνὸς Θεοῦ, εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

¶ *Εἶτα ὁ Ἀρχιεπίσκοπος καὶ οἱ Ἐπίσκοποι ἐπιτιθέασι τὰς χεῖρας ἐπὶ τὴν κεφαλὴν τοῦ Ἐψηφισμένου Ἐπισκόπου, γονυπετοῦντος ἔμπροσθεν αὐτῶν, λέγοντος τοῦ Ἀρχιεπισκόπου,*

ΛΑβε Πνεῦμα ἅγιον, εἰς τὸ Ἀξίωμα καὶ ἔργον Ἐπισκόπου ἐν τῇ Ἐκκλησίᾳ τοῦ Θεοῦ, τὸ νῦν σοι παραδιδόμενον διὰ τῆς Ἐπιθέσεως τῶν ἡμετέρων χειρῶν· Εἰς τὸ Ὄνομα τοῦ Πατρός, καὶ τοῦ Υἱοῦ, καὶ τοῦ ἁγίου Πνεύματος. Ἀμήν. Καὶ μέμνησο ἀναζωπυρεῖν τὸ χάρισμα τοῦ Θεοῦ ὃ δέδοταί σοι διὰ ταύτης τῆς Ἐπιθέσεως τῶν ἡμετέρων χειρῶν· Οὐ γὰρ ἔδωκεν ἡμῖν ὁ Θεὸς πνεῦμα δειλίας, ἀλλὰ δυνάμεως, καὶ ἀγάπης, καὶ σωφρονισμοῦ.

¶ *Εἶτα παραδίδωσιν αὐτῷ ὁ Ἀρχιεπίσκοπος τὰ Βιβλία, λέγων,*

ΠΡόσεχε τῇ ἀναγνώσει, τῇ παρακλήσει, καὶ τῇ διδασκαλίᾳ. Μελέτα τὰ ἐν τούτῳ τῷ Βιβλίῳ περιεχόμενα. Ἐν τούτοις ἴσθι σπουδαῖος, ἵνα ἡ διὰ τούτων ἐπιγινομένη προκοπὴ φανερὰ ᾖ πᾶσιν. Ἔπεχε σεαυτῷ, καὶ τῇ διδασκαλίᾳ, καὶ ἐπίμενε αὐτοῖς·

τοῦτο γὰρ ποιῶν, καὶ σεαυτὸν σώσεις, καὶ τοὺς ἀκούοντάς σου. Γενοῦ τῇ ποίμνῃ τοῦ Χριστοῦ ποιμήν, μὴ λύκος· βόσκε τὰ πρόβατα, μὴ κατέσθιε αὐτά. Τὰ ἠσθενηκότα ἐνίσχυε, τὰ κακῶς ἔχοντα ἐνσωματοποίει, τὰ συντετριμμένα κατάδει, τὰ πλανώμενα ἐπίστρεφε, τὰ ἀπολωλότα ζήτει. Οὕτως ἐλέησον ὥστε μὴ ἀνειμένος γενέσθαι· οὕτω παίδευσον, ὥστε μὴ ἐπιλαθέσθαι ἐλέους· ἵνα, φανερωθέντος τοῦ Ἀρχιποίμενος, κομίσῃ τὸν ἀμαράντινον τῆς δόξης στέφανον, διὰ Ἰησοῦ Χριστοῦ τοῦ Κυρίου ἡμῶν. Ἀμήν.

¶ Εἶτα ὁ Ἀρχιεπίσκοπος προβαίνει ἐν τῇ Τάξει τῆς θείας Κοινωνίας· μεθ' οὗ καὶ ὁ Χειροτονηθεὶς Ἐπίσκοπος (μετὰ καὶ ἄλλων) συμμεταλαμβάνει.

¶ Καὶ ὡς πρὸς ἐσχάτην Εὐχήν, ἀμέσως πρὸ τῆς Εὐλογίας, ἀναγινώσκονται αὗται αἱ Εὐχαί.

ΠΟλυέλεε Πάτερ, κατάπεμψον, δεόμεθά σου, ἐπὶ τοῦτον τὸν δοῦλόν σου τὴν οὐρανόθεν σου εὐλογίαν, καὶ οὕτως ἔνδυσον αὐτὸν τὸ ἅγιόν σου Πνεῦμα, ὥστε κηρύσσοντα τὸν λόγον σου, μὴ μόνον ἐπιστῆναι αὐτὸν εἰς τὸ ἐλέγξαι, ἐπιτιμῆσαι, καὶ παρακαλέσαι ἐν πάσῃ μακροθυμίᾳ καὶ διδαχῇ, ἀλλὰ καὶ ὑγιαίνοντα γενέσθαι τύπον τῶν πιστῶν ἐν λόγῳ, ἐν ἀναστροφῇ, ἐν ἀγάπῃ, ἐν πίστει, ἐν ἁγνείᾳ καὶ ἐν καθαρότητι· ὥστε πιστῶς τὸν δρόμον τελέσαντα, ἐν τῇ ἐσχάτῃ ἡμέρᾳ ἀπολαβέσθαι τὸν τῆς δικαιοσύνης στέφανον τὸν ἀποκείμενον παρὰ τῷ Κυρίῳ τῷ δικαίῳ Κριτῇ, τῷ ζῶντι καὶ βασιλεύοντι ἑνὶ Θεῷ σὺν τῷ Πατρί, καὶ τῷ Πνεύματι τῷ ἁγίῳ, εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

ΤΑς πράξεις ἡμῶν, Κύριε [ὅρα σελ. 271].

Ἡ Εἰρήνη τοῦ Θεοῦ [ὅρα σελ. 270].

FINIS.

ΤΥΠΟΙ ΠΡΟΣΕΥΧΗΣ ΜΕΤ' ΕΥΧΑΡΙΣΤΙΑΣ

ΓΕΝΟΜΕΝΟΙ ΚΑΤ' ΕΤΟΣ ΤΗΝ ΕΚΤΗΝ ΗΜΕΡΑΝ ΤΟΥ ΜΑΙΟΥ ΜΗΝΟΣ.

ΤΥΠΟΙ ΠΡΟΣΕΥΧΗΣ ΜΕΤ' ΕΥΧΑΡΙΣΤΙΑΣ

ΤΩι ΠΑΝΤΟΚΡΑΤΟΡΙ ΘΕΩι

ΓΙΝΟΜΕΝΟΙ ΚΑΤ' ΕΤΟΣ ΕΝ ΠΑΣΗι ΕΚΚΛΗΣΙΑι ΚΑΙ ΠΑΝΤΙ ΠΑΡΕΚΚΛΗΣΙΩι ΕΝΤΟΣ ΤΟΥΤΟΥ ΤΟΥ ΒΑΣΙΛΕΙΟΥ ΤΗΝ ΕΤΗΡΙΔΑ ΤΗΣ ΑΝΑΡΡΗΣΕΩΣ ΤΟΥ ΒΑΣΙΛΕΥΟΝΤΟΣ ΑΝΑΚΤΟΣ Η ΑΛΛΗΝ ΗΜΕΡΑΝ ΕΠΙΣΗΜΩΣ ΔΙΩΡΙΣΜΕΝΗΝ.

Α'.

¶ *Κατὰ τὴν Πρωινὴν καὶ τὴν Ἑσπερινὴν Ἀκολουθίαν ἀναγινώσκειν ἐπιτρέπεται τοὺς ἐφεξῆς Ψαλμούς, Ἀναγνώσματα, Στίχους καὶ Εὐχάς.*

Ἰδιαίτεροι Ψαλμοί.

Ψαλμοὶ ΙΘ', Ρ', ΡΚ'.

Ἰδιαίτερα Ἀναγνώσματα.

Τὸ Πρῶτον· Ἰησοῦ Ναυῆ Α' *ἕως στ.* 10,

ἢ Παροιμιῶν Η' *ἕως στ.* 17.

Τὸ Δεύτερον· Ῥωμ. ΙΓ' *ἕως στ.* 11,

ἢ Ἀποκ. ΚΑ' *στ.* 22 *ἕως* ΚΒ' *στ.* 12.

Οἱ στίχοι οἱ μετὰ τὸ Ἀποστολικὸν Σύμβολον.

Ὁ Ἱερεύς.

Δεῖξον ἡμῖν, Κύριε, τὸ ἔλεός σου.

Ἀπόκρισις.

Καὶ τὸ σωτήριόν σου, Κύριε, δῴης ἡμῖν.

Ὁ Ἱερεύς.

Κύριε, σῶσον τὸν Βασιλέα.

Ἀπόκρισις.

Τὸν ἐλπίζοντα ἐπὶ Σέ.

Ὁ Ἱερεύς.

Ἐξαπόστειλον αὐτῷ βοήθειαν ἐξ ἁγίου σου.

Ἀπόκρισις.

Καὶ εἰς τὸν αἰῶνα τῷ βραχίονί σου ἀντιλαβοῦ αὐτοῦ.

Ὁ Ἱερεύς.

Γενοῦ αὐτῷ πύργος ἰσχύος.

Ἀπόκρισις.

Ἀπὸ προσώπου ἐχθρῶν αὐτοῦ.

Ὁ Ἱερεύς.

Οἱ Ὑπηρέται σου ἐνδύσωνται δικαιοσύνην.

Ἀπόκρισις.

Καὶ οἱ ἐκλεκτοί σου ἀγαλλιάσωνται.

Ὁ Ἱερεύς.

Σῶσον τὸν λαόν σου, Κύριε.

Ἀπόκρισις.

Καὶ εὐλόγησον τὴν κληρονομίαν σου.

ΕΙΣ ΕΤΗΡΙΔΑ ΑΝΑΡΡΗΣΕΩΣ

Ὁ Ἱερεύς.

Δὸς εἰρήνην ἐν ταῖς ἡμέραις ἡμῶν, Κύριε.

Ἀπόκρισις.

Διότι οὐκ ἔστιν ἄλλος ὁ ὑπερμαχῶν ἡμῶν, εἰ μὴ Σὺ μόνος, ὁ Θεός.

Ὁ Ἱερεύς.

Εἰσάκουσον, Κύριε, τῶν προσευχῶν ἡμῶν.

Ἀπόκρισις.

Καὶ ἡ κραυγὴ ἡμῶν πρὸς Σὲ ἐλθέτω.

¶ *Μετὰ τὴν πρώτην Εὐχὴν τὴν ἐπὶ τῇ Πρωινῇ ἢ Ἑσπερινῇ Ἀκολουθίᾳ, ἀναγινώσκεται ἡ ἐφεξῆς ἑπομένη.*

Ὁ Θεὸς ὁ τῇ σῇ δυνάμει προνοούμενος τοῦ λαοῦ σου, καὶ ἐν ἀγάπῃ αὐτῶν βασιλεύων· Εὐδόκησον οὕτω τὸν Δοῦλόν σου εὐλογῆσαι, τὸν ἡμῶν Βασιλέα, ὥσθ' ὑπ' αὐτὸν τὸ ἔθνος τοῦτο μετὰ σοφίας κυβερνᾶσθαι, καὶ τὴν Ἐκκλησίαν σου Σοὶ λατρεύειν ἐν πάσῃ εὐσεβεῖ ἠρεμίᾳ· καὶ παράσχου ἵνα αὐτὸς ὁλοψύχως Σοὶ ἀφωσιωμένος, καὶ ἐν ἔργοις ἀγαθοῖς μέχρι τέλους προσκαρτερῶν, Σοῦ καθοδηγοῦντος, εἰς τὴν αἰώνιόν σου καταντήσῃ βασιλείαν· διὰ Ἰησοῦ Χριστοῦ τοῦ Υἱοῦ σου, Κυρίου δὲ ἡμῶν, τοῦ σὺν Σοὶ καὶ τῷ Ἁγίῳ Πνεύματι συζῶντι καὶ συμβασιλεύοντι, ἑνὸς ἀεὶ Θεοῦ, εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

¶ *Ἐὰν ψάλληται ἢ ἀναγινώσκηται ἡ Λιτανεία, ἀναγινώσκονται αὗται αἱ Εὐχαὶ ἀμέσως μετὰ τὴν Εὐχήν, Ταπεινῶς παρακαλοῦμέν σε Πάτερ· ἐὰν δὲ μὴ ἀναγινώσκηται ἡ Λιτανεία, αὗται αἱ Εὐχαὶ ἀναγινώσκονται ἀντὶ τῶν Εὐχῶν τῶν ὑπὲρ τοῦ Βασιλέως καὶ ὑπὲρ τῆς Βασιλικῆς Οἰκογενείας ἐπὶ τῇ Πρωινῇ καὶ τῇ Ἑσπερινῇ Ἀκολουθίᾳ.*

Κύριε ὁ Θεὸς ἡμῶν ὁ φέρων καὶ διοικῶν τὰ πάντα τῷ ῥήματι τῆς δυνάμεώς σου· Πρόσδεξαι τὰς ταπεινὰς ἡμῶν δεήσεις ὑπὲρ τοῦ Κυριάρχου Δεσπότου ἡμῶν ΓΕΩΡΓΙΟΥ, τοῦ διὰ τῆς σῆς χάριτος καὶ προνοίας, ὡσεὶ ἐν ταύτῃ τῇ ἡμέρᾳ, ὑπὲρ ἡμᾶς κατασταθέντος εἰς Βασιλέα· καὶ μετ' αὐτοῦ, δεόμεθά σου, εὐλόγησον τὴν εὐμενῆ Βασίλισσαν ἡμῶν Μαρίαν, τὴν Χήραν Βασίλισσαν Ἀλεξάνδραν, Ἐδουάρδον τὸν Πρίγκιπα τῆς Οὐαλλίας, καὶ πᾶσαν τὴν Βασιλικὴν Οἰκογένειαν· ἵνα πάντοτε ἐπὶ τῇ σῇ ἀγαθωσύνῃ πεποιθότες, σκεπαζόμενοί τε τῇ σῇ δυνάμει, καὶ τῇ πολυελέῳ καὶ ἀϊδίῳ σου εὐνοίᾳ στεφανωθέντες, μακροημερεύωσιν ἐνώπιον Σοῦ ἐν εἰρήνῃ καὶ ἀσφαλείᾳ, ἐν χαρᾷ τε καὶ τιμῇ, καὶ μετὰ θάνατον ζωῆς καὶ δόξης ἐπιτύχωσιν αἰωνίου· διὰ τῆς ἀξιομισθίας καὶ μεσιτείας τοῦ Χριστοῦ Ἰησοῦ τοῦ Σωτῆρος ἡμῶν, τοῦ σὺν Σοὶ καὶ τῷ Ἁγίῳ Πνεύματι συζῶντος καὶ συμβασιλεύοντος, ἑνὸς ἀεὶ Θεοῦ, εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

Ὁ Θεὸς ὁ Παντοκράτωρ, ὁ δεσπόζων πάντων τῶν βασιλείων τοῦ κόσμου, καὶ διοικῶν αὐτὰ κατὰ τὴν σὴν εὐδοκίαν· Εἰλικρινεῖς σοι ἀποδίδομεν εὐχαριστίας, διότι κατηξίωσας τὸν Δοῦλόν σου τὸν Κυριάρχον Δεσπότην

ἡμῶν, τὸν Βασιλέα ΓΕΩΡΓΙΟΝ, *ὡσεὶ ἐν ταύτῃ τῇ ἡμέρᾳ, ἐπὶ τὸν θρόνον καστασταθῆναι τοῦ* Βασιλείου *τούτου.* Ὁ*δηγείτω αὐτὸν ἡ σοφία σου, καὶ ὁ βραχίων σου κατισχυέτω αὐτόν· ἡ ἀλήθεια καὶ δικαιοκρισία, ἡ ὁσιότης καὶ δικαιοσύνη, ἡ εἰρήνη καὶ ἀγάπη, περισσευέτω ἐν ταῖς ἡμέραις αὐτοῦ.* Δ*ιεύθυνε πᾶσαν αὐτοῦ βουλὴν καὶ προσπάθειαν εἰς τὴν σὴν δόξαν καὶ τὴν εὐημερίαν τῶν ὑποτεταγμένων αὐτῷ· ἡμῖν δὸς τὴν χάριν τοῦ ἱλαρῶς διὰ συνείδησιν ὑποτάσσεσθαι αὐτῷ, καὶ αὐτὸς ἀντεχέσθω διηνεκῶς τῶν καρδιῶν τοῦ λαοῦ αὐτοῦ· μακροήμερος καὶ εὐτυχὴς ἔστω ἡ* Δεσποτεία *αὐτοῦ, καὶ ἐν τῷ μέλλοντι αἰῶνι στέψον αὐτὸν τῇ ζωῇ τῇ αἰωνίῳ· διὰ* Ἰησοῦ Χριστοῦ τοῦ Κυρίου *ἡμῶν.* Ἀ*μήν.*

Ὁ Θεὸς καὶ Πατὴρ τοῦ Κυρίου *ἡμῶν* Ἰησοῦ Χριστοῦ, *τοῦ μόνου* Σωτῆρος *ἡμῶν καὶ* Ἀρχηγοῦ *τῆς* Εἰρήνης· Παράσχου *ἡμῖν τὴν χάριν τοῦ σοβαρῶς ἐνθυμεῖσθαι ὁπόσους περικείμεθα κινδύνους διὰ τὰς δυστυχεῖς ἀπ᾽ ἀλλήλων διαιρέσεις ἡμῶν.* Ἀ*φελοῦ πᾶν μῖσος, πᾶσάν τε προληψίαν, καὶ πᾶν ὅ,τι ἐμποδίζει ἡμᾶς ἀπὸ τῆς θεαρέστου* Ἑνότητος *καὶ* Ὁμονοίας· *ἵνα, ὡς ἕν ἐστι* Σῶμα, *καὶ ἓν* Πνεῦμα, *καὶ μία* Ἐλπὶς *τῆς* Κλήσεως *ἡμῶν, εἷς* Κύριος, *μία* Πίστις, *ἓν* Βάπτισμα, *εἷς* Θεὸς *καὶ* Πατὴρ *πάντων ἡμῶν, οὕτω τοῦ λοιποῦ πάντες μιᾶς γενώμεθα καρδίας καὶ μιᾶς ψυχῆς, καὶ ἑνωθέντες ἐν ἑνὶ ἁγίῳ συνδέσμῳ τῆς τε* Ἀληθείας *καὶ τῆς* Εἰρήνης, *τῆς τε* Πίστεως *καὶ τῆς* Ἀγάπης, *ὁμοθυμαδὸν ἐν ἑνὶ στόματι* Σὲ *δοξάζωμεν· διὰ* Ἰησοῦ Χριστοῦ τοῦ Κυρίου *ἡμῶν.* Ἀ*μήν.*

Β΄.

¶ **Κατὰ τὴν Τάξιν τὴν ἐπὶ Τελέσει Θείας Κοινωνίας, ἀντὶ τῆς Εὐχῆς, τοῦ Ἀποστόλου, καὶ τοῦ Εὐαγγελίου τῆς Ἡμέρας, ἀναγινώσκονται τὰ ἐφεξῆς.**

Εὐχή.

Ὁ Θεὸς *ὁ τῇ σῇ δυνάμει* [*κτλ.* Ὅρα ἀνωτέρω εἰς σελ. 383].

Ἀπόστολος.

Α΄ Πέτ. Ἀγαπητοί, *παρακαλῶ ὡς παροίκους καὶ παρεπιδημίους* [*κτλ. ἕως στ.* 17].
Β΄ 11.

Εὐαγγέλιον.

Ματθ. Καὶ *ἀποστέλλουσιν αὐτῷ τοὺς μαθητὰς αὐτῶν* [*κτλ. ἕως στ.* 22].
ΚΒ΄ 16.

¶ *Ἐὰν αὕτη ἡ ἐτήσιος ἡμέρα συμπίπτῃ Κυριακῇ ἢ ἄλλῃ τινὶ* Ἑορτασίμῳ *ἡμέρᾳ, ἀναγινώσκεται ἡ* Εὐχή, *ὁ* Ἀπόστολος, *καὶ τὸ* Εὐαγγέλιον *τῆς* Ἑορτῆς, *καὶ μετὰ τὴν* Εὐχὴν *τῆς* Ἑορτῆς *ἐπισυνάπτεται ἡ* Εὐχή, Ὁ Θεὸς ὁ τῇ σῇ δυνάμει.

Γ΄.

¶ *Ἀναγινώσκειν ἐπιτρέπεται καὶ τὴν ἑπομένην* Ἀκολουθίαν *ὥρᾳ τινὶ προσφόρῳ τῆς αὐτῆς ἡμέρας.*

Te Deum laudamus.

ΣΕ Θεὸν *αἰνοῦμεν.* [Ὅρα σελ. 46.]

ΕΙΣ ΕΤΗΡΙΔΑ ΑΝΑΡΡΗΣΕΩΣ

¶ Εἶτα λέγει ὁ Ἱερεύς,

Ὁ Κύριος μεθ' ὑμῶν.

Ἀπόκρισις.

Καὶ μετὰ τοῦ πνεύματός σου.

Δεηθῶμεν.

Κύριε, ἐλέησον ἡμᾶς.
Χριστέ, ἐλέησον ἡμᾶς.
Κύριε, ἐλέησον ἡμᾶς.

ΠΑτερ ἡμῶν.

¶ Εἶτα ἀνιστάμενος λέγει ὁ Ἱερεύς,

Κύριε, σῶσον τὸν Βασιλέα.

Ἀπόκρισις.

Τὸν ἐλπίζοντα ἐπὶ Σέ.

Ὁ Ἱερεύς.

Ἐξαπόστειλον αὐτῷ βοήθειαν ἐξ ἁγίου σου.

Ἀπόκρισις.

Καὶ εἰς τὸν αἰῶνα τῷ βραχίονί σου ἀντιλαβοῦ αὐτοῦ.

Ὁ Ἱερεύς.

Μὴ ὠφελησάτωσαν ἐχθροὶ ἐπ' αὐτῷ.

Ἀπόκρισις.

Καὶ υἱοὶ ἀνομίας μὴ προσθέτωσαν τοῦ κακῶσαι αὐτόν.

Ὁ Ἱερεύς.

Εἰσάκουσον, Κύριε, τῶν προσευχῶν ἡμῶν.

Ἀπόκρισις.

Καὶ ἡ κραυγὴ ἡμῶν πρός σε ἐλθέτω.

Δεηθῶμεν.

Ὁ Θεὸς ὁ τῇ σῇ δυνάμει [κτλ. Σελ. 383].

ΚΥριε ὁ Θεὸς ἡμῶν ὁ φέρων [κτλ. Σελ. 383].

Ὁ Θεὸς ὁ Παντοκράτωρ, ὁ δεσπόζων [κτλ. Σελ. 383].

Ὁ Θεὸς καὶ Πατὴρ τοῦ Κυρίου ἡμῶν [κτλ. Σελ. 384].

Ὁ Θεὸς ὁ Παντοκράτωρ, ἡ πηγὴ πάσης σοφίας [κτλ. Σελ. 271].

Ἡ Εὐλογία τοῦ Θεοῦ τοῦ Παντοκράτορος [κτλ. Σελ. 270].

ΕΝ ΟΞΟΝΙΩι
ἐτύπωσε Frederick Hall
Τυπογράφος Πανεπιστημιακός